ΘΟΥΚΥΔΙΔΗΣ.

THE HISTORY OF THE PELOPONNESIAN WAR,

BY THUCYDIDES:

ILLUSTRATED BY MAPS, TAKEN ENTIRELY FROM ACTUAL SURVEYS;

WITH NOTES,

CHIEFLY HISTORICAL AND GEOGRAPHICAL,

BY

THOMAS ARNOLD, D.D.

LATE HEAD MASTER OF RUGBY SCHOOL, AND FORMERLY FELLOW OF ORIEL COLLEGE, OXFORD.

EIGHTH EDITION.

WITH INDEXES

BY THE

REV. R. P. G. TIDDEMAN, M.A.

VOL. I.

PARKER AND CO.

OXFORD, & 6 SOUTHAMPTON-STREET, STRAND, LONDON.

WHITTAKER AND CO., LONDON.

M DCCC LXXXII.

PRINTED · BY · J. PARKER & CO. OXFORD

PREFACE TO THE SECOND EDITION.

IN this second edition most of the positive faults, which were very numerous and some of them very glaring in the first volume of the first edition, have I hope been corrected. But the omissions and negative faults, of the existence of which I am well aware, I have not been equally able to make good: for the variety and depth of knowledge required in such an edition of Thucydides as should be worthy of his excellence, are far beyond my attainment. In the meanwhile it is cheering to see that we are beginning to set our standard higher than formerly; for here, as in other matters, the more dissatisfied we are with our actual advance, the more likely is it that we shall in time advance farther. It will be strange if the establishment of steam vessels on the Mediterranean does not within the next ten years do more for the geography of Thucydides than has ever been done yet; for it will enable those who are at once scholars and geographers to visit the places of which he speaks personally; and I cannot but think that most of the difficulties of his descriptions will then vanish. To a practised eye the shortest view of a country will explain more than any maps or descriptions can do without it; if a man be also really familiar with the ancient writers, and has the state of the ancient world vividly present to his mind, so as to know what their warfare was, what their ships were, &c.; and not to be deriving all his notions from modern experience.—With respect to the text of Thu-

cydides, little, I believe, will ever be done towards correcting it by the search after new manuscripts: the corruptions after all are not many, and it is doubtful whether those in the eighth book are not attributable to the imperfect state in which the text was left by Thucydides himself. The forms of words where they differ from those known to have been used by the Attic writers may, I think, be safely and without scruple corrected.

Rugby, October 1839.

[In this third edition some errors which had hitherto escaped detection have been corrected, and the references made in the notes to passages in Thucydides, Herodotus, Xenophon, or Aristotle, have been rendered more precise by the addition of the numbers of the sections, unless where a reference regarded the substance of a whole chapter. References also to Jelf's Grammar have been given, in most of the notes where Dr. Arnold has referred to Matthiæ and Kühner. Additional various readings, and additional authorities for various readings already noted in the preceding editions, have been inserted from Bekker's stereotype edition, as well as the differences, except of punctuation, to be found in his text.

R. P. G. T.]

CATALOGUE

OF THE

MSS. OF THUCYDIDES,

WHICH HAVE BEEN HITHERTO COLLATED, EITHER WHOLLY OR PARTIALLY.

A. (in Poppo's edit. "Italus.") Where this MS. now is does not appear. It was taken from some place in the north of Italy by the French during the revolution, and carried to the royal library at Paris. Bekker collated it in 1812 during his residence in France. It was restored in 1815 to the Austrians.

B. (Poppo, "Vaticanus.") In the Vatican library at Rome, N°. 126. A small folio, consisting of 188 leaves, with from 30 to 32 lines in each page, and from 60 to 70 letters in each line. The writing is full of abbreviations. It contains scholia written by the same hand. It was first collated by Bekker.

C. (Poppo, "Laurentianus.") In the Laurentian library at Florence, compartment 69, MS. 2. The Catalogue hung up in the library itself, states this MS. to be of the date of the tenth century. The characters are large and round-shaped; and its first six leaves are of a later date. It may be identified by the subscription added at the end of the volume, DEO GRATIAS PETRUS SCRIPSIT. Bekker collated this MS. from book I. chap. 15, to the end of book II., and book VIII. chap. 1—31. The third and fourth books have been first collated for the present edition.

D. (" Marcianus," Poppo.) In the library of St. Mark at Venice, numbered in the catalogue 367. Bekker has collated the seventh book: the rest, as far as appears, has not yet been collated. I believe that this is the MS. marked X in the second and third volumes of this edition. I collated a few chapters of it at Venice in July 1830.

E. (" Palatinus," Poppo.) In the library at Heidelberg, N°. 252. Written in a large character, with the ι *adscriptum* not *subscriptum*: supposed by Creuzer to be older than the twelfth century. It has been collated for Poppo, and by Bekker.

F. (" Augustanus," Poppo.) In the library at Munich, N°. 430. formerly at Augsburg. First collated by Gottleber and Bauer.

G. (" Monacensis m.," Poppo.) At Munich, N°. 228, formerly 287. Collated by Göller and Bekker.

H. (" Cassellanus," Poppo.) At Cassel in Westphalia. Written in the year 1252. First collated by Duker.

I. (" Vindobonensis," Poppo.) In the imperial library at Vienna. First collated by Alter, in his edition published at Vienna, 1786.

K. (" Grævianus," Poppo.) At Utrecht. First collated for Hudson's edition.

L. (" Arundelianus," Poppo.) In the Arundel library. First collated by Hudson.

M. (" Baroccianus," Poppo.) In the Bodleian; containing only the speeches. Collated by Hudson.

N. (" Clarendonianus," Poppo.) In the public library at Cambridge Collated by Hudson.

O. (" Chr." Poppo.) In the library of Corpus Christi College, Oxford. Collated by Hudson.

P. (" Danicus," Poppo.) At Copenhagen. Collated by Duker.

Q. (" Mosquensis," Poppo.) At Moscow. Collated for Gottleber and Bauer's edition.

T. In the university library at Cambridge. I collated the fourth book, and some passages in the other books.

EDITIONS

OF

THUCYDIDES.

I. Thucydides, (Græce) Venetiis in Domo Aldi, Mense Maio MDII. folio. The scholia were published by Aldus in the following year.

II. Thucydides, (the Greek text and the scholia) Florentiæ, apud Bernhardum Juntam, 1526, die secunda Novembris.

III. Thucydides, (with the scholia) Basileæ, ex officina Hervagiana, anno MDXL. folio. This is the edition of Camerarius.

IV. Thucydides, Greek and Latin, the Latin being Valla's translation, with Stephens' corrections of it in the margin. Printed by Henry Stephens, A. D. 1564. folio.

V. Thucydides, Greek and Latin, &c. This is Stephens' second edition, containing many additions to his former one, such as his Proparasceue ad Lectionem Scholiorum; fuller notes on the first and on great part of the second book of Thucydides, the Life of Thucydides by Marcellinus, &c. 1588, folio.

(These five are known by the name of "the old editions," and their readings are sometimes quoted like those of MSS.)

VI. Thucydides, Greek and Latin: the Latin interpretation corrected and improved throughout by Æmilius Portus; with notes by Franciscus Portus, and Indexes. Frankfort, 1594, folio.

(This is the common Latin interpretation published with the later editions of Thucydides.)

VII. Thucydides, Greek and Latin, with maps of Greece and Sicily, edited by John Hudson. Oxford and London, 1696, folio.

VIII. Thucydides, Greek and Latin, with the notes of Stephens, Hudson, and Wasse. Edited by Charles Andrew Duker. With the maps of Hudson's edition republished, and Henry Dodwell's Annales Thucydidei. Amsterdam, Wetstenius and Smith, 1731, folio.

IX. Duker's edition, reprinted at Glasgow by Foulis, 8 vols. 8vo. 1758.

X. Thucydides, the Greek text only; with the corrections of Toussain, which he had written on the margin of the Aldine edition. Edited by Francis Charles Alter. 2 vols. 8vo. Vienna, 1785.

XI. Duker's edition, reprinted at Deuxponts in the Palatinate, 6 vols. 8vo. 1788–9.

XII. Thucydides, the Greek text only. Edited by Hermann Bredenkamp. 8vo. Bremen, 1791–2.

XIII. Thucydides, Greek and Latin. Duker's text, notes, &c. reprinted, with additional notes by John Christoph. Gottleber. Continued after Gottleber's death by Charles Louis Bauer; and finally, after Bauer's death, published by Christian Daniel Beck, 2 vols. 4to. Leipzig. Vol. I. 1790. vol. II. 1804.

XIV. Thucydides, Greek and Latin. Duker's text corrected in some few instances, and the Attic forms of the tenses introduced in defiance of all the MSS. This edition has the sanction of Elmsley's name, but he evidently did little more than correct the press. Edinburgh, 1804. 6 vols. 12mo.

XV. Thucydides, Greek and Latin. Vienna, 1805. 10 vols. Poppo merely gives the title of this edition from a German Review. He never met with it, nor have I.

XVI. Thucydides, the Greek text, with a translation and notes in modern Greek, and Indexes historical and geographical, by Neophytus Ducas. 10 vols. 8vo. Vienna, 1805.

XVII. Thucydides, Greek and Latin; with the various readings of the Paris MSS. with French Notes, and a Commentary on some of the more difficult passages, and two plates illustrating the siege of Platæa. Edited by J. B. Gail, Paris, 1807. 10 vols. 8vo.

XVIII. Thucydides, the Greek text. Edited by Seebode. 1 vol. 8vo. Leipzig, 1814.

XIX. Thucydides, the Greek text. Edited by Shäfer. 2 vols. 12mo. Leipzig, 1815.

XX. Thucydides, Greek and Latin, with the Scholia, the Notes of Bauer's edition, the Commentary of Benedict, and the Observationes Criticæ of Poppo. London, 1819. Published by Priestley. 4 vols. 8vo.

XXI. Thucydides, the Greek text, with the Scholia, Indexes, Chronological Tables, and original Notes, by Christopher Fr. Ferd. Haack. 2 vols. 8vo. Leipzig, 1820. (Reprinted 3 vols. 8vo. London, 1823.) A second edition, superseding the first, was published at Leipzig, 1831.

XXII. Thucydides, the Greek text, with the Scholia, and the Notes of Wasse and Duker. Edited by Immanuel Bekker. 3 vols. 8vo. Berlin and Oxford, 1821.

XXIII. Thucydides, the Greek text only, corrected in several places from the text of the larger edition, by Bekker. 1 vol. 8vo. Berlin and Oxford, 1824.

XXIV. Thucydides, the Greek text, with a few notes, by Louis Dindorf. 8vo. Leipzig, 1824.

XXV. Thucydides, the Greek text, with two volumes of Prolegomena; the Scholia, Notes, and copious Indexes, &c. by Ernest Frederic Poppo. 10 vols. 8vo. Leipzig, 1821, 1838. A second edition, abridged, is now in course of publication at Gotha, having commenced in 1843.

XXVI. Thucydides, the Greek text, with original Notes, Indexes, and a map of Syracuse, by Francis Göller. 2 vols. 8vo. Leipzig, 1826.

(A second edition, with very large corrections, and several maps, has since been published by Göller, in 1836.)

XXVII. The History of the Peloponnesian War of Thucydides.

A new recension of the text; though almost always coinciding with one or other of the texts of Bekker, Goeller, and Poppo; with a statement of their respective variations from the adopted readings, and an amended punctuation; accompanied with original notes, critical, philological, and exegetical; examination questions, indexes, &c. By the Rev. S. T. Bloomfield, D. D. F. S. A. In three volumes. 8vo. London, 1830.

XXVIII. Thucydidis de Bello Peloponnesiaco Libri octo. Iterum recensuit Immanuel Bekkerus. Edit. stereotyp. Berol. 1832—1846.

ΜΑΡΚΕΛΛΙΝΟΥ

ΠΕΡΙ ΤΟΥ ΘΟΥΚΥΔΙΔΟΥ ΒΙΟΥ

ΚΑΙ ΤΗΣ ΙΔΕΑΣ ΑΥΤΟΥ

ΑΠΟ ΤΗΣ ΟΛΗΣ ΞΥΓΓΡΑΦΗΣ ΠΑΡΕΚΒΟΛΗ.

ΤΩΝ Δημοσθένους μύστας γεγενημένους θείων λόγων τε καὶ ἀγώνων, συμβουλευτικῶν τε καὶ δικανικῶν νοημάτων μεστοὺς γενομένους καὶ ἱκανῶς ἐμφορηθέντας, ὥρα λοιπὸν καὶ τῶν Θουκυδίδου τελετῶν ἐντὸς καταστῆναι· πολὺς γὰρ ὁ ἀνὴρ τέχναις καὶ κάλλει λόγων καὶ ἀκριβείᾳ πραγμάτων καὶ στρατηγίᾳ καὶ συμβουλαῖς καὶ πανηγυρικαῖς ὑποθέσεσιν. ἀναγκαῖον δὲ πρῶτον εἰπεῖν τοῦ ἀνδρὸς καὶ τὸ γένος καὶ τὸν βίον· πρὸ γὰρ τῶν λόγων ταῦτα ἐξεταστέον τοῖς φρονοῦσι καλῶς. Θουκυδίδης τοίνυν ὁ συγγραφεὺς Ὀλόρου μὲν προῆλθε πατρὸς, τὴν ἐπωνυμίαν ἔχοντος ἀπὸ Ὀλόρου τοῦ Θρᾳκῶν βασιλέως, καὶ μητρὸς Ἡγησιπύλης, ἀπόγονος δὲ τῶν εὐδοκιμωτάτων στρατηγῶν, λέγω δὴ τῶν περὶ Μιλτιάδην καὶ Κίμωνα. ᾠκείωτο δὲ ἐκ παλαιοῦ τῷ γένει πρὸς Μιλτιάδην τὸν στρατηγὸν, τῷ δὲ Μιλτιάδῃ πρὸς Αἰακὸν τὸν Διός. οὕτως αὐχεῖ τὸ γένος ὁ συγγραφεὺς ἄνωθεν. καὶ τούτοις Δίδυμος μαρτυρεῖ, Φερεκύδην ἐν τῇ πρώτῃ τῶν ἱστοριῶν φάσκων οὕτως λέγειν· "Φιλαίας δὲ ὁ Αἴαντος οἰκεῖ ἐν ταῖς Ἀθήναις. ἐκ τούτου δὲ "γίγνεται Δάϊκλος[a], τοῦ δὲ Ἐπίδυκος, τοῦ δὲ Ἀκέστωρ, τοῦ δὲ "Ἀγήνωρ, τοῦ δὲ Ὄλιος, τοῦ δὲ Λύκης· τοῦ δὲ Τύφων, τοῦ δὲ Λάϊος, "τοῦ δὲ Ἀγαμήστωρ, τοῦ δὲ Τίσανδρος, ἐφ᾽ οὗ ἄρχοντος ἐν Ἀθήναις[b] "†τοῦ δὲ Μιλτιάδης, τοῦ δὲ Ἱπποκλείδης, ἐφ᾽ οὗ ἄρχοντος Πανα-

[a] Forsan Αἴκλος. CASAUBON. [b] ἐφ᾽——Ἀθήναις uncis inclusit Poppo.

"θήναια ἐτέθη, †τοῦ δὲ Μιλτιάδης ὃς ᾤκισε Χερρόνησον." μαρτυρεῖ τούτοις καὶ Ἑλλάνικος ἐν τῇ ἐπιγραφομένῃ Ἀσωπίδι. ἀλλ' οὐκ ἂν εἴποι τις, τί αὐτῷ πρὸς Θουκυδίδην; ἔστι γὰρ οὗτος[a] τούτου συγγενής. Θρᾷκες καὶ Δόλοπες[b] ἐπολέμουν πρὸς Ἀψινθίους, ὄντας γείτονας· ταλαιπωρούμενοι δὲ τῷ πολέμῳ, καὶ τί κακὸν οὐ πάσχοντες ἐκ τοῦ μεῖον ἔχειν ἀεὶ τῶν πολεμίων, καταφεύγουσιν ἐπὶ τὰ τοῦ θεοῦ χρηστήρια, εἰδότες ὅτι μόνος ὁ[c] θεὸς ἐξ ἀμηχάνων εὑρίσκει πόρους. θεῶν[d] γὰρ ἰσχὺς καὶ κατ' Αἰσχύλον[e] ὑπερτέρα· πολλάκις δ' ἐν κακοῖσι τὰν ἀμήχανον ἐκ χαλεπᾶς δύας, ὑπέρ τε ὀμμάτων κρημναμέναν νεφέλαν ὀρθοῖ. καὶ οὐκ ἐψεύσθησαν τῶν ἐλπίδων· ἐχρήσθησαν γὰρ κράτιστον ἕξειν ἡγεμόνα τοῦτον, ὃς ἂν αὐτοὺς ἀλωμένους ἐπὶ ξενίαν καλέσοι. τότε καὶ Κροῖσος εἶχε Λυδίαν καὶ τὰς Ἀθήνας ἡ Πεισιστρατιδῶν τυραννίς. ἐπανιόντες οὖν ἀπὸ τοῦ χρηστηρίου περιέτυχον τῷ Μιλτιάδῃ πρὸ τῶν ὅρων καθεζομένῳ τῆς Ἀττικῆς[f], ἀχθομένῳ μὲν τῇ τυραννίδι, δικαίαν δὲ ζητοῦντι τῆς Ἀττικῆς ἔξοδον· ταῦτα γὰρ ᾠκονόμησεν ὁ χρησμὸς αὐτοῖς. ὁρῶν οὖν αὐτοὺς πλανήτων ἔχοντας στολὴν, συνεὶς τί δύναται πλάνη, καλεῖ τοὺς ἄνδρας ἐπὶ ξενίαν, ὑπηρετῶν τῷ χρησμῷ λανθάνων. οἱ δ' ᾔσθησαν τὸν ἡγεμόνα τὸν ἀπὸ τῶν ξενίων εἰληφότες, καὶ πάντα αὐτῷ διηγησάμενοι στρατηγὸν ἐχειροτόνησαν αὐτόν[g]. οἱ μὲν οὖν τὸν θεόν φασιν ἐρωτήσαντα ἐξελθεῖν, οἱ δὲ οὐκ ἄνευ γνώμης τοῦ τυράννου τὴν ἔξοδον πεποιηκέναι, ἀλλὰ τῷ κρατοῦντι τὴν πρόσκλησιν τῶν Θρᾳκῶν διηγησάμενον ἀπελθεῖν· ὃς καὶ προσδοὺς δύναμιν ἀπέπεμψεν, ἡσθεὶς ὅτι μέγα δυνάμενος ἀνὴρ ἔξεισι τῶν Ἀθηνῶν. οὗτος οὖν ἡγούμενος ἐπλήρωσε τὰ μεμαντευμένα, καὶ μετὰ τὴν νίκην γίνεται καὶ Χερρονήσου οἰκιστής. ἀποθανόντος δὲ μετὰ[h] παιδὸς αὐτοῦ, διαδέχεται τὴν ἐν Χερρονήσῳ ἀρχὴν Στησαγόρας [ὁ] ἀδελφὸς αὐτοῦ ὁμομήτριος. ἀποθανόντος δὲ καὶ τούτου, διαδέχεται τὴν ἀρχὴν Μιλτιάδης, ὁμώνυμος μὲν τῷ πρώτῳ οἰκιστῇ, ἀδελφὸς δὲ Στησαγόρου ὁμομήτριος καὶ ὁμοπάτριος. οὗτος οὖν, ὄντων αὐτῷ παίδων ἐξ Ἀττικῆς γυναικὸς, ὅμως ἐπιθυμῶν δυναστείας λαμβάνει Θρᾳκῶν βασιλέως Ὀλόρου θυγατέρα Ἡγησιπύλην πρὸς γάμον· ἐξ οὗ καὶ αὐτῆς γίνεται παιδίον. κατελθόντων δὲ εἰς τὴν Ἑλλάδα Περσῶν συσκευασάμενος τὰ αὑτοῦ εἰς τὰς Ἀθήνας πέμπει, καὶ τὰ πολλὰ τοῦ γένους ἀποστέλλει. ἡ δὲ ναῦς ἁλίσκεται, ἐν ᾗ καὶ οἱ παῖδες αὐτοῦ, ἀλλ' οὐχ οἱ ἐκ τῆς γυναικὸς τῆς Θρᾳκικῆς· ἀφίενται δ' ὑπὸ βασιλέως, εἴγε μὴ Ἡρόδοτος ψεύδεται.

[a] οὕτως Bekk. Poppo. [b] Δόλογκοι Wesseling. ad Herodot. VI. 34. p. 452. [c] ὁ] om. E. Bekk. [d] θεοῦ Bekk. Poppo. [e] Septem 200. [f] Immo πρὸ τῶν θυρῶν καθεζομένῳ τῆς αὐτοῦ οἰκίας, ut dudum correxit Rutgersius. [g] αὐτῶν Bekk. [h] μετὰ] τοῦ Bekk. Poppo.

Μιλτιάδης δ' εἰς τὴν Ἀττικὴν ἐκ Θρᾴκης διαφυγὼν σώζεται. οὐκ ἀπέδρα δὲ καὶ τὴν τῶν [ἐχθρῶν] συκοφαντίαν· ἐγκλήματα γὰρ αὐτῷ [ἐπέφερον,] διεξιόντες [αὐτοῦ] τὴν τυραννίδα [τὴν ἐν Χερρονήσῳ.] ἀποφεύγει δὲ [καὶ τούτους, καὶ] στρατηγὸς τοῦ πρὸς τοὺς βαρβάρους πολέμου γίγνεται. ἀπὸ τούτου οὖν κατάγεσθαί φασι τὸ Θουκυδίδου γένος, καὶ μέγιστον τεκμήριον νομίζουσι τὴν πολλὴν περιουσίαν καὶ τὰ ἐπὶ Θρᾴκης κτήματα καὶ μέταλλα χρυσᾶ. δοκεῖ οὖν τισὶν [ἀδελφιδοῦς] εἶναι τοῦ Μιλτιάδου ἢ θυγατριδοῦς. παρέσχε δ' ἡμῖν τηνάλλως αὐτὸς ζήτησιν, μηδεμίαν μνήμην περὶ τοῦ γένους πεποιημένος. μὴ ἀγνοῶμεν δὲ τοῦτο, ὅτι Ὄρολος ὁ πατὴρ αὐτῷ ἐστὶ, τῆς μὲν πρώτης συλλαβῆς τὸ ρ ἐχούσης, τῆς δὲ δευτέρας τὸ λ. αὕτη γὰρ ἡ γραφὴ, ὡς καὶ Διδύμῳ δοκεῖ, ἡμάρτηται. ὅτι γὰρ Ὀρολός ἐστιν, ἡ στήλη δηλοῖ ἡ ἐπὶ τοῦ τάφου αὐτοῦ κειμένη, ἔνθα κεχάρακται

Θουκυδίδης Ὀρόλου Ἁλιμούσιος ἐνθάδε κεῖται.

πρὸς γὰρ ταῖς Μελιτίσι πύλαις καλουμέναις ἐστὶν ἐν Κοίλῃ τὰ καλουμένα Κιμώνια μνήματα, ἔνθα δείκνυται Ἡροδότου καὶ Θουκυδίδου τάφος. εὑρίσκεται δηλονότι τοῦ Μιλτιάδου γένους ὄντως· ξένος γὰρ οὐδεὶς ἐκεῖ θάπτεται. καὶ Πολέμων δὲ ἐν τῷ περὶ ἀκροπόλεως μαρτυρεῖ· ἔνθα †καὶ θεο† [a] αὐτῷ γεγενῆσθαι προσιστορεῖ. ὁ δὲ Ἕρμιππος καὶ ἀπὸ τῶν Πεισιστρατιδῶν αὐτὸν λέγει τῶν τυράννων ἕλκειν τὸ γένος, διὸ καὶ διαφθονεῖν αὐτόν φησιν ἐν τῇ συγγραφῇ τοῖς περὶ Ἁρμόδιον καὶ Ἀριστογείτονα, λέγοντα ὡς οὐκ ἐγένοντο τυραννοφόνοι· οὐ γὰρ ἐφόνευσαν τὸν τύραννον, ἀλλὰ τὸν ἀδελφὸν τοῦ τυράννου Ἵππαρχον. ἠγάγετο δὲ γυναῖκα ἀπὸ Σκαπτῆς ὕλης τῆς Θρᾴκης πλουσίαν σφόδρα καὶ μέταλλα κεκτημένην ἐν τῇ Θρᾴκῃ. τοῦτον δὲ τὸν πλοῦτον λαμβάνων οὐκ εἰς τρυφὴν ἀνήλισκεν, ἀλλὰ πρὸ τοῦ Πελοποννησιακοῦ πολέμου τὸν πόλεμον αἰσθηθεὶς κινεῖσθαι μέλλοντα, προελόμενος συγγράψαι αὐτὸν παρεῖχε πολλὰ τοῖς Ἀθηναίων στρατιώταις καὶ τοῖς Λακεδαιμονίων καὶ πολλοῖς ἄλλοις, ἵνα ἀπαγγέλλοιεν αὐτῷ βουλομένῳ συγγράφειν τὰ γινόμενα κατὰ καιρὸν καὶ λεγόμενα ἐν αὐτῷ τῷ πολέμῳ. ζητητέον δὲ διὰ τί καὶ Λακεδαιμονίοις παρεῖχε καὶ ἄλλοις, ἐξὸν Ἀθηναίοις μόνοις διδόναι καὶ παρ' ἐκείνων μανθάνειν. καὶ λέγομεν ὅτι οὐκ ἀσκόπως καὶ τοῖς ἄλλοις παρεῖχε· σκοπὸς γὰρ ἦν αὐτῷ τὴν ἀλήθειαν τῶν πραγμάτων συγγράψαι, εἰκὸς δὲ ἦν Ἀθηναίους πρὸς τὸ χρήσιμον ἀπαγγέλλοντας τὸ ἑαυτῶν ψεύδεσθαι, καὶ λέγειν πολλάκις ὡς ἡμεῖς ἐνικήσαμεν, οὐ νικήσαντες. διὸ πᾶσι παρεῖχεν, ἐκ τῆς τῶν πολλῶν συμφωνίας θηρώμενος τὴν τῆς ἀληθείας

[a] ἔνθα καὶ Τιμόθεον υἱὸν αὐτῷ Casaubon. secutus Suidam v. Θουκυδίδης.

κατάληψιν· τὸ γὰρ ἀσαφὲς ἐξελέγχεται τῇ τῶν πολλῶν συνᾳδούσῃ συμφωνίᾳ. Ἤκουσε δὲ διδασκάλων Ἀναξαγόρου μὲν ἐν φιλοσόφοις, ὅθεν, φησὶν Ἄντυλλος, καὶ ἄθεος ἠρέμα ἐνομίσθη, τῆς ἐκεῖθεν θεωρίας ἐμφορηθείς, Ἀντιφῶντος δὲ ῥήτορος, δεινοῦ τὴν ῥητορικὴν ἀνδρός, οὗ καὶ μέμνηται ἐν τῇ ὀγδόῃ ὡς αἰτίου τῆς καταλύσεως τῆς δημοκρατίας καὶ τῆς τῶν τετρακοσίων καταστάσεως. ὅτι δὲ μετὰ τὸν θάνατον τιμωρούμενοι τὸν Ἀντιφῶντα οἱ Ἀθηναῖοι ἔρριψαν ἔξω τῆς πόλεως τὸ σῶμα, σεσιώπηκεν, ὡς διδασκάλῳ χαριζόμενος· λέγεται γὰρ ὡς ἔρριψαν αὐτοῦ τὸ σῶμα οἱ Ἀθηναῖοι ὡς αἰτίου τῆς μεταβολῆς τῆς δημοκρατίας. οὐκ ἐπολιτεύσατο δὲ ὁ συγγραφεὺς γενόμενος ἐν ἡλικίᾳ, οὐδὲ προσῆλθε τῷ βήματι, ἐστρατήγησε δὲ ἀρχέκακον ἀρχὴν παραλαβών· ἀπὸ γὰρ ταύτης φυγαδεύεται. πεμφθεὶς γὰρ ἐπ' Ἀμφίπολιν, Βρασίδου φθάσαντος καὶ προλαβόντος αὐτὴν ἔσχεν αἰτίαν, καίτοι μὴ πάντα καταστὰς ἀνόνητος Ἀθηναίοις· τῆς μὲν γὰρ ἁμαρτάνει, Ἠϊόνα δὲ τὴν ἐπὶ Στρυμόνι λαμβάνει. ἀλλὰ καὶ οὕτω, τὸ πρῶτον ἀτύχημα εἰς ἁμάρτημα μεταλαβόντες, φυγαδεύουσιν αὐτόν. γενόμενος δ' ἐν Αἰγίνῃ μετὰ τὴν φυγήν, ὡς ἂν πλουτῶν, ἐδάνεισε τὰ πλεῖστα τῶν χρημάτων. ἀλλὰ κἀκεῖθεν μετῆλθε, καὶ διατρίβων ἐν Σκαπτῇ ὕλῃ ὑπὸ πλατάνῳ ἔγραφε· μὴ γὰρ δὴ πειθώμεθα Τιμαίῳ λέγοντι ὡς φυγὼν ᾤκησεν ἐν Ἰταλίᾳ. ἔγραφε δ' οὐδ' οὕτω μνησικακῶν τοῖς Ἀθηναίοις, ἀλλὰ φιλαλήθης ὢν καὶ τὰ ἤθη μέτριος, εἴγε οὔτε Κλέων παρ' αὐτῷ οὔτε Βρασίδας ὁ τῆς συμφορᾶς αἴτιος ἀπέλαυσε λοιδορίας, ὡς ἂν τοῦ συγγραφέως ὀργιζομένου. καίτοι οἱ πολλοὶ τοῖς ἰδίοις πάθεσι συνέθεσαν τὰς ἱστορίας, ἥκιστα μελῆσαν αὐτοῖς τῆς ἀληθείας. Ἡρόδοτος μὲν γὰρ ὑπεροφθεὶς ὑπὸ Κορινθίων, ἀποδρᾶναί φησιν αὐτοὺς τὴν ἐν Σαλαμῖνι ναυμαχίαν· Τίμαιος δ' ὁ Ταυρομενίτης Τιμολέοντα ὑπερεπήνεσε τοῦ μετρίου, καθότι Ἀνδρόμαχον τὸν αὐτοῦ πατέρα οὐ κατέλυσε τῆς μοναρχίας· Φίλιστος δὲ τῷ νέῳ Διονυσίῳ τοῖς λόγοις πολεμεῖ· Ξενοφῶν δὲ Μένωνι λοιδορεῖται τῷ Πλάτωνος ἑταίρῳ διὰ τὸν πρὸς Πλάτωνα ζῆλον. ὁ δὲ μέτριος καὶ ἐπιεικής, τῆς ἀληθείας ἥττων.

Μὴ ἀγνοῶμεν δὲ ὅτι ἐγένοντο Θουκυδίδαι πολλοί, οὗτός τε ὁ Ὀλόρου παῖς, καὶ δεύτερος δημαγωγός, Μιλησίου, ὃς καὶ Περικλεῖ διεπολιτεύσατο· τρίτος δὲ γένει Φαρσάλιος, οὗ μέμνηται Πολέμων ἐν τοῖς περὶ ἀκροπόλεως, φάσκων αὐτὸν εἶναι πατρὸς Μένωνος· τέταρτος ἄλλος Θουκυδίδης ποιητής, τὸν δῆμον Ἀχερδούσιος, οὗ μέμνηται Ἀνδροτίων ἐν τῇ Ἀτθίδι, λέγων εἶναι πατρὸς Ἀρίστωνος. συνεχρόνισε δ', ὥς φησι Πραξιφάνης ἐν τῷ περὶ ἱστορίας, Πλάτωνι τῷ κωμικῷ, Ἀγάθωνι τραγικῷ, Νικηράτῳ ἐποποιῷ καὶ Χοιρίλῳ καὶ Μελανιππίδῃ.

καὶ ἐπεὶ μὲν ἔζη Ἀρχέλαος, ἄδοξος ἦν ὡς ἐπὶ πλεῖστον, ὡς αὐτὸς Πραξιφάνης φησίν[a]· ὕστερον δὲ δαιμονίως ἐθαυμάσθη. οἱ μὲν οὖν ἐκεῖ λέγουσιν αὐτὸν ἀποθανεῖν ἔνθα καὶ διέτριβε φυγὰς ὤν, καὶ φέρουσι μαρτύριον τοῦ μὴ κεῖσθαι τὸ σῶμα ἐπὶ τῆς Ἀττικῆς· ἰκρίον γὰρ ἐπὶ τοῦ τάφου κεῖσθαι, τοῦ κενοταφίου δὲ τοῦτο γνώρισμα εἶναι ἐπιχώριον καὶ νόμιμον Ἀττικὸν τῶν ἐπὶ τοιαύτῃ δυστυχίᾳ τετελευτηκότων καὶ μὴ ἐν Ἀθήναις ταφέντων. Δίδυμος δ' ἐν Ἀθήναις, ἀπὸ τῆς φυγῆς ἐλθόντα, βιαίῳ θανάτῳ φησὶν ἀποθανεῖν· τοῦτο δέ φησι Ζώπυρον ἱστορεῖν. τοὺς γὰρ Ἀθηναίους κάθοδον δεδωκέναι τοῖς φυγάσι, πλὴν τῶν Πεισιστρατιδῶν, μετὰ τὴν ἧτταν τὴν ἐν Σικελίᾳ· ἥκοντα οὖν αὐτὸν ἀποθανεῖν βίᾳ, καὶ τεθῆναι ἐν τοῖς Κιμωνίοις μνήμασι. καὶ καταγινώσκειν εὐήθειαν ἔφη τῶν νομιζόντων αὐτὸν ἐκτὸς μὲν τετελευτηκέναι, ἐπὶ γῆς δὲ τῆς Ἀττικῆς τεθάφθαι. εἰ γὰρ οὐκ ἂν ἐτέθη ἐν τοῖς πατρῴοις μνήμασι συλλήβδην τεθεὶς[b], οὐκ ἂν ἔτυχεν οὔτε στήλης οὔτε ἐπιγράμματος, ἣ τῷ τάφῳ προσκειμένη τοῦ συγγραφέως μηνύει τοὔνομα. ἀλλὰ δῆλον ὅτι κάθοδος ἐδόθη τοῖς φεύγουσιν, ὡς καὶ Φιλόχορος λέγει καὶ Δημήτριος ἐν τοῖς ἄρχουσιν. ἐγὼ δὲ Ζώπυρον ληρεῖν νομίζω, λέγοντα τοῦτον ἐν Θρᾴκῃ τετελευτηκέναι, κἂν ἀληθεύειν νομίζῃ Κράτιππος αὐτόν. τὸ δ' ἐν Ἰταλίᾳ Τίμαιον αὐτὸν καὶ ἄλλους λέγειν κεῖσθαι, μὴ καὶ σφόδρα καταγέλαστον ᾖ. λέγεται δ' αὐτὸν τὸ εἶδος γεγονέναι σύννουν μὲν τὸ πρόσωπον, τὴν δὲ κεφαλὴν καὶ τὰς τρίχας εἰς ὀξὺ πεφυκυίας, τήν τε λοιπὴν ἕξιν προσπεφυκέναι τῇ συγγραφῇ. παύσασθαι δὲ τὸν βίον ὑπὲρ τὰ πεντήκοντα ἔτη, μὴ πληρώσαντα τῆς συγγραφῆς τὴν προθεσμίαν.

Ζηλωτὴς δὲ γέγονεν ὁ Θουκυδίδης εἰς μὲν τὴν οἰκονομίαν Ὁμήρου, Πινδάρου δὲ εἰς τὸ μεγαλοφυὲς καὶ ὑψηλὸν τοῦ χαρακτῆρος, ἀσαφῶς δὲ λέγων ἀνὴρ[c] ἐπίτηδες, ἵνα μὴ πᾶσιν εἴη βατὸς, μηδὲ εὐτελὴς φαίνηται παντὶ τῷ βουλομένῳ νοούμενος εὐχερῶς, ἀλλὰ τοῖς λίαν σοφοῖς δοκιμαζόμενος παρὰ τούτοις θαυμάζηται· ὁ γὰρ τοῖς ἀρίστοις ἐπαινούμενος καὶ κεκριμένην δόξαν λαβὼν ἀνάγραπτον εἰς τὸν ἔπειτα χρόνον κέκτηται τὴν τιμὴν, οὐ κινδυνεύουσαν ἐξαλειφθῆναι τοῖς ἐπικρίνουσιν. ἐζήλωσε δὲ ἐπ' ὀλίγον, ὥς φησιν Ἄντυλλος, καὶ τὰς Γοργίου τοῦ Λεοντίνου παρισώσεις καὶ τὰς ἀντιθέσεις τῶν ὀνομάτων, εὐδοκιμούσας κατ' ἐκεῖνο καιροῦ παρὰ τοῖς Ἕλλησι, καὶ μέντοι καὶ Προδίκου τοῦ Κείου τὴν ἐπὶ τοῖς ὀνόμασιν ἀκριβολογίαν. μάλιστα δὲ πάντων,

[a] δηλοῖ Bekk. Poppo.

[b] Leg. ἢ γὰρ οὐκ ἂν ἐτέθη ἐν τοῖς πατρῴοις μνήμασιν, ἢ κλέβδην τεθεὶς οὐκ ἂν——.

[c] Fortasse ὁ ἀνήρ.

ὅπερ εἴπομεν, ἐζήλωσεν Ὅμηρον, καὶ τῆς περὶ τὰ ὀνόματα ἐκλογῆς καὶ τῆς περὶ τὴν σύνθεσιν ἀκριβείας, τῆς τε ἰσχύος τῆς κατὰ τὴν ἑρμηνείαν καὶ τοῦ κάλλους καὶ τοῦ τάχους. τῶν δὲ πρὸ αὐτοῦ συγγραφέων τε καὶ ἱστορικῶν ἀψύχους ὥσπερ εἰσαγόντων τὰς συγγραφὰς, καὶ ψιλῇ μόνῃ χρησαμένων διὰ παντὸς διηγήσει, προσώποις δὲ οὐ περιθέντων λόγους τινὰς οὐδὲ ποιησάντων δημηγορίας, ἀλλ' Ἡροδότου μὲν ἐπιχειρήσαντος, οὐ μὴν ἐξισχύσαντος (δι' ὀλίγων γὰρ ἐποίησε λόγων, ὡς προσωποποιίας μᾶλλον ἤπερ δημηγορίας), μόνος ὁ συγγραφεὺς ἐξεῦρέ τε δημηγορίας καὶ τελείως ἐποίησε μετὰ κεφαλαίων καὶ διαιρέσεως, ὥστε καὶ στάσει ὑποπίπτειν τὰς δημηγορίας· ὅπερ ἐστὶ λόγων τελείων εἰκών. τριῶν δὲ ὄντων χαρακτήρων φραστικῶν, ὑψηλοῦ, ἰσχνοῦ, μέσου, παρεὶς τοὺς ἄλλους ἐζήλωσε τὸν ὑψηλὸν, ὡς ὄντα τῇ φύσει πρόσφορον τῇ οἰκείᾳ καὶ τῷ μεγέθει πρέποντα τοῦ τοσούτου πολέμου· ὧν γὰρ αἱ πράξεις μεγάλαι, καὶ τὸν περὶ αὐτῶν ἔπρεπε λόγον ἐοικέναι ταῖς πράξεσιν. ἵνα δὲ μηδὲ τοὺς ἄλλους ἀγνοῇς χαρακτῆρας, ἴσθι ὅτι μέσῳ μὲν Ἡρόδοτος ἐχρήσατο, ὃς οὔτε ὑψηλός ἐστιν οὔτε ἰσχνὸς, ἰσχνῷ δὲ ὁ Ξενοφῶν. διά γε οὖν τὸ ὑψηλὸν ὁ Θουκυδίδης καὶ ποιητικαῖς πολλάκις ἐχρήσατο λέξεσι, καὶ μεταφοραῖς τισί. περὶ δὲ πάσης τῆς συγγραφῆς ἐτόλμησάν τινες ἀποφήνασθαι, ὅτι αὐτὸ τὸ εἶδος τῆς συγγραφῆς οὐκ ἔστι ῥητορικῆς, ἀλλὰ ποιητικῆς. καὶ ὅτι μὲν οὐκ ἔστι ποιητικῆς, δῆλον ἐξ ὧν οὐχ ὑποπίπτει μέτρῳ τινί. εἰ δέ τις ἡμῖν ἀντείποι ὅτι οὐ πάντως ὁ πεζὸς λόγος ῥητορικῆς ἐστὶν, ὥσπερ οὐδὲ τὰ Πλάτωνος συγγράμματα οὐδὲ τὰ ἰατρικὰ, λέγομεν ὅτι ἀλλ' ἡ συγγραφὴ κεφαλαίοις διαιρεῖται καὶ ἐπὶ εἶδος ἀνάγεται ῥητορικῆς, κοινῶς μὲν πᾶσα συγγραφὴ ἐπὶ τὸ συμβουλευτικὸν (ἄλλοι δὲ καὶ ὑπὸ τὸ πανηγυρικὸν ἀνάγουσι, φάσκοντες ὅτι ἐγκωμιάζει τοὺς ἀρίστους ἐν τοῖς πολέμοις γενομένους), ἐξαιρέτως δὲ ἡ Θουκυδίδου ἐν τοῖς τρισὶν εἴδεσιν ὑποπίπτει, τῷ μὲν συμβουλευτικῷ διὰ τῶν ὅλων δημηγοριῶν, πλὴν τῆς Πλαταιέων καὶ Θηβαίων ἐν τῇ τρίτῃ, τῷ δὲ πανηγυρικῷ διὰ τοῦ ἐπιταφίου, τῷ δὲ δικανικῷ διὰ τῆς δημηγορίας τῶν Πλαταιέων καὶ τῶν Θηβαίων, ἃς ἀνωτέρω τῶν ἄλλων ὑπεξειλόμεθα. ὅπου γὰρ δικασταὶ κρίνουσι Λακεδαιμονίων οἱ παραγενόμενοι, καὶ κρίνεται πρὸς τὴν ἐρώτησιν ὁ Πλαταιεὺς καὶ ἀπολογεῖται περὶ ὧν ἐρωτᾶται, διὰ πλειόνων τοὺς λόγους ποιούμενος, καὶ ἀντιλέγει τούτοις ὁ Θηβαῖος, εἰς ὀργὴν τὸν Λακεδαιμόνιον προκαλούμενος, ἡ τοῦ λόγου τάξις καὶ μέθοδος καὶ τὸ σχῆμα δικανικὸν καθαρῶς ἀποφαίνει τὸ εἶδος.

Λέγουσι δέ τινες τὴν ὀγδόην ἱστορίαν νοθεύεσθαι καὶ μὴ εἶναι Θουκυδίδου, ἀλλ' οἱ μέν φασιν εἶναι τῆς θυγατρὸς αὐτοῦ, οἱ δὲ Ξενο-

φῶντος. πρὸς οὓς λέγομεν ὅτι, τῆς μὲν θυγατρὸς ὡς οὐκ ἔστι, δῆλον. οὐ γὰρ γυναικείας ἦν φύσεως τοιαύτην ἀρετήν τε καὶ τέχνην μιμήσασθαι· ἔπειτα, εἰ τοιαύτη τις ἦν, οὐκ ἂν ἐσπούδασε λαθεῖν, οὐδ' ἂν τὴν ὀγδόην ἔγραψε μόνον, ἀλλὰ καὶ ἄλλα πολλὰ κατέλιπεν ἄν, τὴν οἰκείαν ἐκφαίνουσα φύσιν. ὅτι δὲ οὐδὲ Ξενοφῶντός ἐστιν, ὁ χαρακτὴρ μόνον οὐχὶ βοᾷ· πολὺ γὰρ τὸ μέσον ἰσχνοῦ χαρακτῆρος καὶ ὑψηλοῦ. οὐ μὴν οὐδὲ Θεοπόμπου, καθά τινες ἠξίωσαν. τισὶ δὲ, καὶ μᾶλλον τοῖς χαριεστέροις, Θουκυδίδου μὲν εἶναι δοκεῖ, ἄλλως δ' ἀκαλλώπιστος, δι' ἐκτύπων γεγραμμένη, καὶ πολλῶν πλήρης ἐν κεφαλαίῳ πραγμάτων καλλωπισθῆναι καὶ λαβεῖν ἔκτασιν δυναμένων. ἔνθεν καὶ λέγομεν ὡς ἀσθενέστερον πέφρασται, καὶ ὀλίγον[a] καθότι ἀρρωστῶν αὐτὴν φαίνεται συντεθεικώς. ἀσθενοῦντος δὲ σώματος βραχύ τι καὶ ὁ λογισμὸς ἀτονώτερος εἶναι φιλεῖ· μικροῦ γὰρ συμπάσχουσιν ἀλλήλοις ὅ τε λογισμὸς καὶ τὸ σῶμα. ἀπέθανε δὲ μετὰ τὸν πόλεμον τὸν Πελοποννησιακὸν ἐν τῇ Θρᾴκῃ, συγγράφων τὰ πράγματα τοῦ εἰκοστοῦ καὶ πρώτου ἐνιαυτοῦ. εἴκοσι γὰρ καὶ ἑπτὰ κατέσχεν ὁ πόλεμος. τὰ δὲ τῶν ἄλλων ἓξ ἐτῶν πράγματα ἀναπληροῖ ὅ τε Θεόπομπος καὶ ὁ Ξενοφῶν, οἷς συνάπτει τὴν Ἑλληνικὴν ἱστορίαν. Ἰστέον δὲ ὅτι στρατηγήσας ὁ Θουκυδίδης ἐν Ἀμφιπόλει, καὶ δόξας ἐκεῖ βραδέως ἀφικέσθαι, καὶ προλαβόντος αὐτὸν τοῦ Βρασίδου, ἐφυγαδεύθη ὑπ' Ἀθηναίων, διαβάλλοντος αὐτὸν τοῦ Κλέωνος· διὸ καὶ ἀπεχθάνεται τῷ Κλέωνι, καὶ ὡς μεμηνότα αὐτὸν εἰσάγει πανταχοῦ. καὶ ἀπελθὼν, ὥς φησιν, ἐν τῇ Θρᾴκῃ, τὸ κάλλος ἐκεῖ τῆς συγγραφῆς συνέθηκεν. ἀφ' οὗ μὲν γὰρ ὁ πόλεμος ἤρξατο, ἐσημειοῦτο τὰ λεγόμενα ἅπαντα καὶ τὰ πραττόμενα, οὐ μὴν κάλλους ἐφρόντισε τὴν ἀρχὴν ἀλλ' ἢ τοῦ μόνον σῶσαι τῇ σημειώσει τὰ πράγματα· ὕστερον δὲ μετὰ τὴν ἐξορίαν ἐν Σκαπτῇ ὕλῃ τῆς Θρᾴκης χωρίῳ διαιτώμενος, συνέταξε μετὰ κάλλους ἃ ἐξ ἀρχῆς μόνον ἐσημειοῦτο διὰ τὴν μνήμην. ἔστι δὲ τοῖς μύθοις ἐναντίος διὰ τὸ χαίρειν ταῖς ἀληθείαις. οὐ γὰρ ἐπετήδευσε τοῖς ἄλλοις ταὐτὸν συγγραφεῦσιν οὐδὲ ἱστορικοῖς, οἳ μύθους ἐγκατέμιξαν ταῖς ἑαυτῶν ἱστορίαις, τοῦ τερπνοῦ πλέον τῆς ἀληθείας ἀντιποιούμενοι. ἀλλ' ἐκεῖνοι μὲν οὕτω· τῷ συγγραφεῖ δ' οὐκ ἐμέλησε πρὸς τέρψιν τῶν ἀκουόντων, ἀλλὰ πρὸς ἀκρίβειαν τῶν μανθανόντων γράφειν. καὶ γὰρ ὠνόμασεν ἀγώνισμα τὴν ἑαυτοῦ συγγραφήν. πολλὰ γὰρ τῶν πρὸς ἡδονὴν ἀπέφυγε, τὰς παρενθήκας, ἃς εἰώθασι ποιεῖν οἱ πλείονες, ἀποκλίνας, ὅπου γε καὶ παρ' Ἡροδότῳ καὶ ὁ δελφίς ἐστιν ὁ φιλήκοος καὶ Ἀρίων ὁ κυβερνώμενος μουσικῇ, καὶ ὅλως ἡ δευτέρα τῶν

[a] An fuit ὀλίγου?

ἱστοριῶν τὴν ὑπόθεσιν ψεύδεται. ὁ δὲ συγγραφεὺς οὗτος, ἂν ἀναμνησθῇ τινὸς περιττοῦ, διὰ μὲν τὴν ἀνάγκην λέγει, διηγεῖται δὲ μόνον εἰς γνῶσιν τῶν ἀκουόντων ἀφικνούμενος. ὅ τε γὰρ περὶ Τηρέως αὐτῷ λόγος πέφρασται μόνον περὶ παθῶν τῶν γυναικῶν, ἥ τε Κυκλώπων ἱστορία τῶν τόπων ἐμνημονεύθη χάριν, καὶ ὁ Ἀλκμαίων, ὅτε σωφρονεῖ[a], μνημονεύεται, ἔνθα τὰ τῆς σωφροσύνης αὐτοῦ νήσους ποιεῖ, τὰ δ' ἄλλα οὐκ ἀκριβοῖ. περὶ μὲν οὖν τοὺς μύθους τοιοῦτος. δεινὸς δὲ ἠθογραφῆσαι. καὶ ἐν μὲν τοῖς μέρεσι σαφής, ὑπὸ δὲ τὴν σύνταξιν ἐνίοτε διὰ τὸ ἐπιτεῖνον τῆς ἑρμηνείας ἄδηλος εἶναι δοκῶν. ἔχει δὲ χαρακτῆρα ὑπέρσεμνον καὶ μέγαν. τὸ δὲ τῆς συνθέσεως, τραχύτητος ὂν μεστόν, καὶ ἐμβριθὲς καὶ ὑπερβατικόν, ἐνίοτε δὲ καὶ ἀσαφές. αἱ δὲ βραχύτητες θαυμασταί, καὶ τῶν λέξεων οἱ νόες πλείονες. τὸ δὲ γνωμολογικὸν αὐτοῦ πάνυ ἐπαινετόν. ἐν δὲ ταῖς ἀφηγήσεσι σφόδρα δυνατός, ναυμαχίας ἡμῖν καὶ πολιορκίας, νόσους τε καὶ στάσεις διηγούμενος. πολυειδὴς δὲ ἐν τοῖς σχήμασι, τὰ πολλὰ καὶ τῶν Γοργίου τοῦ Λεοντίνου μιμούμενος, ταχὺς ἐν ταῖς σημασίαις, πικρὸς ἐν ταῖς αὐστηρότησιν, ἠθῶν μιμητὴς καὶ ἄριστος διαγραφεύς. ὄψει γοῦν παρ' αὐτῷ φρόνημα Περικλέους, καὶ Κλέωνος οὐκ οἶδ' ὅ τι ἂν εἴποι τις, Ἀλκιβιάδου νεότητα, Θεμιστοκλέους πάντα, Νικίου χρηστότητα, δεισιδαιμονίαν, εὐτυχίαν μέχρι Σικελίας, καὶ ἄλλα μυρία, ἃ κατὰ μέρος ἐπιδεῖν πειρασόμεθα. ὡς ἐπὶ πλεῖστον δὲ χρῆται τῇ ἀρχαίᾳ ἀτθίδι [τῇ παλαιᾷ], ἣ τὸ $\bar{\xi}$ ἀντὶ τοῦ $\bar{\sigma}$ παρείληφεν, ὅταν ξυνέγραψε καὶ ξυμμαχίαν λέγῃ, καὶ τὴν δίφθογγον τὴν $\overline{\alpha\iota}$ ἀντὶ τοῦ $\bar{\alpha}$ γράφῃ, αἰεὶ λέγων. καὶ ὅλως ἐφευρετής ἐστι καινῶν ὀνομάτων. τὰ μὲν γάρ ἐστιν ἀρχαιότερα τῶν κατ' αὐτὸν χρόνων, τὸ Αὐτοβοεὶ καὶ τὸ Πολεμησείοντες καὶ Παγχάλεπον καὶ Ἁμαρτάδα καὶ ὕλης Φακέλους· τὰ δὲ ποιηταῖς μέλει, οἷον τὸ Ἐπιλύγξαι[b] καὶ τὸ Ἐπηλύται καὶ τὸ Ἀνακῶς καὶ τὰ τοιαῦτα· τὰ δ' ἴδια, οἷον Ἀποσίμωσις καὶ Κωλύμη καὶ Ἀποτείχισις, καὶ ὅσα ἄλλα παρ' ἄλλοις μὲν οὐ κεῖται, ὑπ' αὐτοῦ δὲ λέλεκται. μέλει δὲ αὐτῷ καὶ ὄγκου τῶν ὀνομάτων καὶ δεινότητος τῶν ἐνθυμημάτων, καὶ ὥσπερ φθάσαντες εἴπομεν, βραχύτητος συντάξεως· τὰ γὰρ πολλὰ τῶν πραγμάτων καὶ λέξει δείκνυται. τέθεικε δὲ πολλάκις καὶ πάθη καὶ πράγματα ἀντ' ἀνδρῶν, ὡς τὸ Ἀντίπαλον δέος. ἔχει δὲ καί τι τοῦ πανηγυρικοῦ, ἐν οἷς ἐπιταφίους λέγει, καὶ ποικίλως εἰρωνείας εἰσφέρων, καὶ ἐρωτήσεις ποιούμενος, καὶ φιλοσόφοις εἴδεσι δημηγορῶν· ἐν οἷς γὰρ ἀμοιβαῖός ἐστι, φιλοσοφεῖ. τὴν μέντοι ἰδέαν αὐτοῦ τῶν λέξεων καὶ τῶν συνθέσεων αἰτιῶνται οἱ πλείους, ὧν ἐστὶ Διο-

[a] Vulgo σωφρονεῖν. [b] Fortasse ἐπηλυγάζεσθαι. STEPHAN.

νύσιος ὁ Ἁλικαρνασσεύς· μέμφεται γὰρ αὐτῷ ὡς πεζῇ καὶ πολιτικῇ λέξει χρῆσθαι μὴ δυναμένῳ, οὐκ εἰδὼς ὅτι ταῦτα πάντα δυνάμεώς ἐστι περιττῆς καὶ ἕξεως πλεονεξία. φαίνεται δὲ ἐπὶ τῶν Ἡροδότου χρόνων γενόμενος, εἴγε ὁ μὲν Ἡρόδοτος μέμνηται τῆς Θηβαίων ἐσβολῆς ἐς τὴν Πλάταιαν, περὶ ἧς ἱστορεῖ Θουκυδίδης ἐν τῇ δευτέρᾳ. λέγεται δέ τι καὶ τοιοῦτον, ὥς ποτε τοῦ Ἡροδότου τὰς ἰδίας ἱστορίας ἐπιδεικνυμένου παρὼν τῇ ἀκροάσει Θουκυδίδης καὶ ἀκούσας ἐδάκρυσεν· ἔπειτά φασι τὸν Ἡρόδοτον τοῦτο θεασάμενον εἰπεῖν αὐτοῦ πρὸς τὸν πατέρα τὸν Ὄλορον "ὦ Ὄλορε, ὀργᾷ ἡ φύσις τοῦ υἱοῦ σου πρὸς μαθήματα." ἐτελεύτησε δὲ ἐν τῇ Θρᾴκῃ· καὶ οἱ μὲν λέγουσιν ὅτι ἐκεῖ ἐτάφη, ἄλλοι δὲ λέγουσιν ὅτι ἐν ταῖς Ἀθήναις ἠνέχθη τὰ ὀστᾶ αὐτοῦ κρύφα παρὰ τῶν συγγενῶν, καὶ οὕτως ἐτάφη· οὐ γὰρ ἐξῆν φανερῶς θάπτειν ἐν Ἀθήναις τὸν ἐπὶ προδοσίᾳ φεύγοντα. ἔστι δὲ αὐτοῦ τάφος πλησίον τῶν πυλῶν, ἐν χωρίῳ τῆς Ἀττικῆς ὃ Κοίλη καλεῖται, καθά φησιν Ἄντυλλος, ἀξιόπιστος ἀνὴρ μαρτυρῆσαι, καὶ ἱστορίαν γνῶναι καὶ διδάξαι δεινός. καὶ στήλη δέ, φησίν, ἕστηκεν ἐν τῇ Κοίλῃ, ΘΟΥΚΥΔΙ΄ΔΗΣ ʼΟΛΟ΄ΡΟΥ ʽΑΛΙΜΟΥ΄ΣΙΟΣ ἔχουσα ἐπίγραμμα· τινὲς δὲ προσέθηκαν καὶ τὸ ʼΕΝΘΑ΄ΔΕ ΚΕΙ͂ΤΑΙ. ἀλλὰ λέγομεν ὅτι νοούμενόν ἐστι τοῦτο καὶ προσυπακουόμενον· οὐδὲ γὰρ ἔκειτο ἐν τῷ ἐπιγράμματι. ἔστι δὲ τὴν ἰδέαν καὶ τὸν χαρακτῆρα μεγαλοπρεπής, ὡς μηδὲ ἐν τοῖς οἴκτοις ἀφίστασθαι τοῦ μεγαλοπρεποῦς· ἐμβριθὴς τὴν φράσιν, ἀσαφὴς τὴν διάνοιαν διὰ τὸ ὑπερβατοῖς χαίρειν, ὀλίγοις ὀνόμασι πολλὰ πράγματα δηλῶν, καὶ ποικιλώτατος μὲν ἐν τοῖς τῆς λέξεως σχήμασι, κατὰ δὲ τὴν διάνοιαν τοὐναντίον ἀσχημάτιστος. οὔτε γὰρ εἰρωνείαις οὔτε ἐπιτιμήσεσιν οὔτε ταῖς ἐν πλαγίου ῥήσεσιν οὔτε ἄλλαις τισὶ πανουργίαις πρὸς τὸν ἀκροατὴν κέχρηται, τοῦ Δημοσθένους μάλιστα ἐν τούτοις ἐπιδεικνυμένου τὴν δεινότητα. οἶμαι δὲ οὐκ ἀγνοίᾳ σχηματισμοῦ τοῦ κατὰ διάνοιαν παρεῖναι τὸν Θουκυδίδην τὸ τοιοῦτον, ἀλλὰ τοῖς ὑποκειμένοις προσώποις πρέποντας καὶ ἁρμόζοντας συντιθέντα τοὺς λόγους. οὐ γὰρ ἔπρεπε Περικλεῖ καὶ Ἀρχιδάμῳ καὶ Νικίᾳ καὶ Βρασίδᾳ, ἀνθρώποις μεγαλόφροσι καὶ γενναίοις καὶ ἡρωϊκὴν ἔχουσι δόξαν, λόγους εἰρωνείας καὶ πανουργίας περιτιθέναι, ὡς μὴ παρρησίαν ἔχουσι φανερῶς ἐλέγχειν καὶ ἄντικρυς μέμφεσθαι καὶ ὁτιοῦν βούλονται λέγειν. διὰ τοῦτο τὸ ἄπλαστον καὶ ἀνηθοποίητον ἐπετήδευσε, σώζων κἀν τούτοις τὸ προσῆκον καὶ τῇ τέχνῃ δοκοῦν· τεχνίτου γὰρ ἀνδρὸς φυλάξαι τοῖς προσώποις τὴν ἐπιβάλλουσαν δόξαν καὶ τοῖς πράγμασι τὸν ἀκόλουθον κόσμον. Ἰστέον δὲ ὅτι τὴν πραγματείαν αὐτοῦ οἱ μὲν κατέτεμον εἰς τρεισκαίδεκα ἱστο-

ρίας, ἄλλοι δὲ ἄλλως. ὅμως δὲ ἡ πλείστη καὶ ἡ κοινὴ κεκράτηκε, τὸ μέχρι τῶν ὀκτὼ διῃρῆσθαι τὴν πραγματείαν, ὡς καὶ ἐπέκρινεν ὁ Ἀσκληπιός.

ΑΛΛΑ ΠΕΡΙ ΤΟΥ ΘΟΥΚΥΔΙΔΟΥ, ΑΔΕΣΠΟΤΑ.

ΘΟΥΚΥΔΙΔΗΣ Ἀθηναῖος Ὀλόρου ἦν παῖς, Θρᾴκιον δὲ αὐτῷ τὸ γένος. καὶ γὰρ ὁ πατὴρ αὐτῷ Ὄλορος ἐκ Θρᾴκης εἶχε τοὔνομα. γέγονε δὲ τῶν Μιλτιάδου συγγενής. αὐτίκα γοῦν ἔνθα Μιλτιάδης περὶ Κοίλην τέθαπται, ἐνταῦθα καὶ Θουκυδίδης τέθαπται. ὁ δὲ Μιλτιάδης ἔγημε τοῦ Θρᾳκῶν βασιλέως θυγατέρα Ἡγησιπύλην. γέγονε δὲ Ἀντιφῶντος τοῦ Ῥαμνουσίου μαθητής, δεινοῦ λέγειν, καὶ ὑπόπτου γενομένου τοῖς δικαστηρίοις. καὶ διὰ ταῦτα λέγοντος μὲν οὐκ ἠνείχοντο αὐτοῦ, γράφειν δὲ ἐπεχείρησε τοὺς λόγους, καὶ ἐξέδωκε τοῖς δεομένοις. ἐμαρτύρησε δὲ αὐτῷ καὶ Θουκυδίδης ὁ μαθητὴς ὅτι ᾧ ἂν σύμβουλος γένοιτο, ἄριστα ἐκεῖνος ἀπήλλαττεν εἰς τὰς δίκας. ἀλλ' ὁ μὲν ἔδοξε πονηρὸς Ἀντιφῶν εἶναι, καὶ περὶ τέλη τοῦ Πελοποννησιακοῦ πολέμου κριθεὶς προδοσίας, ὡς Λακεδαιμονίοις μὲν τὰ ἄριστα κατὰ πρεσβείαν παραινέσας, Ἀθηναίοις δὲ ἀλυσιτελέστατα, ἑάλω. καὶ σὺν αὐτῷ διεφθάρησαν Ἀρχεπτόλεμος καὶ Ὀνομακλῆς, ὧν καὶ κατεσκάφησαν καὶ αἱ οἰκίαι, καὶ τὸ γένος τὸ μὲν διεφθάρη, τὸ δὲ ἄτιμον ἐγένετο. στρατηγικὸς δὲ ἀνὴρ ὁ Θουκυδίδης γενόμενος, καὶ τὰ περὶ Θάσον πιστευθεὶς μέταλλα, πλούσιος μὲν ἦν καὶ μέγα ἐδύνατο· ἐν δὲ τῷ Πελοποννησιακῷ πολέμῳ αἰτίαν ἔσχε προδοσίας ἐκ βραδυτῆτός τε καὶ ὀλιγωρίας. ἔτυχε μὲν γὰρ Βρασίδας τὰς ἐπὶ Θρᾴκης καταλαβὼν πόλεις Ἀθηναίων, ἀφιστὰς μὲν Ἀθηναίων, Λακεδαιμονίοις δὲ προστιθείς· κἀνταῦθα δέον ταχέως ἀναπλεῦσαι, καὶ σῶσαι μὲν τὴν Ἠϊόνα ἐγγὺς κειμένην, περιποιῆσαι δὲ τὴν Ἀμφίπολιν, μέγα κτῆμα τοῖς Ἀθηναίοις, τὴν μὲν Ἠϊόνα ἐδυνήθη φθάσας σῶσαι, τὴν δὲ Ἀμφίπολιν ἀπώλεσε. καίτοι Κλέων βοηθῶν ταῖς ἐπὶ Θρᾴκης πόλεσι κατέπλευσε μὲν εἰς Ἀμφίπολιν, ἀλλ' ὅμως μάχης γενομένης Βρασίδας μὲν ὁ Λακεδαιμόνιος ἐνίκησεν αὐτόν, Κλέων δὲ ἀπέθανεν, ὑπὸ Μυρκινίου πελταστοῦ βληθείς. οὐ μὴν ἀλλὰ καὶ Βρασίδας τῆς νίκης αἰσθόμενος ἀπέθανε, καὶ Ἀμφίπολις Ἀθηναίων ἀπέστη, Λακεδαιμονίων δὲ ἐγένετο. ἔνθα καὶ τὰ Ἁγνώνεια οἰκοδομήματα καθελόντες οἱ Ἀμφιπολῖται Βρασίδεια ἐκάλεσαν, μισήσαντες μὲν τὴν Ἀττικὴν ἀποικίαν, λακωνίσαντες δὲ κἀν τούτῳ, καὶ τὴν τιμὴν μεταθέντες εἰς Λακεδαί-

μονα. γενόμενος δὲ φυγὰς ὁ Θουκυδίδης ἐσχόλαζε τῇ ξυγγραφῇ τοῦ Πελοποννησιακοῦ πολέμου, καὶ διὰ τοῦτο δοκεῖ πολλὰ χαρίζεσθαι μὲν Λακεδαιμονίοις, κατηγορεῖν δὲ Ἀθηναίων τὴν τυραννίδα καὶ πλεονεξίαν. οὗ[a] γὰρ καιρὸς αὐτῷ κατειπεῖν Ἀθηναίων ἐγένετο, Κορινθίων κατηγορούντων ἢ Λακεδαιμονίων μεμφομένων ἢ Μιτυληναίων αἰτιωμένων, πολὺς ἐν τοῖς ἐγκλήμασι τοῖς Ἀττικοῖς ἐρρύη· καὶ τὰς μὲν νίκας τὰς Λακωνικὰς ἐξῆρε τῷ λόγῳ, τὰς δὲ ξυμφορὰς ηὔξησε τὰς Ἀττικάς, ὅπου καὶ τὰς ἐν Σικελίᾳ. πέπαυται δὲ τὸ τῆς συγγραφῆς ἐν τῇ ναυμαχίᾳ τῇ περὶ Κυνὸς σῆμα, τουτέστι περὶ τὸν Ἑλλήσποντον, ἔνθα δοκοῦσι καὶ νενικηκέναι Ἀθηναῖοι. τὰ δὲ μετὰ ταῦτα ἑτέροις γράφειν κατέλιπε, Ξενοφῶντι καὶ Θεοπόμπῳ. εἰσὶ δὲ καὶ αἱ ἐφεξῆς μάχαι. οὔτε γὰρ τὴν δευτέραν ναυμαχίαν τὴν περὶ Κυνὸς σῶμα, ἣν Θεόπομπος εἶπεν, οὔτε τὴν περὶ Κύζικον, ἣν ἐνίκα Θρασύβουλος καὶ Θηραμένης καὶ Ἀλκιβιάδης, οὔτε τὴν ἐν Ἀργινούσαις ναυμαχίαν, ἔνθα νικῶσιν Ἀθηναῖοι Λακεδαιμονίους, οὔτε τὸ κεφάλαιον τῶν κακῶν τῶν Ἀττικῶν, τὴν ἐν Αἰγὸς ποταμοῖς ναυμαχίαν, ὅπου καὶ τὰς ναῦς ἀπώλεσαν Ἀθηναῖοι καὶ τὰς ἑξῆς ἐλπίδας· καὶ γὰρ τὸ τεῖχος αὐτῶν καθῃρέθη, καὶ ἡ τῶν τριάκοντα τυραννὶς κατέστη, καὶ πολλαῖς ξυμφοραῖς περιέπεσεν ἡ πόλις, ἃς ἠκρίβωσε Θεόπομπος. ἦν δὲ τῶν πάνυ κατὰ γένος Ἀθήνῃσι δοξαζομένων ὁ Θουκυδίδης. δεινὸς δὲ δόξας εἶναι ἐν τῷ λέγειν, πρὸ τῆς συγγραφῆς προέστη τῶν πραγμάτων· πρώτην δὲ τῆς ἐν τῷ λέγειν δεινότητος τήνδε ἐποιήσατο τὴν ἐπίδειξιν. Πυριλάμπης γάρ τις τῶν πολιτῶν ἄνδρα φίλον καὶ ἐρώμενον ἴδιον διά τινα ζηλοτυπήσας ἐφόνευσε· ταύτης δὲ τῆς δίκης ἐν Ἀρείῳ πάγῳ κινουμένης[b] πολλὰ τῆς ἰδίας σοφίας ἐπεδείξατο, ἀπολογίαν ποιούμενος ὑπὲρ τοῦ Πυριλάμπους, καὶ Περικλέους κατηγοροῦντος ἐνίκα. ὅθεν καὶ στρατηγὸν αὐτὸν ἑλομένων Ἀθηναίων, ἄρχων προέστη τοῦ δήμου. μεγαλόφρων δὲ ἐν τοῖς πράγμασι γενόμενος, ἅτε φιλοχρηματῶν, οὐκ εἴα τὸν[c] πλείονα χρόνον προστατεῖν τοῦ δήμου. πρῶτον μὲν γὰρ ὑπὸ τοῦ Ξενοκρίτου, ὡς Σύβαριν ἀποδημήσας, ὡς ἐπανῆλθεν εἰς Ἀθήνας, συγχύσεως δικαστηρίου φεύγων ἑάλω· ὕστερον δὲ ἐξοστρακίζεται ἔτη δέκα. φεύγων δὲ ἐν Αἰγίνῃ διέτριβε, κἀκεῖ λέγεται τὰς ἱστορίας αὐτὸν συντάξασθαι. τότε δὲ τὴν φιλαργυρίαν αὐτοῦ μάλιστα φανερὰν γενέσθαι· ἅπαντας γὰρ Αἰγινήτας κατατοκίζων ἀναστάτους ἐποίησε, μετὰ δὲ τὴν ἱστορίαν φασὶ συντετάχθαι τῷ συγγραφεῖ τὸ προοίμιον, ἐπεὶ τῶν ἐν τῷ πολέμῳ μέμνηται γεγονότων, ὥσπερ τῆς Δήλου καθάρσεως, ἣν περὶ τὸ ἕβδομον ἔτος ἐπὶ Εὐθύνου ἄρχοντος γεγενῆσθαί φασι. μέμνηται δὲ ἐν αὐτῷ καὶ τῆς τοῦ πολέμου τελευτῆς,

[a] Vulgo οὐ. [b] κρινομένης Bekk. [c] εἴα τὸν] An εἴᾶτο Bekk.

λέγων "Ἐς τὴν τελευτὴν τοῦδε τοῦ πολέμου." ἀλλὰ καὶ ἐν ἀρχῇ φησὶ "Κίνησις γὰρ [a] *αὕτη μεγίστη τοῖς Ἕλλησιν ἐγένετο, καὶ μέρει "τινὶ τῶν βαρβάρων, ὡς δὲ εἰπεῖν, καὶ ἐπὶ πλεῖστον ἀνθρώπων." πληρώσας δὲ τὴν ὀγδόην ἱστορίαν ἀπέθανε νόσῳ. σφάλλονται γὰρ οἱ λέγοντες μὴ Θουκυδίδου εἶναι τὴν ὀγδόην, ἀλλ' ἑτέρου συγγραφέως. τελευτήσας δ' ἐν Ἀθήνῃσιν ἐτάφη πλησίον τῶν Μελιτίδων πυλῶν, ἐν χωρίῳ τῆς Ἀττικῆς ὃ προσαγορεύεται Κοίλη, εἴτε αὐτὸς ἐπανελθὼν Ἀθήναζε ἐκ τῆς φυγῆς τοῦ ὁρισθέντος χρόνου πληρωθέντος, καὶ τελευτήσας ἐν τῇ ἰδίᾳ πατρίδι, εἴτε μετακομισθέντων αὐτοῦ τῶν ὀστέων ἀπὸ Θρᾴκης, ἐκεῖ καταστρέψαντος τὸν βίον· λέγεται γὰρ ἐπ' ἀμφότερα. καὶ στήλη τις ἀνέστηκεν ἐν τῇ Κοίλῃ τοῦτο ἔχουσα τὸ ἐπίγραμμα.*

ΘΟΥΚΥΔΙ'ΔΗΣ 'ΟΛΟ'ΡΟΥ 'ΑΛΙΜΟΥ'ΣΙΟΣ 'ΕΝΘΑ'ΔΕ ΚΕΙ͂ΤΑΙ.

[a] *αὕτη δὴ* Bekk. Poppo.

ΘΟΥΚΥΔΙΔΟΥ ΞΥΓΓΡΑΦΗΣ

Α.

I. ΘΟΥΚΥΔΙΔΗΣ Ἀθηναῖος ξυνέγραψε τὸν πόλεμον τῶν Πελοποννησίων καὶ Ἀθηναίων, ὡς ἐπολέμησαν πρὸς ἀλλήλους, ἀρξάμενος εὐθὺς καθισταμένου καὶ ἐλπίσας μέγαν τε ἔσεσθαι καὶ ἀξιολογώτατον τῶν προγεγενημένων, τεκμαιρόμενος ὅτι ἀκμάζοντές τε 5 ἦσαν ἐς αὐτὸν ἀμφότεροι παρασκευῇ τῇ πάσῃ, καὶ τὸ ἄλλο Ἑλληνικὸν ὁρῶν ξυνιστάμενον πρὸς ἑκατέρους, τὸ μὲν εὐθὺς, τὸ δὲ καὶ διανοούμενον. 2 κίνησις γὰρ αὕτη μεγίστη δὴ τοῖς Ἕλλησιν ἐγένετο καὶ μέρει τινὶ τῶν βαρβάρων, 10

The subject of this history is the Peloponnesian war; a far more important war than Greece had ever known before. To prove its greater importance, Thucydides reviews the state of Greece from the earliest times down to the commencement

2. τῶν Ἀθηναίων καὶ Πελοποννησίων I. ἐπολέμισαν I. 6. ἤισαν F. ἦσαν corr. G. (cujus margo μετὰ σπουδῆς ἐπορεύοντο) et Bekk. ceteri codices ἦσαν. τῇ om. I. 7. ἄλλον c.e. συνιστάμενον c.e. 8. πρὸς ἑκατέρους] om. H.I.a.c.e. et pr. F. 9. κίνησίς τε γὰρ g. αὕτη δὴ μεγίστη F.H.I.V.c.e.

3. ἀρξάμενος—ἐλπίσας] This preface was apparently written after the conclusion of the war, when Thucydides began to digest the information which he had previously collected into the form of a regular history. In this way he lived to complete six books entirely; to the seventh, as some think, his final touches are wanting; and the eighth is altogether unfinished. The materials which he had collected for the last years of the war were probably lost at his death, unless we conceive it possible that Xenophon might have availed himself of them for his continuation of Thucydides' History.

5. ὅτι ἀκμάζοντές τε ἦσαν, καὶ—ὁρῶν] Transit a constructione per ὅτι ad participium. Nam καὶ pertinet ad præcedens τε post ἀκμάζοντες. Haack.

ἀκμάζοντες ἦσαν ἐς αὐτὸν] "They were "most excellently provided with resources *for war*." Bekker, in his latest edition, reads ᾖσαν, that is, ἤϊσαν; and Duker, in defence of this reading, (which is noticed by several of the ancient grammarians,) refers to Thucyd. I. 118, 2. ἰέναι ἐς τοὺς πολέμους, and 123, 1. θαρσοῦντας ἰέναι ἐς τὸν πόλεμον. Poppo, Göller, and Krüger, retain the common reading ἦσαν; and Krüger observes, "ἀκμάζειν ἔς τι eodem modo dictum ut "II. 8, 1. ἔρρωντο ἐς τὸν πόλεμον."

8. διανοούμενον.] Repete ξυνίστασθαι. Conf. I. 124, 2. ὥστε τῶν μὲν ἤδη ἄρχειν, τῶν δὲ διανοεῖσθαι, i.e. διανοεῖσθαι ἄρχειν. Conf. etiam V. 80, 2. Göller.

9. κίνησις γὰρ—ἀνθρώπων. "For this was "the greatest general movement which "ever befell the Greeks, and a large "portion of the barbarians, and one may "almost say, a great part of mankind." It may be doubtful whether Thucydides

3 of the Peloponnesian war. Chapp. 2—19.

ὡς δὲ εἰπεῖν καὶ ἐπὶ πλεῖστον ἀνθρώπων. τὰ γὰρ πρὸ αὐτῶν καὶ τὰ ἔτι παλαιότερα σαφῶς μὲν εὑρεῖν διὰ χρόνου πλῆθος ἀδύνατα ἦν· ἐκ δὲ τεκμηρίων, ὧν ἐπὶ μακρότατον σκοποῦντί μοι πιστεῦσαι ξυμβαίνει, οὐ μεγάλα νομίζω γενέσθαι, οὔτε κατὰ τοὺς πολέμους οὔτε ἐς τὰ 5 ἄλλα. II. φαίνεται γὰρ ἡ νῦν Ἑλλὰς καλουμένη οὐ πάλαι

Its earliest state was one of mere barbarism: its inhabitants were migratory tribes.

βεβαίως οἰκουμένη, ἀλλὰ μεταναστάσεις τε οὖσαι τὰ πρότερα, καὶ ῥᾳδίως ἕκαστοι τὴν ἑαυτῶν ἀπολείποντες, βιαζόμενοι ὑπό τινων ἀεὶ

3. ἀδύνατα A.B.N.O.Q.V.c.e.f.g.h. et margo L. cum Suida v. ἀδύνατα ἦν et Schol. Eurip. Hippol. 269; ceteri (inter quos F.G.) ἀδύνατον cum Dionysio p. 164 et 858 et 871. 4. ξυμβαίνει B.E.V.a.b.f.g. συμβαίνειν I. συμβαίνει ceteri. 6. γὰρ] μὲν A. 7. μετανάστης τε οὖσα g. 8. ἕκαστος Dionys. p. 872. 9. ὑπό τινων αἰεὶ E, qui raro vel nunquam ἀεί; ἀεὶ ὑπό τινων P.Q.

actually meant to say this, or whether he meant to confine the words μεγίστη δὴ to the Greeks alone, and merely to say that "it extended itself to a large portion of "the barbarians." But the first and simple meaning of the words may be taken without difficulty; for Thucydides expressly calls the Peloponnesian war greater than the Persian in ch. 23, 1, 2; and no other war except the Persian could within his knowledge enter into comparison with it. The expression μέρει τινὶ resembles, I suppose, the sense of the same words in ch. 23, 4. and in VII. 30, 2. "a large proportion of the barbarians." See the notes there.

1. For the expression ἐπὶ πλεῖστον ἀνθρώπων, see note to I. 49, 7.

2. πρὸ αὐτῶν] The plural pronoun refers to some such expression as τὰ τοῦ πολέμου, or τὰ Πελοποννησίακα, as we often find the Persian war called τὰ Μηδικά.

3. Lectio altera, ἀδύνατα, eundem omnino sensum efficit: sed magis Thucydideam (utpote veteri linguæ Atticæ, qua potissimum utitur Thucydides, magis convenientem) esse crediderim. Sic certe I. 59, 2. νομίσαντες δὲ οἱ στρατηγοὶ ἀδύνατα εἶναι πρός τε Περδίκκαν πολεμεῖν. Sic etiam III. 88, 1. θέρους γὰρ δι' ἀνυδρίαν ἀδύνατα ἦν ἐπιστρατεύειν. Et alibi, V. 14, 3. ὥστ' ἀδύνατα ἐφαίνετο Ἀργείοις καὶ Ἀθηναίοις ἅμα πολεμεῖν. Nec vero isto tantum nomine in plurali potius quam in singulari uti solet, sed παριτητέα itidem atque ἐπιχειρητέα, quin etiam, πλευστέα, pro παριτητέον, et ἐπιχειρητέον, atque πλευστέον, dicit. STEPH. Cf. Valcken. ad Eurip. Hippol. p. 203. Koen. ad Gregor. p. 53. BEKK.

4. ὧν—πιστεῦσαι ξυμβαίνει] Ad ὧν repetenda præpositio ἐξ, ut monuit Schæfer; ad Dionys. p. 325. Conf. I. 28. παρὰ πόλεσιν αἷς ἂν ἀμφότεροι ξυμβῶσιν, i. e. παρ' αἷς. GÖLLER. Others refer the genitive ὧν to σκοποῦντι, and others again to πιστεῦσαι; but neither of these constructions can, I think, be admitted. Krüger thinks that ὧν is put, by what is technically called the attraction of its antecedent τεκμηρίων, instead of the accusative ἅ, which would naturally be required by the participle σκοποῦντι. Göller, in his second edition, seems inclined to adopt this last explanation, which indeed is the simplest of any.

ἐπὶ μακρότατον σκοποῦντι] The Scholiast and Poppo explain these words as signifying, "diutissime perpendere." I believe that the interpretation given by Göller in his first edition was the true one, "so weit als möglich in der For-"schung zurückgehend," "going back "as far as possible in my inquiry." Compare Herodotus IV. 16, 3. ὅσον μὲν ἡμεῖς ἀτρεκέως ἐπὶ μακρότατον οἷοί τ' ἐγενόμεθα ἀκοῇ ἐξικέσθαι, πᾶν εἰρήσεται.

7. μεταναστάσεις τε οὖσαι] Supply φαίνονται.

9. βιαζόμενοι ὑπό τινων ἀεὶ πλειόνων] Coacti ab iis quicunque majore numero ipsos invaderent. HAACK.

πλειόνων. τῆς γὰρ ἐμπορίας οὐκ οὔσης, οὐδ' ἐπιμιγνύντες 2 ἀδεῶς ἀλλήλοις οὔτε κατὰ γῆν οὔτε διὰ θαλάσσης, νεμόμενοί τε τὰ αὑτῶν ἕκαστοι ὅσον ἀποζῆν, καὶ περιουσίαν χρημάτων οὐκ ἔχοντες οὐδὲ γῆν φυτεύοντες, ἄδηλον ὂν ὁπότε τις ἐπελθὼν,
5 καὶ ἀτειχίστων ἅμα ὄντων, ἄλλος ἀφαιρήσεται, τῆς τε καθ' ἡμέραν ἀναγκαίου τροφῆς πανταχοῦ ἂν ἡγούμενοι ἐπικρατεῖν, οὐ χαλεπῶς ἀπανίσταντο, καὶ δι' αὐτὸ οὔτε μεγέθει πόλεων ἴσχυον οὔτε τῇ ἄλλῃ παρασκευῇ. μάλιστα δὲ τῆς γῆς ἡ 3 ἀρίστη ἀεὶ τὰς μεταβολὰς τῶν οἰκητόρων εἶχεν, ἥ τε νῦν
10 Θεσσαλία καλουμένη, καὶ Βοιωτία, Πελοποννήσου τε τὰ πολλὰ πλὴν Ἀρκαδίας, τῆς τε ἄλλης ὅσα ἦν κράτιστα. διὰ γὰρ 4 ἀρετὴν γῆς αἵ τε δυνάμεις τισὶ μείζους ἐγγιγνόμεναι στάσεις ἐνεποίουν ἐξ ὧν ἐφθείροντο, καὶ ἅμα ὑπὸ ἀλλοφύλων μᾶλλον ἐπεβουλεύοντο. τὴν γοῦν Ἀττικὴν ἐκ τοῦ ἐπὶ πλεῖστον διὰ 5
15 τὸ λεπτόγεων ἀστασίαστον οὖσαν ἄνθρωποι ᾤκουν οἱ αὐτοὶ

1. ἐμπορείας i. 2. ἀλλήλους I. 3. ἑαυτῶν Q.a.e.f. cum Dionysio p. 169. ἀποζῆν Bekk. 5. ἀτειχίστων ὄντων ἀφαιρήσεται a. τε] om. Dionysius p. 165. καθ' ἡμέραν] om. L.O. 6. ἀναγκαίας f. 7. ἀνίσταντο f. cum Dionysio l.l. qui ἀπανίσταντο p. 805. 9. εἶχεν] ἐλάμβανεν Maximus Tyrius 2. p. 84. Reisk. 10. καλουμένη Θεσσαλία V. 12. ἐγγιγνόμεναι A.F.H.a.b.c. γιγνόμεναι e. γενόμεναι f. ceteri ἐγγινόμεναι. 14. Ἀττικὴν διὰ τὸ λεπτόγεων εἶναι ἀστασ. Maximus l. l. 15. λεπτόγαιων V. οἱ] om. I.

3. ἀποζῆν] To get a living *from*. To live *on*.

4. ἄδηλον ὂν] Compare a similar construction in Livy, VIII. 17. Alexander, incertum qua fide culturus, pacem cum Romanis fecit.

9. ἥ τε νῦν Θεσσαλία καλουμένη] See Herodot. VII. 176, 6. Θεσσαλοὶ ἦλθον ἐκ Θεσπρωτῶν, οἰκήσοντες γῆν τὴν Αἰολίδα, τήνπερ νῦν ἐκτέαται.

14. ἐκ τοῦ ἐπὶ πλεῖστον—οὖσαν] The Scholiast and Göller, in his first edition, explain this by considering οὖσαν to be used instead of εἶναι. There would then be a confusion between two distinct modes of expression, ἐκ τοῦ—ἀστασίαστον εἶναι, and τὴν γοῦν Ἀττικὴν—ἀστασίαστον οὖσαν, leaving out ἐκ τοῦ. Comp. notes to IV. 63, 1. V. 7, 2. But it seems better to take ἐκ τοῦ ἐπὶ πλεῖστον as a single expression, so that τὸ ἐπὶ πλεῖστον should be used as a substantive, as τὸ παρὰ πολὺ in II. 89, 6. or τὸ ὡς ἐπὶ τὸ πολὺ "that which generally happens," in Aristotle. ἐκ τοῦ ἐπὶ πλεῖστον will then signify, as Phavorinus interpreted it, ἀνέκαθεν; "from the remotest period."

διὰ τὸ λεπτόγεων] Erat enim solum Atticum parum uber: ipsi deparci victus, qualis hominum pauperum: tota vitæ ratio adstricta et diligens. Vide Casaub. Animadvers. in Athenæum, pag. 95. Huds. Et Schol. Aristoph. Acharn. v. 75. et Av. 123. Videtur etiam eo respicere Lucian. Encom. Patr. p. 480. Add. Spanh. ad Julian. Orat. I. p. 78. et ad Aristoph. Nub. v. 298. Duk.

15. ᾤκουν οἱ αὐτοὶ ἀεί] Herodot. VII. 161, 6. Ἐόντες Ἀθηναῖοι,—ἀρχαιότατον μὲν ἔθνος παρεχόμενοι, μοῦνοι δὲ ἐόντες οὐ μετανάσται Ἑλλήνων. Huds.

6 ἀεί. καὶ παράδειγμα τόδε τοῦ λόγου οὐκ ἐλάχιστόν ἐστι, διὰ τὰς μετοικίας ἐς τὰ ἄλλα μὴ ὁμοίως αὐξηθῆναι· ἐκ γὰρ τῆς ἄλλης Ἑλλάδος οἱ πολέμῳ ἢ στάσει ἐκπίπτοντες παρ' Ἀθηναίους οἱ δυνατώτατοι, ὡς βέβαιον ὄν, ἀνεχώρουν, καὶ πολῖται γιγνόμενοι εὐθὺς ἀπὸ παλαιοῦ μείζω ἔτι ἐποίησαν πλήθει 5 ἀνθρώπων τὴν πόλιν, ὥστε καὶ ἐς Ἰωνίαν ὕστερον, ὡς οὐχ ἱκανῆς οὔσης τῆς Ἀττικῆς, ἀποικίας ἐξέπεμψαν. III. δηλοῖ δέ μοι καὶ τόδε τῶν παλαιῶν ἀσθένειαν οὐχ ἥκιστα· πρὸ γὰρ τῶν Τρωϊκῶν οὐδὲν φαίνεται πρότερον κοινῇ ἐργασαμένη

2 Nor had they even in common the very name of Greeks or Hellenians.

ἡ Ἑλλάς, δοκεῖ δέ μοι, οὐδὲ τοὔνομα τοῦτο 10 ξύμπασά πω εἶχεν, ἀλλὰ τὰ μὲν πρὸ Ἕλληνος τοῦ Δευκαλίωνος καὶ πάνυ οὐδὲ εἶναι ἡ ἐπίκλησις αὕτη, κατὰ ἔθνη δὲ ἄλλα τε καὶ τὸ Πελασγικὸν ἐπὶ πλεῖστον ἀφ' ἑαυτῶν τὴν ἐπωνυμίαν παρέχεσθαι, Ἕλληνος δὲ

2. ἀποικίας G.O.P.d.i. et γρ. Q. 3. ἄλλης] om. e. οἱ] ἡ b. 4. οἱ δυνατώτατοι] om. N. βεβαίως I. ὂν] om. pr. g. 5. γενόμενοι N.Q.V. 8. ἀσθένειαν] om. pr. g. 9. εἰργασμένη a. 11. πως N.V. et γρ. G. 12. καὶ] om. G. καὶ πάνυ] om. d. 13. κατὰ] καὶ τὰ H. καὶ Salmasius de Hellenist. p. 274 et 283.

1. καὶ παράδειγμα–αὐξηθῆναι] The sense appears to be, "And this is no inconsi-"derable example of my statement, "that it was owing to the migrations "that Greece in its other parts did "not thrive equally, [or, in like man-"ner,] with Attica. It is an example, "I say, of this statement, that all those "who were driven out from the rest of "Greece took refuge in Attica, and "made that country early populous." Attica became populous because refugees from other countries flocked thither, attracted by its security: this affords a presumption that if other cities had enjoyed an equal security, and had not been so continually changing their inhabitants, they too might have thriven as well as Attica. The λόγος, or statement, to which Thucydides here refers, had been given earlier in the chapter, in the words, οὐ χαλεπῶς ἀπανίσταντο, καὶ δι' αὐτὸ οὔτε μεγέθει πόλεων ἴσχυον, οὔτε τῇ ἄλλῃ παρασκευῇ.

The second Scholiast gives the above interpretation in the main, though he understands the λόγος, or statement, referred to, rather differently. His words are, Σημεῖον δέ μοι * * * τὸ τὴν Ἑλλάδα κατὰ τὰ ἄλλα αὐτῆς μέρη μὴ ὁμοίως τῇ Ἀττικῇ αὐξηθῆναι. Thus he agrees in the main point, that "Greece," τὴν Ἑλλάδα, is the subject of the verb αὐξηθῆναι, and that ἐς τὰ ἄλλα is to be translated, "in its other parts." Osiander's note, in the Frankfort Thucydides, 1830, agrees more entirely with what has been given above. Poppo and Göller would strike out ἐς, and understand τὰ ἄλλα μὴ ὁμοίως αὐξηθῆναι as meaning τὰ ἄλλα τῆς Ἑλλάδος. Their sense of the passage is therefore the same as mine.

5. ἀπὸ παλαιοῦ] Vid. Petit. Leg. Attic. p. 130. DUK.

“ καιρὸν ἔχουσα, κἂν ἐλάσσων ᾖ, δύναται μεῖζον ἔγκλημα
3 “ λῦσαι. μηδ' ὅτι ναυτικοῦ ξυμμαχίαν μεγάλην διδόασι, 10
“ τούτῳ ἐφέλκεσθε· τὸ γὰρ μὴ ἀδικεῖν τοὺς ὁμοίους ἐχυρω-
“ τέρα δύναμις ἢ τῷ αὐτίκα φανερῷ ἐπαρθέντας διὰ κινδύνων
“ τὸ πλέον ἔχειν. XLIII. ἡμεῖς δὲ περιπεπτωκότες οἷς ἐν

Which would be in the end impolitic, as well as ungrateful.

“ τῇ Λακεδαίμονι αὐτοὶ προείπομεν, τοὺς σφε-
“ τέρους ξυμμάχους αὐτόν τινα κολάζειν, νῦν 15
“ παρ' ὑμῶν τὸ αὐτο ἀξιοῦμεν κομίζεσθαι, καὶ μὴ τῇ ἡμετέρᾳ
2 “ ψήφῳ ὠφεληθέντας τῇ ὑμετέρᾳ ἡμᾶς βλάψαι. τὸ δ' ἴσον
“ ἀνταπόδοτε, γνόντες τοῦτον ἐκεῖνον εἶναι τὸν καιρὸν ἐν ᾧ
3 “ ὅ τε ὑπουργῶν φίλος μάλιστα καὶ ὁ ἀντιστὰς ἐχθρός. καὶ
“ Κερκυραίους τούσδε μήτε ξυμμάχους δέχεσθε βίᾳ ἡμῶν, 20
4 “ μήτε ἀμύνετε αὐτοῖς ἀδικοῦσι. καὶ τάδε ποιοῦντες τὰ
“ προσήκοντά τε δράσετε καὶ τὰ ἄριστα βουλεύσεσθε ὑμῖν
“ αὐτοῖς.” Τοιαῦτα δὲ καὶ οἱ Κορίνθιοι εἶπον.

1. ταῦτα g. 3. ἁμαρτάνῃ A.C.F.H.I.K.N.V.e.i. B. hocne habeat an vulgatum ἁμαρτάνοι, non liquet. ἁμαρτάνῃ Haack. Poppo. Goeller. Bekk. 4. οἱ κερκ. K. 11. ἐφέλκεσθαι E.G. ἰσχυροτέρα G. ἰσχυρωτέρα V. 12. τὸ I. φανερῶς P.Q. 14. τῇ] om. L.O. 15. αὐτῶν F. τινα] om. pr. G. Bekk. τινα κολ.] κολ. τινα C.G.K.L.O.P.Q.d.e. 16. τὸ αὐτὸ παρ. ὑμ. c. μὴ] om. E.H. 18. τοῦτον εἶναι τὸν καιρὸν ἐκεῖνον f. τοῦτον ἐκεῖνον εἶναι καιρὸν h. 19. καὶ κερκ.] καὶ om. Q.e. 20. τε quod post κερκ. habent C.G. omisi cum A.B.E.e.f.g.h. Bekk. δὲ F.H.K.Q.V. τούτους g. δέχεσθε A.B.C.E.H.V. Haack. Poppo. Goell. Bekk. δέχοισθε e. δέχεσθαι F. G. et vulgo δέχησθε. 21. ἀμύνετε A.C.E.F. Haack. Poppo. Goeller. Bekk. ἀμύνοιτε e. B.G. et vulgo ἀμύνητε. 22. τε] om. V.g. δράσαιτε E. βουλεύεσθε B. ἐν ὑμῖν G.I. K.L.M.O.b. 23. δη G. fortasse corr.

8. ὑποψίας] Compare I. 103, 4, 5.

13. περιπεπτωκότες οἷς ἐν τῇ Λακ. προείπομεν] “Ourselves having now become fit subjects for the application “of that principle which we before “avowed at Lacedæmon.”

ATHENS. A. C. 432. Olymp. 87. 1.

XLIV. Ἀθηναῖοι δὲ ἀκούσαντες ἀμφοτέρων, γενομένης καὶ δὶς ἐκκλησίας, τῇ μὲν προτέρᾳ οὐχ ἧσσον τῶν Κορινθίων ἀπεδέξαντο τοὺς λόγους, ἐν δὲ τῇ ὑστεραίᾳ μετέγνωσαν Κερκυραίοις ξυμμαχίαν μὲν μὴ 5 ποιήσασθαι ὥστε τοὺς αὐτοὺς ἐχθροὺς καὶ φίλους νομίζειν (εἰ γὰρ ἐπὶ Κόρινθον ἐκέλευον σφίσιν οἱ Κερκυραῖοι ξυμπλεῖν, ἐλύοντ᾽ ἂν αὐτοῖς αἱ πρὸς Πελοποννησίους σπονδαὶ), ἐπιμαχίαν δὲ ἐποιήσαντο τῇ ἀλλήλων βοηθεῖν, ἐάν τις ἐπὶ Κέρκυραν ἴῃ ἢ Ἀθήνας ἢ τοὺς 10 τούτων ξυμμάχους. 2 ἐδόκει γὰρ ὁ πρὸς Πελοποννησίους πόλεμος καὶ ὣς ἔσεσθαι αὐτοῖς, καὶ τὴν Κέρκυραν ἐβούλοντο μὴ προέσθαι Κορινθίοις ναυτικὸν ἔχουσαν τοσοῦτον, ξυγκρούειν δὲ ὅτι μάλιστα αὐτοὺς ἀλλήλοις, ἵνα ἀσθενεστέροις οὖσιν, ἤν τι δέῃ, Κορινθίοις τε καὶ τοῖς ἄλλοις ναυτικὸν 15 ἔχουσιν ἐς πόλεμον καθιστῶνται. 3 ἅμα δὲ τῆς τε Ἰταλίας καὶ Σικελίας καλῶς ἐφαίνετο αὐτοῖς ἡ νῆσος ἐν παράπλῳ κεῖσθαι.

After hearing these speeches, the Athenians finally resolve on concluding a defensive alliance with the Corcyræans.

XLV. Τοιαύτῃ μὲν γνώμῃ οἱ Ἀθηναῖοι τοὺς Κερκυραίους προσεδέξαντο, καὶ τῶν Κορινθίων ἀπελθόντων οὐ πολὺ 20 ὕστερον δέκα ναῦς αὐτοῖς ἀπέστειλαν βοηθούς· ἐστρατήγει δὲ αὐτῶν Λακεδαιμόνιός τε ὁ Κίμωνος καὶ Διότιμος ὁ Στρομβίχου καὶ Πρωτέας ὁ Ἐπι-

And send ten ships to assist them.

A. C. 432. Olymp. 87. 1.

1. δὲ om. pr. G. 3. ὑστέρᾳ f. 4. μετέγνωσαν μὲν κερκ. Q. κερκυραίους E. συμμαχίαν μὲν F. μὲν ξυμμαχίαν P. μὴ] om. e.g.h. 8. τῇ] τῷ G. 11. καὶ ὧς E. 12. τοῖς ante Κορ. C; omisi cum A.B.E.F.H.N.V.c.e.g.h. Bekk. 14. δέοι K. τοῖς ἄλλοις] Malit iterato articulo τοῖς ἄλλοις τοῖς Bekker. 21. κίμωνος A.C.E.F.H.K.L.N.O.V.f.g. Haack. Poppo. Goell. Bekk. B. et vulgo κίμμωνος. 22. ὁστρομβίχου V. στρομμίχου g.h. στρομβίλου c.

8. ἐπιμαχίαν δὲ ἐποιήσαντο] Bauer well observes, "ξυμμαχίαν esse *genus*, "et complecti omnia jura et auxilia "fœderum, qua defendendis sociis, qua "hostibus eorum bello petendis: ἐπιμαχίαν autem esse speciem vel formam, quasi ἐπιβοήθειαν, conditionem "opis ferendæ contra impugnantes, "non tamen ut hi sint hostes defendentium." Compare V. 48, 2. ἀρκεῖν τὴν ἐπιμαχίαν, ἀλλήλοις βοηθεῖν, ξυνεπιστρατεύειν δὲ μηδενί.

11. καὶ ὣς ἔσεσθαι αὐτοῖς] "They "thought that let them do what they "would they should have a war." Καὶ ὣς means, "Even if they did not violate the treaty." Compare VIII. 51, 2. note.

2 κλέους. προεῖπον δὲ αὐτοῖς μὴ ναυμαχεῖν Κορινθίοις, ἢν μὴ ἐπὶ Κέρκυραν πλέωσι καὶ μέλλωσιν ἀποβαίνειν, ἢ ἐς τῶν 3 ἐκείνων τι χωρίων· οὕτω δὲ κωλύειν κατὰ δύναμιν. προεῖπον 4 δὲ ταῦτα τοῦ μὴ λύειν ἕνεκα τὰς σπονδάς. αἱ μὲν δὴ νῆες ἀφικνοῦνται ἐς τὴν Κέρκυραν. 5

XLVI. Οἱ δὲ Κορίνθιοι, ἐπειδὴ αὐτοῖς παρεσκεύαστο, ἔπλεον ἐπὶ τὴν Κέρκυραν ναυσὶ πεντήκοντα καὶ ἑκατόν. 2 ἦσαν δὲ Ἠλείων μὲν δέκα, Μεγαρέων δὲ δώδεκα καὶ Λευκαδίων δέκα, Ἀμπρακιωτῶν δὲ ἑπτὰ καὶ εἴκοσι καὶ Ἀνακτορίων μία, αὐτῶν 10 δὲ Κορινθίων ἐνενήκοντα· στρατηγοὶ δὲ τούτων ἦσαν μὲν καὶ κατὰ πόλεις ἑκάστων, Κορινθίων δὲ Ξενο-3 κλείδης ὁ Εὐθυκλέους πέμπτος αὐτός. ἐπειδὴ δὲ προσέμιξαν τῇ κατὰ Κέρκυραν ἠπείρῳ ἀπὸ Λευκάδος πλέοντες, ὁρμί-4 ζονται ἐς Χειμέριον τῆς Θεσπρωτίδος γῆς. ἔστι δὲ λιμήν, 15 καὶ πόλις ὑπὲρ αὐτοῦ κεῖται ἀπὸ θαλάσσης ἐν τῇ Ἐλαιάτιδι 5 τῆς Θεσπρωτίδος Ἐφύρη. ἔξεισι δὲ παρ' αὐτὴν Ἀχερουσία λίμνη ἐς θάλασσαν· διὰ δὲ τῆς Θεσπρωτίδος Ἀχέρων ποταμὸς ῥέων ἐσβάλλει ἐς αὐτήν, ἀφ' οὗ καὶ τὴν ἐπωνυμίαν 6 ἔχει. ῥεῖ δὲ καὶ Θύαμις ποταμός, ὁρίζων τὴν Θεσπρωτίδα 20

Meantime the Corinthians and their allies sail against Corcyra with 150 ships, and fix their naval camp at Chimerium.

2. μελλουσιν A.B.E.h. 3. χωρίων A.B.C.E.H.f.g.h. Haack. Poppo. Goeller. Bekk. F. et vulgo χωρίον. 4. λύειν] κωλύειν L. 5. τὴν] om. K. 8. δὲ] μὲν d.i. δὲ] om. B. δὴ V. 10. ἀνακτόρων K.d. 11. ἐνενήκοντα A.B.C. F.H.f.g.h. Poppo. Goeller. Bekk. et infra VIII. 44, 2. A.B.F.H.d.e.g.i. vulgo ἐννενήκοντα. Sic ἐνακοσίων V. 12, 1. H.K; ἐνενηκοστῷ III. 68, 7. A.B.E.H.c.g. h.i; ἔνατον IV. 133, 3. A.F.H. (ἕνατον B.) et IV. 135. A.F.H.h. (cum aspero iterum B); ἐνάτῳ I. 117, 4. A.B.F.H.i; ἐναταῖοι II. 49, 7. A.C.F.H.K.L.O.b.c.i. 12. καὶ] om. h.i. 13. ἐπεὶ L.O.V. συνέμιξαν g. 16. ὑπὲρ] ἐπ' G.L.O.P.Q. αὐτῶν c. ἐλεάτιδι V.c.f. ἐλαιώτιδι d.i. ἐλειώτιδι K. 17. ἐφυρηι E. ἐξίησι C.G.L.O.P.b.e. 18. Articulum ante θάλασσαν omisi cum A.B.C.E.F.G.H.N.V. c.e.f.g.h. Bekk. Haack. Popp. Goell. 19. ἐς] om. d. τὴν αὐτὴν a.

2. ἐς τῶν ἐκείνων τι χωρίων] "Any "of the places belonging to them." The article belongs to χωρίων, for οἱ ἐκεῖνοι is of course not Greek.

16. ἐν τῇ Ἐλαιάτιδι] Aut pars agri Thesprotici Ἐλαιάτις vocabatur, [forsan, ut conjicit Palmerius, a portu Ἐλαίας, quem memorat Ptolemæus] cujus tamen rei nullum auctorem habeo: aut Ἐλειάτιδι scribendum, et significabit Ephyram in palustri loco sitam, ut distinguatur a cæteris, quæ eodem nomine vocabantur. F. Port.

CORCYRA. A. C. 432. Olymp. 87. 1.

καὶ Κεστρίνην, ὧν ἐντὸς ἡ ἄκρα ἀνέχει τὸ Χειμέριον. οἱ μὲν οὖν Κορίνθιοι τῆς ἠπείρου ἐνταῦθα ὁρμίζονταί τε καὶ στρατόπεδον ἐποιήσαντο. XLVII. οἱ δὲ Κερκυραῖοι ὡς ᾔσθοντο αὐτοὺς προσπλέοντας, πληρώσαντες δέκα καὶ 5 ἑκατὸν ναῦς, ὧν ἦρχε Μεικιάδης καὶ Αἰσιμίδης καὶ Εὐρύβατος, ἐστρατοπεδεύσαντο ἐν μιᾷ τῶν νήσων αἳ καλοῦνται Σύβοτα· καὶ αἱ Ἀττικαὶ δέκα παρῆσαν. 2 ἐπὶ δὲ τῇ Λευκίμμῃ αὐτοῖς τῷ ἀκρωτηρίῳ ὁ πεζὸς ἦν, καὶ Ζακυνθίων χίλιοι ὁπλῖται βεβοηθηκότες. 3 ἦσαν 10 δὲ καὶ τοῖς Κορινθίοις ἐν τῇ ἠπείρῳ πολλοὶ τῶν βαρβάρων παραβεβοηθηκότες· οἱ γὰρ ταύτῃ ἠπειρῶται ἀεί ποτε αὐτοῖς φίλοι εἰσίν. XLVIII. ἐπειδὴ δὲ παρεσκεύαστο τοῖς Κορινθίοις, λαβόντες τριῶν ἡμερῶν σιτία ἀνήγοντο ὡς ἐπὶ ναυμαχίαν ἀπὸ τοῦ Χειμερίου νυκτὸς, 15 καὶ ἅμα ἕῳ πλέοντες καθορῶσι τὰς τῶν Κερκυραίων ναῦς μετεώρους τε καὶ ἐπὶ σφᾶς πλεούσας. 2 ὡς δὲ κατεῖδον ἀλλήλους, ἀντιπαρετάσσοντο, ἐπὶ μὲν τὸ δεξιὸν κέρας Κερκυραίων

The Corcyræans and Athenians, with 110 ships, station themselves at one of the Sybota islands to oppose them.

Both sides prepare for action.

1. *ἡ ἄκρα*] om. G.L. 5. *μικιάδης* F.G.H. *μηκιάδης* c. 7. Articulum ante *ἀττικαὶ* om. c. 8. *λευκίμμῃ* B.F.V.c.f.g.h. Poppo. Goell. vulgo, et Bekk. *Λευκίμνῃ*. 9. *βεβοηκότες* b. 10. *ἐν τῇ ἠπείρῳ*] om. L.O.P. 11. *αὐτοῖς φίλοι* A.B.E.F.H.V.c.f.g.h. Poppo. Goeller. C. et vulgo *φίλοι αὐτοῖς*. 12. *δὲ*] *καὶ* P. 14. *ὡς*] om. N.V. *ναυμαχίαν* A.B.E.F.H.Q.V.c.f.g.h. Bekk. Haack. Poppo. Goeller. ceteri inter quos C. *ναυμαχίᾳ*. 15. *ἕῳ*] *ἔσω* F.O.P. *τῶν*] om. C.G.K.L.O.P.Q.d.e. 16. *μετεώρους* rec. g. *τε*] om. g. 17. *ἀντεπαρετάσσοντο* C. *ἀντιπαρετάσσοντο* Bekk.

1. *ὧν ἐντὸς κ. τ. λ.*] The sense seems to be that the point of Chimerium was between the Acheron and Thyamis rivers. The Thyamis, the boundary between Thesprotia and Cestrine, is thus noticed by Pausanias, I. 11. *Κεστρῖνος τὴν ὑπὲρ Θύαμιν ποταμὸν χώραν ἔσχε.* Pliny also speaks of a town called Cestria, and then of the Thyamis, a river of Thesprotia; as if it were the northern boundary of Thesprotia. Hist. Nat. IV. 1. The point of Chimerium seems to be distinguished by Thucydides from the port of Chimerium; which last is apparently the "Fresh Harbour," *γλυκὺς λιμὴν*, of Strabo. Scylax calls it *Elæa*, for *Ἐλεὸ*, which is the present reading, is evidently corrupt. His words are, *Ἐνταῦθα* (i. e. *ἐν τῇ Θεσπρωτίᾳ*, as Scylax writes the word,) *ἐστὶ λιμὴν, ᾧ ὄνομα Ἐλαία· εἰς τοῦτον τὸν λιμένα ποταμὸς ἐξίησιν Ἀχέρων, καὶ λίμνη Ἀχερουσία, ἐξ ἧς ὁ Ἀχέρων ῥεῖ ποταμός.*

9. *Ζακυνθίων χίλιοι ὁπλῖται*] We must suppose that the Corcyræans had formed an alliance with the Zacynthians about the same time that they sent their embassy to Athens: for up to that period they are described as having been in alliance with no Greek power. See ch. 31, 2. POPPO.

αἱ Ἀττικαὶ νῆες, τὸ δὲ ἄλλο αὐτοὶ ἐπεῖχον τρία τέλη ποιήσαντες τῶν νεῶν, ὧν ἦρχε τριῶν στρατηγῶν ἑκάστου εἷς. 3 οὕτω μὲν Κερκυραῖοι ἐτάξαντο, Κορινθίοις δὲ τὸ μὲν δεξιὸν κέρας αἱ Μεγαρίδες νῆες εἶχον καὶ αἱ Ἀμπρακιώτιδες, κατὰ δὲ τὸ μέσον οἱ ἄλλοι ξύμμαχοι ὡς ἕκαστοι· εὐώνυμον δὲ 5 κέρας αὐτοὶ οἱ Κορίνθιοι ταῖς ἄριστα τῶν νεῶν πλεούσαις κατὰ τοὺς Ἀθηναίους καὶ τὸ δεξιὸν τῶν Κερκυραίων εἶχον.

They engage, and victory at last declares for the Corinthians.

XLIX. ξυμμίξαντες δὲ, ἐπειδὴ τὰ σημεῖα ἑκατέροις ἤρθη, ἐναυμάχουν, πολλοὺς μὲν ὁπλίτας ἔχοντες ἀμφότεροι ἐπὶ τῶν καταστρω- 10 μάτων, πολλοὺς δὲ τοξότας τε καὶ ἀκοντιστὰς, τῷ παλαιῷ 2 τρόπῳ ἀπειρότερον ἔτι παρεσκευασμένοι. ἦν τε ἡ ναυμαχία καρτερὰ, τῇ μὲν τέχνῃ οὐχ ὁμοίως, πεζομαχίᾳ δὲ τὸ πλέον 3 προσφερὴς οὖσα. ἐπειδὴ γὰρ προσβάλλοιεν ἀλλήλοις, οὐ ῥᾳδίως ἀπελύοντο ὑπό τε πλήθους καὶ ὄχλου τῶν νεῶν, καὶ 15 μᾶλλόν τι πιστεύοντες τοῖς ἐπὶ τοῦ καταστρώματος ὁπλίταις ἐς τὴν νίκην, οἳ καταστάντες ἐμάχοντο ἡσυχαζουσῶν τῶν νεῶν· διέκπλοι δ' οὐκ ἦσαν, ἀλλὰ θυμῷ καὶ ῥώμῃ τὸ πλέον 4 ἐναυμάχουν ἢ ἐπιστήμῃ. πανταχῇ μὲν οὖν πολὺς θόρυβος καὶ ταραχώδης ἦν ἡ ναυμαχία, ἐν ᾗ αἱ Ἀττικαὶ νῆες παρα- 20 γιγνόμεναι τοῖς Κερκυραίοις εἴ πῃ πιέζοιντο, φόβον μὲν

3. κορίνθιοι d. 4. alterum αἱ om. C.G.K.L.O.P.d.e. 7. καὶ] κατὰ I.K.e.i. καὶ κατὰ d. 10. ἔχ. ἀμφ.] ἀμφ. ἔχ. c. 11. τε] om. K.L.O.P.V. 12. κατεσκευασμένοι L.O. κατασκευασμένοι P. 14. προσβάλοιεν c. "προσ-"βάλοιεν malim." Bekk. ἀλλήλους (οις) A. 15. ante πλήθους omisi articulum cum A.B.E.F.H.N.V.g.h. om. Bekk. Popp. Goell. καὶ] τε καὶ K. τῶν] om. Q. 18. δίεκπλοι F.G. δ'] τε K. καὶ] τε καὶ K. 19. ἢ] ἢ καὶ g. οὖν] om. C.E.G.K.L.O.P.c.d.e. 20. παραγενόμεναι P.d.e.i. cum Schol. Soph. Antig. 133.

8. ἐπειδὴ τὰ σημεῖα ἤρθη] Compare c. 63, 2. VII. 34, 4. VIII. 95, 4.

14. ἐπειδὴ προσβάλλοιεν] "When-"ever they happened to run on board "one another." For this use of the optative, see Matth. Gr. Gr. §. 521. Jelf, 843. *b*.

18. διέκπλοι δ' οὐκ ἦσαν] The *diecplus* was a breaking through the enemy's line, in order by a rapid turn of the vessel to strike the enemy's ship on the side or stern, where it was most defenceless, and so to sink it. See II. 83, 5. 89, 12. VII. 36, 3, 4. 70, 4.

παρεῖχον τοῖς ἐναντίοις, μάχης δὲ οὐκ ἦρχον δεδιότες οἱ στρατηγοὶ τὴν πρόρρησιν τῶν Ἀθηναίων. μάλιστα δὲ τὸ 5 δεξιὸν κέρας τῶν Κορινθίων ἐπόνει· οἱ γὰρ Κερκυραῖοι εἴκοσι ναυσὶν αὐτοὺς τρεψάμενοι καὶ καταδιώξαντες σπο-5 ράδας ἐς τὴν ἤπειρον, μέχρι τοῦ στρατοπέδου πλεύσαντες αὐτῶν καὶ ἐπεκβάντες ἐνέπρησάν τε τὰς σκηνὰς ἐρήμους καὶ τὰ χρήματα διήρπασαν. ταύτῃ μὲν οὖν οἱ Κορίνθιοι καὶ οἱ 6 ξύμμαχοι ἡσσῶντό τε καὶ οἱ Κερκυραῖοι ἐπεκράτουν· ᾗ δὲ αὐτοὶ ἦσαν οἱ Κορίνθιοι, ἐπὶ τῷ εὐωνύμῳ, πολὺ ἐνίκων, τοῖς 10 Κερκυραίοις τῶν εἴκοσι νεῶν ἀπὸ ἐλάσσονος πλήθους ἐκ τῆς διώξεως οὐ παρουσῶν. οἱ δ' Ἀθηναῖοι ὁρῶντες τοὺς Κερκυ- 7 ραίους πιεζομένους μᾶλλον ἤδη ἀπροφασίστως ἐπεκούρουν, τὸ μὲν πρῶτον ἀπεχόμενοι ὥστε μὴ ἐμβάλλειν τινί· ἐπεὶ δὲ ἡ τροπὴ ἐγένετο λαμπρῶς καὶ ἐνέκειντο οἱ Κορίνθιοι, τότε δὴ 15 ἔργου πᾶς εἴχετο ἤδη καὶ διεκέκριτο οὐδὲν ἔτι, ἀλλὰ ξυνέπεσεν ἐς τοῦτο ἀνάγκης ὥστε ἐπιχειρῆσαι ἀλλήλοις τοὺς Κορινθίους καὶ Ἀθηναίους. L. τῆς δὲ τροπῆς γενομένης οἱ Κορίνθιοι τὰ σκάφη μὲν οὐχ εἷλκον ἀναδούμενοι τῶν νεῶν ἃς καταδύσειαν, πρὸς δὲ τοὺς

The Corinthians, when preparing to follow up their victory, are

1. οὐκ εἶργον F. 2. ἀθηνῶν c. 4. ἐς τὴν ἤπειρον σποράδας G. ἐς τὴν σποράδας ἤπ. L.O. 5. μέχρι] καὶ μέχρι C.G. omisi καὶ cum A.B.E.F.H.V.g.h. om. Bekk. Poppo. Goell. 6. ἀπεκβάντες H. ἐκβάντες d. 7. οὖν] om. C.G. K.L.O.e. κορίνθιοι] om. d. 13. ἐπεὶ A.B.C.F.H.V.c.d.g.h. Poppo. Goell. Bekk. C. et vulgo ἐπειδή. 14. ἐγένετο A.B.F.H.c.d.g.h. Poppo. Goell. Bekk. C. et ceteri ἐγίγνετο. ἐγίνετο V.C. 15. ἤρχετο V. ξυνέπεσεν A.C.E.F.H.I. b.c.g.h. Haack. Poppo. Goell. Bekk. B. pr. G. et vulgo ξυνέπεσον. 19. καταδήσειαν I.

1. δεδιότες] For this nominative, compare Matth. Gr. Gr. §. 562. 1. not. Jelf, 708, 2.

7. οἱ Κορίνθιοι—ἡσσῶντό τε] i. e. οἵ τε Κορίνθιοι ἡσσῶντο καὶ οἱ Κερκυραῖοι ἐπεκράτουν. "Transpositum est τε sicut "sæpe." Poppo, note on the passage. Compare Elmsley, Eurip. Heraclid. 622.

16. ἐς τοῦτο ἀνάγκης] Compare II. 97, 5. ἐπὶ μέγα ἦλθεν ἡ βασιλεία ἰσχύος. III. 57, 3. ἐς τοῦτο ξυμφορᾶς. IV. 12, 3. ἐπὶ πολὺ τῆς δόξης. 100, 2. ἐπὶ μέγα τοῦ ἄλλου ξύλου. VII. 86, 5. ἐς τοῦτο δυστυχίας.

18. ἀναδούμενοι] Vid. Kuhnium ad Pollucem I. 125. Æschylus Pers. 418. ὑπτιοῦτο δὲ ΣΚΑΦΗ ΝΕΩΝ. Wass.

19. καταδύσειαν] Καταδύειν ναῦν is synonymous with διαφθείρειν; compare c. 54, 4. II. 92, 6. VII. 34, 5. And the term ἀναδεῖσθαι is applied to ships which had been destroyed or spoiled, II. 92, 3. διαφθείραντες ἀνεδήσαντο. But καταδύειν ναῦν does not mean "to sink a "ship to the bottom," but to make her water-logged, so that she was useless, although she did not absolutely go down. The Greek triremes were so

CORCYRA. A. C. 432. Olymp. 87. 1.

checked by a reinforcement of twenty fresh ships arriving from Athens to the enemy,

ἀνθρώπους ἐτράποντο φονεύειν διεκπλέοντες μᾶλλον ἢ ζωγρεῖν, τούς τε αὑτῶν φίλους, οὐκ αἰσθόμενοι ὅτι ἥσσηντο οἱ ἐπὶ τῷ δεξιῷ κέρᾳ, 2 ἀγνοοῦντες ἔκτεινον. πολλῶν γὰρ νεῶν οὐσῶν ἀμφοτέρων καὶ ἐπὶ πολὺ τῆς θαλάσσης ἐπεχουσῶν, ἐπειδὴ ξυνέμιξαν 5 ἀλλήλοις, οὐ ῥᾳδίως τὴν διάγνωσιν ἐποιοῦντο ὁποῖοι ἐκράτουν ἢ ἐκρατοῦντο· ναυμαχία γὰρ αὕτη Ἕλλησι πρὸς Ἕλληνας νεῶν πλήθει μεγίστη δὴ τῶν πρὸ ἑαυτῆς γεγένηται. 3 ἐπειδὴ δὲ κατεδίωξαν τοὺς Κερκυραίους οἱ Κορίνθιοι ἐς τὴν γῆν, πρὸς τὰ ναυάγια καὶ τοὺς νεκροὺς τοὺς σφετέρους 10 ἐτράποντο, καὶ τῶν πλείστων ἐκράτησαν ὥστε προσκομίσαι πρὸς τὰ Σύβοτα, οἷ αὐτοῖς ὁ κατὰ γῆν στρατὸς τῶν βαρβάρων προσεβεβοηθήκει· ἔστι δὲ τὰ Σύβοτα τῆς Θεσπρωτίδος λιμὴν ἔρημος. 4 τοῦτο δὲ ποιήσαντες αὖθις ἀθροισθέντες 5 ἐπέπλεον τοῖς Κερκυραίοις· οἱ δὲ ταῖς πλοΐμοις καὶ ὅσαι 15 ἦσαν λοιπαὶ μετὰ τῶν Ἀττικῶν νεῶν καὶ αὐτοὶ ἀντέπλεον, 6 δείσαντες μὴ ἐς τὴν γῆν σφῶν πειρῶσιν ἀποβαίνειν. ἤδη δὲ

1. *φονεύσειν* C. 2. *μᾶλλον*] om. pr. G. *τε*] *δὲ* i. 3. *αἰσθόμενοι* A.B.E. F.N.d.g.h.i. Poppo. Goell. Bekk. *αἰσθανόμενοι* V. *ἐσθόμενοι* H. *ᾐσθημένοι* C.G. et ceteri. *ἥσσοντο* P. *ἥττοντο* d. *τῷ*] om. B. 4. *οὐσῶν νεῶν* P.Q. 5. *καὶ*] om. d. 6. *ἐκράτουν ἢ*] om. G.I.L.O.P.Q.e. 8. *ἑαυτῆς* A.B.F.H.K.N.V. b.c.d.e.g. Goell. ceteri, et Poppo *αὐτῆς*. 11. *κόμισαι* G.I.L.O.P.Q.e. 12. *οὗ* C.G.K.L.O.P.d.i. *ὁ*] om. d. *γῆς* c. 14. *ἐρῆμος* Bekk. 16. *ἀντέπλεον* A.B.E.F.H.N.P.V.c.h.i. Poppo. Goell. C. et ceteri *ἀντεπέπλεον*.

light and so shallow, that they would float in a manner under water, or rather with parts of the vessel still out of water, on which the crew used to take refuge. This appears from a passage in Herodotus, VIII. 90, 3, 4. where the crew of a ship that had been sunk as far as it would sink, were still able to throw their javelins from it with such effect, that they cleared the deck of the ship which had sunk them, and actually took her. And Göller refers to the account of the well known battle of Arginusæ in Xenophon, Hellen. I. 6, 36. where it is proposed by some of the Athenian commanders after the action, *πλεῖν ἐπὶ τὰς καταδεδυκυίας ναῦς, καὶ τοὺς ἐπ' αὐτῶν ἀνθρώπους*. Ἃς *καταδύσειαν* signifies, "which they might happen to have "sunk." Comp. II. 97, 3. *ἃ χρυσὸς καὶ ἄργυρος εἴη*: and II. 52, 5. *ἐπιβαλόντες ὃν φέροιεν*, "The body which they "happened to carry." Compare Matth. Gr. Gr. §. 514, 5. and Kühner, Gr. Gr. §. 797, 3, 4. Jelf, 831, 3.

15. *ὅσαι ἦσαν λοιπαὶ*] Probabilis est opinio Popponis, *τὰς λοιπὰς* intelligi decem illas naves, quæ ex 120 navibus Corcyræorum superabant; nam pugnam ingressi erant cum navibus 110. (vid. cap. 47, 1.) habebant autem universas 120. Vid. cap. 25, 5. GÖLLER.

ἦν ὀψὲ καὶ ἐπεπαιώνιστο αὐτοῖς ὡς ἐς ἐπίπλουν, καὶ οἱ Κορίνθιοι ἐξαπίνης πρύμναν ἐκρούοντο κατιδόντες εἴκοσι ναῦς Ἀθηναίων προσπλεούσας· ἃς ὕστερον τῶν δέκα βοηθοὺς ἐξέπεμψαν οἱ Ἀθηναῖοι, δείσαντες ὅπερ ἐγένετο, μὴ νικη-5θῶσιν οἱ Κερκυραῖοι καὶ αἱ σφέτεραι δέκα νῆες ὀλίγαι ἀμύνειν ὦσι. LI. ταύτας οὖν προϊδόντες οἱ Κορίνθιοι καὶ ὑποτοπήσαντες ἀπ' Ἀθηνῶν εἶναι οὐχ ὅσας ἑώρων ἀλλὰ πλείους ὑπανεχώρουν. τοῖς δὲ 2 Κερκυραίοις (ἐπέπλεον γὰρ μᾶλλον ἐκ τοῦ ἀφανοῦς) οὐχ 10 ἑωρῶντο, καὶ ἐθαύμαζον τοὺς Κορινθίους πρύμναν κρουομένους, πρίν τινες ἰδόντες εἶπον ὅτι νῆες ἐκεῖναι ἐπιπλέουσι. τότε δὲ καὶ αὐτοὶ ἀνεχώρουν· ξυνεσκόταζε γὰρ ἤδη, καὶ οἱ Κορίνθιοι ἀποτραπόμενοι τὴν διάλυσιν ἐποιήσαντο. οὕτω 3 μὲν ἡ ἀπαλλαγὴ ἐγένετο ἀλλήλων, καὶ ἡ ναυμαχία ἐτελεύτα

and retire to their own station.

1. ἐπαιώνιστο H. pr. F. ἐπαιάνιστο corr. F. ἐπεπαιάνιστο f. ἐς] om. F. addidi ex A.B.C.G.Q.V.e.f.g.h. sic etiam Bekk. Haack. Poppo. Goell. ἐπίπλουν] ἐπὶ πλοῦν H. 3. προσπαλεούσας pr. E. 4. οἱ] om. f. κινηθῶσιν H. 7. ἀθηναίων P.Q. 8. ὑπανεχώρουν A.B.C.E.F.G.H.I.K.P.V.b.c.f.g. Haack. Poppo. Goell. Bekk. vulgo ἐπανεχώρουν. 12. δὲ] A.B.E.F.H.V.g.h. Poppo. Goell. Bekk. C. et vulgo δή. καὶ οἱ αὐτοὶ B.E.F. συνεσκόταζε c. 13. ἀποτρεπόμενοι A.F.H. N.V.c.g. Poppo. ἀποτραπ. Bekk.

1. ἐπεπαιώνιστο] Etsi Græci non παιῶνα, sed παιᾶνα ᾄδειν dicunt, tamen promiscue παιωνίζω et παιανίζω usurpant. Stanl. ad Æschyl. Sept. cont. Theb. v. 274. cui adsentior. Ita Æsch. l. d. Aristoph. Equit. 1315. et Pac. 554. Lucian. Zeux. p. 583. Thucydid. IV. 96, 1. et sæpe alibi. Vid. Ind. sed tamen apud eum omnibus locis scriptura variat. DUKER. V. Wessel. ad Diod. 13. 16. p. 554. GOTTL.

ὡς ἐς ἐπίπλουν] In these expressions the MSS. continually omit either the word ὡς or ἐς. Thus V. 17, 2. the common reading is ὡς ἐπιτειχισμὸν, where I have restored ὡς ἐς ἐπιτειχισμὸν; and VIII. 5, 1. in the words ὡς ἐς τὴν Εὔβοιαν, ὡς is omitted in some MSS. and ἐς in others.

2. πρύμναν ἐκρούοντο] The full expression is ἐπὶ πρύμναν κρούεσθαι, or ἀνακρούεσθαι, "to row sternwards, or "stern foremost." See Herodot. VIII. 84, 1, 4. The object of this way of retreating was to keep the head, the most defended and most effective part of the vessel, opposed to the enemy.

5. ὀλίγαι ἀμύνειν] Naves pauciores, quam ut vim propulsare possint. Hanc loquendi formam illustrat Wyttenb. ad Julian. Orat. p. 217. ed. Schäf. BEKKER. "Few to aid." Compare II. 61, 2. ταπεινὴ ὑμῶν ἡ διάνοια ἐγκαρτερεῖν ἃ ἔγνωτε; and Herodotus, VI. 109, 1. ὀλίγους γὰρ εἶναι στρατιῇ τῇ Μήδων συμβαλέειν.

11. νῆες ἐκεῖναι ἐπιπλέουσι] "There "are ships yonder coming towards "us."

14. ἐτελεύτα ἐς νύκτα] A condensed mode of speaking for ἐς νύκτα προελθοῦσα ἐτελεύτα. Comp. c. 71, 5. and III. 108, 4. ἡ μάχη ἐτελεύτα ἐς ὀψέ.

4 ἐς νύκτα. τοῖς Κερκυραίοις δὲ στρατοπεδευομένοις ἐπὶ τῇ Λευκίμμῃ αἱ εἴκοσι νῆες αἱ ἀπὸ τῶν Ἀθηνῶν αὗται, ὧν ἦρχε Γλαύκων τε ὁ Λεάγρου καὶ Ἀνδοκίδης ὁ Λεωγόρου, διὰ τῶν νεκρῶν καὶ ναυαγίων προσκομισθεῖσαι κατέπλεον ἐς τὸ 5 στρατόπεδον οὐ πολλῷ ὕστερον ἢ ὤφθησαν. οἱ δὲ Κερκυραῖοι (ἦν γὰρ νὺξ) ἐφοβήθησαν μὴ πολέμιαι ὦσιν, ἔπειτα δὲ ἔγνωσαν καὶ ὡρμίσαντο.

LII. Τῇ δὲ ὑστεραίᾳ ἀναγόμεναι αἵ τε Ἀττικαὶ τριάκοντα νῆες καὶ τῶν Κερκυραίων ὅσαι πλόϊμοι ἦσαν ἐπέπλευσαν ἐπὶ τὸν ἐν τοῖς Συβότοις λιμένα, ἐν ᾧ οἱ 10 Κορίνθιοι ὥρμουν, βουλόμενοι εἰδέναι εἰ ναυμαχήσουσιν. οἱ δὲ τὰς μὲν ναῦς ἄραντες ἀπὸ τῆς γῆς καὶ παραταξάμενοι μετεώρους ἡσύχαζον, ναυμαχίας οὐ διανοούμενοι ἄρχειν ἑκόντες, ὁρῶντες προσγεγενημένας τε ναῦς ἐκ τῶν Ἀθηνῶν ἀκραιφνεῖς καὶ σφίσι πολλὰ τὰ ἄπορα 15 ξυμβεβηκότα, αἰχμαλώτων τε περὶ φυλακῆς οὓς ἐν ταῖς ναυσὶν εἶχον, καὶ ἐπισκευὴν οὐκ οὖσαν τῶν νεῶν ἐν χωρίῳ 3 ἐρήμῳ. τοῦ δὲ οἴκαδε πλοῦ μᾶλλον διεσκόπουν ὅπῃ κομισθήσονται, δεδιότες μὴ οἱ Ἀθηναῖοι νομίσαντες λελύσθαι τὰς σπονδὰς διότι ἐς χεῖρας ἦλθον, οὐκ ἐῶσι σφᾶς ἀποπλεῖν. 20

The next day the Corcyræans and Athenians offer them battle in 2 their turn.

LIII. ἔδοξεν οὖν αὐτοῖς ἄνδρας ἐς κελήτιον ἐμβιβάσαντας ἄνευ κηρυκείου προσπέμψαι τοῖς

But they are desirous rather of returning home, and try to gain

1. *κερκυραίοις δὲ* A.C.E.H.V.c.f.g.h. *δὲ κερκ.* B.F. et ceteri. *καταστρατοπεδευομένοις* P.g.h. 2. *λευκίμμῃ* B.F.c.f.g.h. Poppo. Goeller. Vulgo, et Bekk. *λευκίμνῃ.* alterum *αἱ* om. A.B.E.F.H.K.N.V.g.h. *ἀπὸ* A.B.E.F.H.N.V.f.g.h. Poppo. Goell. Bekk. C. et vulgo *ἐκ.* *τῶν*] om. f.g. 3. *ἀνδροκίδης* g. *λεογόρου* K.N.Q. 4. *ναυαγίῶν* F. *ναυαγιῶν* A.C. 5. *οὐ πολὺ* V. 6. *πολέμιοι* unus Parisinus. 8 *ἀναγαγόμεναι* C.G.I.c. *ἀναγκαζόμεναι* h. 10. *οἱ*] om. F. 13. *τῆς*] om.N.V. 14. *προγεγενημένας* K. 15. *ἀθηνῶν* A.B.E.F.H.c.f. Poppo. Goell. Bekk. C.G. et ceteri *ἀθηναίων.* *καὶ*] *τὰ* f. 16. *φυλακὴν* d.i. 18. *ὅποι* c. *ὅπου* i. 19. *οἱ*] om. K.b.e. 21. *ἐς*] *ὡς* i. *κελλήτιον* G.c.i. 22. *ἐσβιβάσαντας* E.F.H. *ἐμβιβάσαντες* B.g. *κηρυκείου* A.B.g.h. Bekk. Goeller. vulgo *κηρυκίου.* *προσπέμψαι* A.B.E.F.H.N.V.f.g.h. Poppo. Goell. Bekk. vulgo et C. *προπέμψαι.*

3. *Λεωγόρου*] Sic Andocides Orat. I. pag. 246. Est hic Andocides Rhetor, cujus supersunt Orationes quædam. Plut. Vit. X. De Leogora Schol. Aristoph. ad Nub. v. 109. et ex eo Suidas in *φασιανοί.* DUKER.

their object by sounding the intentions of the Athenians.

Ἀθηναίοις καὶ πεῖραν ποιήσασθαι. πέμψαντές 2 τε ἔλεγον τοιάδε "ἀδικεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι, "πολέμου ἄρχοντες καὶ σπονδὰς λύοντες· ἡμῖν γὰρ πολε- "μίους τοὺς ἡμετέρους τιμωρουμένοις ἐμποδὼν ἵστασθε ὅπλα 5 "ἀνταιρόμενοι. εἰ δ' ὑμῖν γνώμη ἐστὶ κωλύειν τε ἡμᾶς ἐπὶ 3 "Κέρκυραν ἢ ἄλλοσε εἴ ποι βουλόμεθα πλεῖν, καὶ τὰς "σπονδὰς λύετε, ἡμᾶς τούσδε λαβόντες πρῶτον χρήσασθε "ὡς πολεμίοις." οἱ μὲν δὴ τοιαῦτα εἶπον· τῶν δὲ Κερκυ- 4 ραίων τὸ μὲν στρατόπεδον ὅσον ἐπήκουσεν, ἀνεβόησεν εὐθὺς 10 λαβεῖν τε αὐτοὺς καὶ ἀποκτεῖναι, οἱ δε Ἀθηναῖοι τοιάδε ἀπεκρίναντο "οὔτε ἄρχομεν πολέμου, ὦ ἄνδρες Πελοπον- "νήσιοι, οὔτε τὰς σπονδὰς λύομεν, Κερκυραίοις δὲ τοῖσδε "ξυμμάχοις οὖσι βοηθοὶ ἤλθομεν. εἰ μὲν οὖν ἄλλοσέ ποι 5 "βούλεσθε πλεῖν, οὐ κωλύομεν· εἰ δὲ ἐπὶ Κέρκυραν πλευ- 15 "σεῖσθε ἢ ἐς τῶν ἐκείνων τι χωρίων, οὐ περιοψόμεθα κατὰ "τὸ δυνατόν." LIV. τοιαῦτα τῶν Ἀθηναίων ἀποκρινα-

Meantime both parties erect a trophy, and claim the victory.

μένων οἱ μὲν Κορίνθιοι τόν τε πλοῦν τὸν ἐπ' οἴκου παρεσκευάζοντο καὶ τροπαῖον ἔστησαν ἐν τοῖς ἐν τῇ ἠπείρῳ Συβότοις· οἱ δὲ Κερκυ- 2 20 ραῖοι τά τε ναυάγια καὶ νεκροὺς ἀνείλοντο τὰ κατὰ σφᾶς

2. τοιαῦτα g. ὦ ἄνδρες ὦ ἀθ. K. 5. τε] om. e. 6. εἴπῃ C.F.G.I.K.d.e.i. 7. λαβόντες πρῶτον A.B.E.H.N.V.c.f.g.h. Poppo. Goell. Bekk. C.G. et vulgo πρώτους λαβόντες. 9. ἐπήκουσεν A.B.C.E.F.H.V.c.g.h. Poppo. Goell. Bekk. ἤκουσεν d. G. et ceteri ὑπήκουσεν. 10. τοιαῦτα N.V. 11. οὔτε γὰρ ἄρχομεν E. 13. βοηθεῖν e. πη e. 14. βουλεύεσθε L. 15. χωρίων A.B.E.H.c.h. Poppo. Goell. Bekk. C.F. et vulgo χωρίον. 16. ἀποκρινομένων c. 17. μὲν om. G. pr. man. τὸν ante ἐπ' om. e. 18. τρόπαιον V.

8. τῶν δὲ Κερκυραίων κ. τ. λ.] It is said that τὸ μὲν στρατόπεδον is not rightly opposed to οἱ δὲ Ἀθηναῖοι, and Dindorf therefore proposes to strike out the word Κερκυραίων, while Fritzoch reads, τῶν δὲ, Κερκυραίων μὲν τὸ στρατόπεδον, κ. τ. λ. Perhaps the present reading may be allowed, if we take τῶν Κερκυραίων as a general term for all on the Corcyræan side, including on the one hand the mass of the fleet, τὸ μὲν στρατόπεδον, which did really consist of Corcyræans, and also on the other hand the small Athenian squadron. So that the sense would be, "But on the "Corcyræan side, the fleet in general, "where they were within hearing, cried "out to kill them, but the Athenians "gave a different answer."

ἐξενεχθέντα ὑπό τε τοῦ ῥοῦ καὶ ἀνέμου, ὃς γενόμενος τῆς νυκτὸς διεσκέδασεν αὐτὰ πανταχῇ, καὶ τροπαῖον ἀντέστησαν 3 ἐν τοῖς ἐν τῇ νήσῳ Συβότοις ὡς νενικηκότες. γνώμῃ δὲ 4 ἑκάτεροι τοιᾷδε τὴν νίκην προσεποιήσαντο. Κορίνθιοι μὲν κρατήσαντες τῇ ναυμαχίᾳ μέχρι νυκτὸς ὥστε καὶ ναυάγια 5 πλεῖστα καὶ νεκροὺς προσκομίσασθαι, καὶ ἄνδρας ἔχοντες αἰχμαλώτους οὐκ ἐλάσσους χιλίων, ναῦς τε καταδύσαντες περὶ ἑβδομήκοντα, ἔστησαν τροπαῖον· Κερκυραῖοι δὲ τριάκοντα ναῦς μάλιστα διαφθείραντες, καὶ ἐπειδὴ Ἀθηναῖοι ἦλθον, ἀνελόμενοι τὰ κατὰ σφᾶς αὐτοὺς ναυάγια καὶ νεκρούς, 10 καὶ ὅτι αὐτοῖς τῇ τε προτεραίᾳ πρύμναν κρουόμενοι ὑπεχώρησαν οἱ Κορίνθιοι ἰδόντες τὰς Ἀττικὰς ναῦς, καὶ ἐπειδὴ ἦλθον οἱ Ἀθηναῖοι οὐκ ἀντέπλεον ἐκ τῶν Συβότων, διὰ 5 ταῦτα τροπαῖον ἔστησαν. οὕτω μὲν ἑκάτεροι νικᾶν ἠξίουν.

After which the Corinthians return home, with their prisoners; the better class of whom they treat kindly, hoping through their interest to win over Corcyra to the oligarchical and Peloponnesian cause.

LV. οἱ δὲ Κορίνθιοι ἀποπλέοντες ἐπ' οἴκου 15 Ἀνακτόριον, ὅ ἐστιν ἐπὶ τῷ στόματι τοῦ Ἀμπρακικοῦ κόλπου, εἷλον ἀπάτῃ (ἦν δὲ κοινὸν Κερκυραίων καὶ ἐκείνων), καὶ καταστήσαντες ἐν αὐτῷ Κορινθίους οἰκήτορας ἀνεχώρησαν ἐπ' οἴκου, καὶ τῶν Κερκυραίων ὀκτακο- 20 σίους μὲν οἳ ἦσαν δοῦλοι ἀπέδοντο, πεντήκοντα δὲ καὶ διακοσίους δήσαντες ἐφύλασσον καὶ ἐν θεραπείᾳ εἶχον

1. ἐξενεχθέντων C. τε] om. B.F.H.N.V.g.h. Poppo. καὶ τοῦ ἀνέμου K.g.h. 2. πανταχοῦ g. ἀνέστησαν A.B.H.N.V.c.g.h. 4. τοιᾷδε ἑκάτεροι C.G.K.L.O.P.d.e. ἑκάτερος τοιᾷδε B. προσεποιήσατο b. 5. ναυμαχία d. 8. ναῦς τριακ. c. 9. ἀθηναῖοι ἦλθον] ἦλθον οἱ ἀθηναῖοι c. ἦλθον ἀθηναῖοι f. ἀθηναῖοι e. 13. ἦλθον οἱ ἀθηναῖοι A.B.C.E.F.G.H.I.L.O.P.c.e.g.h. ἦλθον ἀθηναῖοι N.V. vulgo ἦλθον nude ponunt. Verba οἱ Ἀθηναῖοι uncis inclus. Poppo. et Goell. οὐκ ἀντεπέπλεον C.G. οὐ κατέπλεον A.B.F.N.V.g.h. οὐκ ἀντεπλεονέκτουν E. διὰ ταῦτα] om. b. 15. ἀναπλέοντες f. 21. μὲν] om. P. 22. ἐφύλασσον C.K.L.O.d.e.i. Poppo. Goeller. Bekk. vulgo ἐφύλαττον.

12. καὶ ἐπειδὴ ἦλθον οἱ Ἀθηναῖοι] Comp. chap. 52, 2. which decides, I think, that the words οἱ Ἀθηναῖοι are rightly inserted, and that the Athenians are the real subject of the verb ἦλθον.

16. De Anactorio Palmer. Græc. Antiq. 3, 3. Duker.

22. δήσαντες κ. τ. λ.] See III. 70, 1.

πολλῇ, ὅπως αὐτοῖς τὴν Κέρκυραν ἀναχωρήσαντες προσποιήσειαν· ἐτύγχανον δὲ καὶ δυνάμει αὐτῶν οἱ πλείους πρῶτοι ὄντες τῆς πόλεως. Ἡ μὲν οὖν Κέρκυρα οὕτω περιγίγνεται 2 τῷ πολέμῳ τῶν Κορινθίων, καὶ αἱ νῆες τῶν Ἀθηναίων 5 ἀνεχώρησαν ἐξ αὐτῆς. αἰτία δὲ αὕτη πρώτη ἐγένετο τοῦ 3 πολέμου τοῖς Κορινθίοις ἐς τοὺς Ἀθηναίους, ὅτι σφίσιν ἐν σπονδαῖς μετὰ Κερκυραίων ἐναυμάχουν.

LVI. Μετὰ ταῦτα δ' εὐθὺς καὶ τάδε ξυνέβη γενέσθαι Ἀθηναίοις καὶ Πελοποννησίοις διάφορα ἐς τὸ πολεμεῖν. τῶν 2 10 γὰρ Κορινθίων πρασσόντων ὅπως τιμωρήσονται αὐτοὺς, ὑποτοπήσαντες τὴν ἔχθραν αὐτῶν οἱ Ἀθηναῖοι Ποτιδαιάτας, οἳ οἰκοῦσιν ἐπὶ τῷ ἰσθμῷ τῆς Παλλήνης, Κορινθίων ἀποίκους, ἑαυτῶν δὲ ξυμμάχους φόρου ὑποτελεῖς, 15 ἐκέλευον τὸ ἐς Παλλήνην τεῖχος καθελεῖν καὶ ὁμήρους δοῦναι, τούς τε ἐπιδημιουργοὺς ἐκπέμπειν καὶ τὸ λοιπὸν μὴ δέχεσθαι

SECOND AVOWED CAUSE of the WAR. AFFAIR OF POTIDÆA. (Chapp. 56—65. Potidæa, a Corinthian colony, and one of the allies of Athens, becoming suspected by the Athenians, is commanded to give certain securities for its fidelity.

2. δὲ αὐτῶν καὶ δυνάμει V. 3. ὄντες] om. d. 4. τῷ] om. c. 5. ἐγένετο πρώτη f. 6. τοῖς] om. f. ἀθηναίοις ἐς τοὺς Κορινθίους c. 8. ταῦτα δ'] δὲ ταῦτα Q. δὲ ταῦτα δ' d. 9. τοῖς ἀθηναίοις C. et pr. G. omisi articulum cum A.B.F.H.V.g.h. om. Bekk. Poppo. Goell. 10. τιμωρήσονται B.C.K.g.h. Bekk. τιμωρηθήσωνται c. ceteri τιμωρήσωνται. 13. παλήνης F.H. post hoc vocabulum omisi ὄντας cum A.B.E.F.H.N.V.g.h. om. Bekk. Poppo. Goell. κορ.] κορ. μὲν L.P. 15. παλήνην F. (qui similiter c. 64.) H.N.

3. οὕτω περιγίγνεται τῷ πολέμῳ] "Thus came out of the contest with "the Corinthians undestroyed;" literally, "thus overlived the war of the "Corinthians."

10. πρασσόντων] This word is used in a sort of technical sense to signify, "contriving, trying various means;" like our own words "practice and to "practise," which often occur in our "older writers in the sense of *intrigue, contrivance, scheming*.

13. ἐπὶ τῷ ἰσθμῷ τῆς Παλλήνης] The peninsula of Pallene, more anciently called Phlegra; it contained about seven towns, Aphytis, Neapolis, Ægа, Therambo, Scione, Mende, and Sane. See Herodot. VII. 123, 1, 2.

16. τοὺς ἐπιδημιουργοὺς] The term Δημιουργοὶ, or Δαμιουργοὶ, was a title applied to the chief magistrates of the Peloponnesians, expressive of their doing "the service of the people." See Livy, XXXII. 22. and Aristot. Politic. IV. 4, 16. ed. Oxon. and Thucyd. V. 47, 9. Asclepiades, as quoted by the Scholiast, considers the preposition ἐπὶ superfluous. Göller understands it to express an *additional* or *extra* magistrate, sent by the mother country to act as a colleague to the demiurgi appointed by the colonists themselves.

οὓς κατὰ ἔτος ἕκαστον Κορίνθιοι ἔπεμπον, δείσαντες μὴ ἀποστῶσιν ὑπό τε Περδίκκου πειθόμενοι καὶ Κορινθίων, τούς τε ἄλλους τοὺς ἐπὶ Θρᾴκης ξυναποστήσωσι ξυμμάχους. LVII. ταῦτα δὲ πρὸς τοὺς Ποτιδαιάτας οἱ Ἀθηναῖοι προπαρεσκευάζοντο εὐθὺς μετὰ τὴν ἐν Κερκύρᾳ ναυμαχίαν· οἵ 5 τε γὰρ Κορίνθιοι φανερῶς ἤδη διάφοροι ἦσαν, Περδίκκας τε ὁ Ἀλεξάνδρου Μακεδόνων βασιλεὺς ἐπεπολέμωτο ξύμμαχος πρότερον καὶ 2 φίλος ὤν. ἐπολεμώθη δὲ ὅτι Φιλίππῳ τῷ ἑαυτοῦ ἀδελφῷ καὶ Δέρδᾳ κοινῇ πρὸς αὐτὸν 10 ἐναντιουμένοις οἱ Ἀθηναῖοι ξυμμαχίαν ἐποιή-3 σαντο. δεδιώς τε ἔπρασσεν ἔς τε τὴν Λακεδαίμονα πέμπων ὅπως πόλεμος γένηται αὐτοῖς πρὸς Πελοποννησίους, καὶ τοὺς Κορινθίους προσεποιεῖτο τῆς Ποτιδαίας ἕνεκα ἀποστάσεως· προσέφερε δὲ λόγους καὶ τοῖς ἐπὶ Θρᾴκης Χαλκιδεῦσι καὶ 15 Βοττιαίοις ξυναποστῆναι, νομίζων, εἰ ξύμμαχα ταῦτα ἔχοι ὅμορα ὄντα τὰ χωρία, ῥᾷον ἂν τὸν πόλεμον μετ' αὐτῶν

At the same time, Perdiccas, king of Macedonia, labours to organize a confederacy against Athens in his own neighbourhood, and tries to excite the Peloponnesian alliance to war.

2. *περδίκου* c. 3. Ante *ἐπὶ Θρᾴκης* omitt. *τοὺς* A.B.E.F.H.N.V.g.h. et Poppo. *ξυναποστήσουσι* A.B.E.F.H. *συμμάχους* F. 4. *περὶ* C.F.H.I. c.e.f.g.h. Poppo. 5. *παρεσκευάζοντο* c. 6. *ἤδη*] om. C. et pr. G. sumpsi ex A.B.E.F.H.N.V.f.g. habent Bekk. Poppo. Goeller. 7. *περδίκας* V.b.c.g. *τε ὁ τοῦ φιλέλληνος καλουμένου ὃς ἐν τοῖς μηδικοῖς ἤκμαζεν ἀλεξ.* I. 8. *πρότερος* B. 10. *δάρδαι* E. 12. *ἔπραττεν* f. 13. *αὐτοῖς καὶ πελοποννησίοις πρὸς ἀθηναίους* f. 14. *προσεποιοῖτο* E. 15. *δὲ καὶ λόγους* K. 16. *βοτιαίοις* B.g. *ποτιδαιάταις* e. *συναποστῆναι* g. *ἔχῃ* K. *ἔχει* G.P. 17. *τὰ*] om. A.B.E.F.H.V.g.h. uncis inclusit Poppo.

7. *Περδίκκας*] The line of the kings of Macedon, from their founder Perdiccas, may be seen in Herodotus, VIII. 139. They were reputed to be descended from Temenus, that one of the chiefs of the Heraclidæ who at the return of his family with the Dorians obtained possession of Argolis; and on the strength of this descent they were allowed to be Greeks; (Herod. V. 22.) but the Macedonian people were regarded as at best half barbarians. See Thucyd. IV. 124, 1. 126, 3.

15. *τοῖς ἐπὶ Θρᾴκης*] "The people "*Thrace-ward*," or living in the direction of Thrace; a general term applied to the Greek states which lined the northern coast of the Ægean from Thessaly to the Hellespont. The Chalcidian colonies in this quarter, amongst which were Olynthus, Torone, Sermyle, and Arne, were founded from Chalcis in Eubœa, owing it is said to a revolution in the government there, by which the nobles, called Hippobotæ, (Herodot. V. 77, 3.) enslaved the commons, and drove numbers of them to emigrate. See Strabo, X. 1, 8.

ποιεῖσθαι. ὧν οἱ Ἀθηναῖοι αἰσθόμενοι καὶ βουλόμενοι προ- 4 καταλαμβάνειν τῶν πόλεων τὰς ἀποστάσεις (ἔτυχον γὰρ τριάκοντα ναῦς ἀποστέλλοντες καὶ χιλίους ὁπλίτας ἐπὶ τὴν γῆν αὐτοῦ, Ἀρχεστράτου τοῦ Λυκομήδους μετ' ἄλλων δέκα 5 στρατηγοῦντος), ἐπιστέλλουσι τοῖς ἄρχουσι τῶν νεῶν Ποτιδαιατῶν τε ὁμήρους λαβεῖν καὶ τὸ τεῖχος καθελεῖν, τῶν τε πλησίον πόλεων φυλακὴν ἔχειν, ὅπως μὴ ἀποστήσονται. LVIII. Ποτιδαιᾶται δὲ πέμψαντες μὲν καὶ παρ' Ἀθηναίους πρέσβεις, εἴ πως πείσειαν μὴ σφῶν πέρι νεωτερίζειν μηδὲν, 10 ἐλθόντες δὲ καὶ ἐς τὴν Λακεδαίμονα μετὰ Κορινθίων, [ἔπρασσον] ὅπως ἑτοιμάσαιντο τιμωρίαν, ἢν δέῃ, ἐπειδὴ ἔκ τε Ἀθηναίων ἐκ πολλοῦ πράσσοντες οὐδὲν εὕροντο ἐπιτήδειον, ἀλλ' αἱ νῆες αἱ ἐπὶ Μακεδονίαν καὶ ἐπὶ σφᾶς

The Potidæans, having tried in vain to satisfy Athens without giving the securities required, revolt openly, with the Chalcidians and Bottiæans.

1. οἱ] om. L.O. 2. γὰρ om. V. 4. τοῦ] om. g. 5. ἐπιστέλλουσι] om. H. inter versus habet F. 6. τὸ] om. C. 7. ἀποστήσονται C.K.g. Poppo. Goell. Bekk. vulgo ἀποστήσωνται. 8. μὲν] om. C.e. πρὸς g. 11. Verbum ἔπρασσον melius abesse vidit Poppo. uncis inclusit Bekker. 12. τιμωρίαν om. E. pr. man. δέοι e. ἐπειδὴ δὲ ἐκ correct. G. ἀθηνῶν C. 13. εὕροντο C.G. ηὕροντο A.B.E.F.H.V.g.h. Bekker. εὗρον τὸ I. 14. νῆες αἱ] αἱ om. A.B.g.h.

4. μετ' ἄλλων δέκα] The number of *eleven* generals at Athens at this period is very unusual, nor can we conceive, it is said, how it can possibly be correct. The polemarch who at the time of the battle of Marathon was still chosen to act with the ten generals of the commonwealth, and who had an equal vote with them in the council, cannot be supposed to have had the same power now. Nor can we believe that the ten generals of the commonwealth would all be sent together when the army consisted only of a thousand men. Besides, five other generals are sent out shortly after with a second army: (ch. 61, 1.) and surely the government would not have employed sixteen generals at one time in the same expedition. Krüger therefore proposes to read μετ' ἄλλων δ', i. e. "with four "others." With regard to the number, however, it would appear that fifteen generals were employed at once in the Samian war: for the first fleet sent out was commanded by Pericles with nine colleagues; (Thucyd. I. 116, 1.) and afterwards a reinforcement arrives of forty ships, and subsequently two more reinforcements, one of which had three commanders, and the other two. It would seem, therefore, that besides the ten generals of the commonwealth properly so called, other commanders were sometimes employed, either with them, or in detached commands, like the proconsuls at Rome. Still the odd number of eleven, and the circumstance of so many commanders being sent with so small a force, cannot but appear suspicious. Mr. Thirlwall follows the text of Thucydides without any remark; possibly from not having had his attention drawn to the point, as was my own case when the first edition of this work was published; but possibly also from his not thinking the statement questionable; which certainly would be no light argument in its favour.

ὁμοίως ἔπλεον, καὶ τὰ τέλη τῶν Λακεδαιμονίων ὑπέσχετο αὐτοῖς, ἢν ἐπὶ Ποτίδαιαν ἴωσιν Ἀθηναῖοι, ἐς τὴν Ἀττικὴν ἐσβαλεῖν, τότε δὴ κατὰ τὸν καιρὸν τοῦτον ἀφίστανται μετὰ 2 Χαλκιδέων καὶ Βοττιαίων κοινῇ ξυνομόσαντες. καὶ Περδίκκας πείθει Χαλκιδέας τὰς ἐπὶ θαλάσσῃ πόλεις ἐκλιπόντας 5 καὶ καταβαλόντας ἀνοικίσασθαι ἐς Ὄλυνθον, μίαν τε πόλιν ταύτην ἰσχυρὰν ποιήσασθαι· τοῖς τε ἐκλιποῦσι τούτοις τῆς ἑαυτοῦ γῆς τῆς Μυγδονίας περὶ τὴν Βόλβην λίμνην ἔδωκε 3 νέμεσθαι, ἕως ἂν ὁ πρὸς Ἀθηναίους πόλεμος ᾖ. καὶ οἱ μὲν ἀνῳκίζοντό τε καθαιροῦντες τὰς πόλεις καὶ ἐς πόλεμον 10 παρεσκευάζοντο. LIX. αἱ δὲ τριάκοντα νῆες τῶν Ἀθηναίων ἀφικνοῦνται ἐς τὰ ἐπὶ Θρᾴκης, καὶ καταλαμβάνουσι τὴν Ποτίδαιαν καὶ τἆλλα ἀφεστηκότα. 2 νομίσαντες δὲ οἱ στρατηγοὶ ἀδύνατα εἶναι πρός τε Περδίκκαν πολεμεῖν τῇ παρούσῃ δυνάμει 15

The Athenian forces in the neighbourhood are at first too weak to act against the revolted states.

1. ὑπέσχετο A.B.C.E.F.H.N.h. Poppo. Goell. Bekk. G. et vulgo ὑπέσχοντο. 3. ἐμβαλεῖν d.i. προσβαλεῖν c. 4. περδίκας c. 5. τοὺς correctus K. 6. καταβάλλοντας K. καταλαβόντας A.B.E.F.i. ἀνοικήσασθαι E. ἐς] om. F. 7. ἰσχυρὰν ταύτην f. ἐκλιποῦσι A.B.C.F.G.K.N.V.b.c.f.g.i. Poppo. Goell. Bekk. ἐκλειποῦσι H. E. et vulgo ἐκλείπουσι. 8. ἑαυτοῦ] τε αὐτοῦ K. Post τῆς omisi τε cum A.B.E.F.G.H.K.L.O.P.V.d.g.h.i. om. Bekk. Haack. Poppo. Goell. βόλβην A.B.E.F.H.K.V. Poppo. Goell. Bekk. C. et vulgo βολβήν. 9. ἣν c. 11. τῶν Ἀθ.] om. K.i. 13. Post τὴν omisi τε cum A.B.E.F.H.V.g.h. om. Bekk. Poppo. Goell. 14. ἀδύνατοι e. ἀδύνατα εἶναι post πολεμεῖν ponit f. 15. τε] om. L.P.V.

1. τὰ τέλη τῶν Λακεδαιμονίων] The origin and various meanings of the words τέλλω and τελέω are attempted to be traced by Damm, Lexic. Homeric., and by Wachsmuth in his *Hellenische Alterthumskunde*, vol. I. Append. 14. The words are connected with our verb "to tell," and with the German *stellen*, *zahlen*, and *ziel*. Τέλλειν is "to put, or to settle;" thence τελεῖν is "to settle, complete, or perfect," and τέλος the "settlement or perfecting" of a thing; hence the expressions γάμοιο τέλος and θαντάοιο τέλος; both being the settlement or crown of life, though in a different sense. Hence τέλος, like ἀρχὴ, is applied to magistrates and powers, οἱ κύριοι; and thus I should translate the words τέλος ἁγνὸν in Æschylus, Ἑπτ. ἐπὶ Θήβ. v. 164. ed. Schütz, "Thou virgin Power!" i. e. Minerva. Then again τέλη, applied to the divisions of an army, signifies apparently the same as τάγματα, i. e. "the sets or orders" of an army, Lastly, τελεῖν signifies, "to settle an "account;" and thence generally, "to pay." (*Zahlen* in German, and the old sense of "tale" in English, and the modern word "toll.") Τὰ τέλη are "tolls;" ἀτέλης, "toll or tax "free." The meaning of the expres-

καὶ τὰ ξυναφεστῶτα χωρία τρέπονται ἐπὶ τὴν Μακεδονίαν, ἐφ' ὅπερ καὶ τὸ πρότερον ἐξεπέμποντο, καὶ καταστάντες ἐπολέμουν μετὰ Φιλίππου καὶ τῶν Δέρδου ἀδελφῶν ἄνωθεν στρατιᾷ ἐσβεβληκότων. LX. Καὶ ἐν τούτῳ οἱ Κορίνθιοι, 5 τῆς Ποτιδαίας ἀφεστηκυίας καὶ τῶν Ἀττικῶν νεῶν περὶ Μακεδονίαν οὐσῶν, δεδιότες περὶ τῷ χωρίῳ καὶ οἰκεῖον τὸν κίνδυνον ἡγούμενοι πέμπουσιν ἑαυτῶν τε ἐθελοντὰς καὶ τῶν ἄλλων Πελοποννησίων μισθῷ πείσαντες, ἑξακοσίους καὶ χιλίους τοὺς πάντας 10 ὁπλίτας καὶ ψιλοὺς τετρακοσίους. 2 ἐστρατήγει δὲ αὐτῶν Ἀριστεὺς ὁ Ἀδειμάντου, κατὰ φιλίαν τε αὐτοῦ οὐχ ἥκιστα οἱ πλεῖστοι ἐκ Κορίνθου στρατιῶται ἐθελονταὶ ξυνέσποντο· ἦν γὰρ τοῖς Ποτιδαιάταις ἀεί ποτε ἐπιτήδειος. 3 καὶ ἀφικνοῦνται τεσσαρακοστῇ ἡμέρᾳ ὕστερον ἐπὶ Θρᾴκης ἢ Ποτί15δαια ἀπέστη. LXI. ἦλθε δὲ καὶ τοῖς Ἀθηναίοις εὐθὺς ἡ ἀγγελία τῶν πόλεων ὅτι ἀφεστᾶσι· καὶ πέμπουσιν, ὡς ᾔσθοντο καὶ τοὺς μετὰ Ἀριστέως ἐπιπαρόντας, δισχιλίους ἑαυτῶν ὁπλίτας καὶ τεσσαράκοντα ναῦς πρὸς τὰ ἀφεστῶτα, καὶ 20 Καλλίαν τὸν Καλλιάδου πέμπτον αὐτὸν στρατηγὸν, οἳ ἀφικόμενοι ἐς Μακεδονίαν πρῶτον καταλαμβάνουσι τοὺς προτέρους χιλίους Θέρμην ἄρτι ᾑρηκότας καὶ Πύδναν

Which gives the Corinthians time to send succours to Potidæa.

But the Athenians being reinforced from home, conclude a hasty peace with Perdiccas, (which he breaks immediately afterwards) and advance against Potidæa.

1. ἀφεστῶτα I. 2. τὸ πρῶτον C.G.I.L.O.Q.f.g. 3. δέρδα H. et correctus F. 4. ἐσβεβληκότα C. ἐμβεβληκότων L. 6. μακεδονίας c. 7. τῶν χωρίων c.h. 11. τε] δὲ c. οὐχ ἥκιστα om. pr. G. 12. ξυνέποντο N.g. 13. ποτε] om. N.V. 14. ἡμέρᾳ] om. K. d. ἢ correctus F. Poppo. Goeller. Bekk. ῃ G. ceteri ᾗ. 20. δὲ τὸν G. αὐτῶν K.b.d.e. 21. πρῶτον] om. B.

sion τελεῖν ἐς ἀστοὺς (Soph. Œd. Tyran. 222. Compare Herodotus, II. 51, 2.) is apparently "to be a full or com"plete citizen;" "to arrive at a place "among citizens." Compare the expression, Thucyd. IV. 78, 5. ἐς Φάρσαλον ἐτέλεσε.

3. Δέρδου] Δέρδα secundo casu in Cass. ut Πυθαγόρα, Ἀρχύτα et alia, quæ etiam communiter per ου et α efferuntur. DUKER.

22. Θέρμην] Thessalonica, the name of this town at a later period, was given it by Cassander, the son of Antipater, who restored and enlarged it, in honour of his wife Thessalonica, the daughter of Philip. Strabo, Fragm. VII. Fragm. 10.

2 πολιορκοῦντας. προσκαθεζόμενοι δὲ καὶ αὐτοὶ τὴν Πύδναν ἐπολιόρκησαν μὲν, ἔπειτα δὲ ξύμβασιν ποιησάμενοι καὶ ξυμμαχίαν ἀναγκαίαν πρὸς τὸν Περδίκκαν, ὡς αὐτοὺς κατήπειγεν ἡ Ποτίδαια καὶ ὁ Ἀριστεὺς παρεληλυθὼς, ἀπανίστανται ἐκ τῆς Μακεδονίας, καὶ ἀφικόμενοι ἐς Βέροιαν 5 κἀκεῖθεν ἐπιστρέψαντες, καὶ πειράσαντες πρῶτον τοῦ χωρίου καὶ οὐχ ἑλόντες, ἐπορεύοντο κατὰ γῆν πρὸς τὴν Ποτίδαιαν, τρισχιλίοις μὲν ὁπλίταις ἑαυτῶν, χωρὶς δὲ τῶν ξυμμάχων πολλοῖς, ἱππεῦσι δὲ ἑξακοσίοις Μακεδόνων τοῖς μετὰ Φιλίππου καὶ Παυσανίου· ἅμα δὲ νῆες παρέπλεον ἑβδομή- 10
3 κοντα. κατ' ὀλίγον δὲ προϊόντες τριταῖοι ἀφίκοντο ἐς Γίγωνον καὶ ἐστρατοπεδεύσαντο. LXII. Ποτιδαιᾶται δὲ καὶ οἱ μετὰ Ἀριστέως Πελοποννήσιοι προσδεχόμενοι τοὺς Ἀθηναίους ἐστρατοπεδεύοντο πρὸς Ὀλύνθου

The Potidæans and their allies give them battle before Potidæa,

1. καὶ προσκαθ. c. 2. δὲ post ἔπειτα om. C. 3. ὡς δὲ αὐτοὺς c. 4. ἡ Ποτίδαια] om. d.i. ἀπανίσταται E. 5. βέροιαν A.C.E.F.G.H.V. Haack. Poppo. Goell. Bekk. B. et vulgo βέρροιαν. 6. τὸ χωρίον L. 11. γίγυνον f. 13. Πελοπ.] om. f. 14. ἐστρατοπεδεύσαντο c. πρὸς Ὀλύνθου C. Poppo. Goeller. πρὸ Ὀλύνθου G.H.I.K.L.O.P.Q.d. et corr. F. Vulgo Haack. Bekker. πρὸς Ὀλύνθῳ. πρὸ Ὀλύνθου legit Valla. πρὸ ὀλύνθῳ V.

2. ξυμμαχίαν ἀναγκαίαν] i. e. "which "they only made because they could "not help it." Comp. II. 70, 1. βρώσεως πέρι ἀναγκαίας, "Food which none "but a starving man would have eaten."

6. κἀκεῖθεν ἐπιστρέψαντες, κ. τ. λ.] The Athenians raised the siege of Pydna, and concluded a hasty peace with Perdiccas, in order to hasten to lay siege to Potidæa. But this peace was soon broken, and Perdiccas again joined the enemies of Athens; for what reason, is not stated, but possibly on account of the perfidious attempt to get possession of Berœa, which Thucydides here mentions. The natural route from Pydna to Potidæa lay along the coast, and Berœa was quite out of the way, at some distance to the westward, near the fort of the Bermian mountains. But the hope of surprising Berœa induced the Athenians to deviate from their direct line of march; then, after the failure of this treacherous attempt, they returned again to the sea-coast, and continued to follow it till they arrived at Gigonus. Thus the words καὶ πειράσαντες πρῶτον τοῦ χωρίου καὶ οὐχ ἑλόντες are a sort of parenthesis, and are intended to tell us that the Athenians, before they returned to the coast, had made a fruitless attempt upon Berœa, which had been the object that first induced them to deviate from their direct road from Pydna.

14. πρὸς Ὀλύνθου] I have adopted this reading with Poppo and Göller from the Laurentian MS. (C.), for, as Poppo well observes, "the allies were "neither encamped *in front of* Olyn- "thus, πρὸ Ὀλύνθου, nor yet *close to* "Olynthus, πρὸς Ὀλύνθῳ, but under "the walls of Potidæa, on the side of "the town that looked *towards* Olyn- "thus; that is, πρὸς Ὀλύνθου." Compare III. 21, 2. πρὸς Πλαταιῶν. IV. 31, 1. πρὸς τοῦ λιμένος. IV. 130, 1. τὸ πρὸς Σκιώνης.

and are defeated and driven into the town.

ἐν τῷ ἰσθμῷ, καὶ ἀγορὰν ἔξω τῆς πόλεως
ἐπεποίηντο. στρατηγὸν μὲν τοῦ πεζοῦ παντὸς 2
οἱ ξύμμαχοι ᾕρηντο Ἀριστέα, τῆς δὲ ἵππου Περδίκκαν·
ἀπέστη γὰρ εὐθὺς πάλιν τῶν Ἀθηναίων καὶ ξυνεμάχει τοῖς
5 Ποτιδαιάταις, Ἰόλαον ἀνθ' αὑτοῦ καταστήσας ἄρχοντα. ἦν 3
δὲ ἡ γνώμη τοῦ Ἀριστέως τὸ μὲν μεθ' ἑαυτοῦ στρατόπεδον
ἔχοντι ἐν τῷ ἰσθμῷ ἐπιτηρεῖν τοὺς Ἀθηναίους, ἢν ἐπίωσι,
Χαλκιδέας δὲ καὶ τοὺς ἔξω ἰσθμοῦ ξυμμάχους καὶ τὴν παρὰ
Περδίκκου διακοσίαν ἵππον ἐν Ὀλύνθῳ μένειν, καὶ ὅταν
10 Ἀθηναῖοι ἐπὶ σφᾶς χωρῶσι, κατὰ νώτου βοηθοῦντας ἐν
μέσῳ ποιεῖν αὐτῶν τοὺς πολεμίους. Καλλίας δ' αὖ ὁ τῶν 4
Ἀθηναίων στρατηγὸς καὶ οἱ ξυνάρχοντες τοὺς μὲν Μακε-
δόνας ἱππέας καὶ τῶν ξυμμάχων ὀλίγους ἐπὶ Ὀλύνθου ἀπο-
πέμπουσιν, ὅπως εἴργωσι τοὺς ἐκεῖθεν ἐπιβοηθεῖν, αὐτοὶ δ'
15 ἀναστήσαντες τὸ στρατόπεδον ἐχώρουν ἐπὶ τὴν Ποτίδαιαν.
καὶ ἐπειδὴ πρὸς τῷ ἰσθμῷ ἐγένοντο καὶ εἶδον τοὺς ἐναντίους 5
παρασκευαζομένους ὡς ἐς μάχην, ἀντικαθίσταντο καὶ αὐτοί,
καὶ οὐ πολὺ ὕστερον ξυνέμισγον. καὶ αὐτὸ μὲν τὸ τοῦ 6
Ἀριστέως κέρας, καὶ ὅσοι περὶ ἐκεῖνον ἦσαν Κορινθίων τε
20 καὶ τῶν ἄλλων λογάδες, ἔτρεψαν τὸ καθ' ἑαυτοὺς καὶ

2. μὲν] μὲν οὖν G. δὲ c.f. Ante τοῦ omisi οὖν cum A.B.C.E.F.H.V.c.g.h. om. Bekk. Poppo. Goell. Post τοῦ omisi δὴ cum A.B.E.F.H.L.V.c.g.h.i. pro quo δὲ habet C, μὲν c.f. om. Bekk. Poppo. Goell. 3. ᾕρηνται G. 4. συνε-μάχει f. τοῖς] om. g. 5. ποτιδεάταις V. 6. μεθ'] θ' i. 7. ἔχοντι A.B.C.E.F.H.V.f.g.h. Poppo. Goeller. Bekk. ἔχοντες c. G. et vulgo ἔχοντα. 8. παρὰ] om. i. 9. περδίκου V. 10. νώτου I. νῶτα V. βοηθοῦντες F. 11. αὐτῶν Poppo. αὖ] om. d.i. 12. μακεδόνων correct. F.H.f. 13. ὄλυνθον K.c.f. 18. ὕστερον] ὕστερον καὶ K. συνέμισγον B.V. ξυνέσμιγον c.i. συνέσμιγον d.h. 19. ἐκείνου Q. ἦσαν] om. d. τε] om. f. 20. ἔτρεψαν G.H.K. Poppo. Goeller. Bekk. vulgo ἐτρέψαντο. τὸ] om. A.B.C.F.N.V.c.

1. ἀγορὰν ἔξω τῆς πόλεως] The object of having a market outside the town was to deprive the men of all excuse for straggling into the town to get provisions, and so being off their posts in case of a sudden attack. Compare VI. 69. 100. and VIII. 95, 4.

7. ἔχοντι] Constructio ad sensum facta: nam verborum τοῦ Ἀριστέως γνώμη ἦν idem sensus, ac si dixisset τῷ Ἀριστεῖ ἔδοξε. GÖLL.

ἐπεξῆλθον διώκοντες ἐπὶ πολύ· τὸ δὲ ἄλλο στρατόπεδον τῶν τε Ποτιδαιατῶν καὶ τῶν Πελοποννησίων ἡσσᾶτο ὑπὸ τῶν Ἀθηναίων καὶ ἐς τὸ τεῖχος κατέφυγεν. LXIII. ἐπαναχωρῶν δὲ ὁ Ἀριστεὺς ἀπὸ τῆς διώξεως, ὡς ὁρᾷ τὸ ἄλλο στράτευμα ἡσσημένον, ἠπόρησε μὲν 5 ὁποτέρωσε διακινδυνεύσῃ χωρήσας, ἢ ἐπὶ τῆς Ὀλύνθου ἢ ἐς τὴν Ποτίδαιαν, ἔδοξε δ' οὖν ξυναγαγόντι τοὺς μεθ' ἑαυτοῦ ὡς ἐς ἐλάχιστον χωρίον δρόμῳ βιάσασθαι ἐς τὴν Ποτίδαιαν· καὶ παρῆλθε παρὰ τὴν χηλὴν διὰ τῆς θαλάσσης βαλλόμενός τε καὶ 10 χαλεπῶς, ὀλίγους μέν τινας ἀποβαλὼν, τοὺς δὲ πλείους 2 σώσας. οἱ δ' ἀπὸ τῆς Ὀλύνθου τοῖς Ποτιδαιάταις βοηθοὶ (ἀπέχει δὲ ἑξήκοντα μάλιστα σταδίους καὶ ἔστι καταφανὲς) ὡς ἡ μάχη ἐγίγνετο καὶ τὰ σημεῖα ἤρθη, βραχὺ μέν τι προῆλθον ὡς βοηθήσοντες, καὶ οἱ Μακεδόνες ἱππῆς ἀντιπαρε- 15

Aristeus, the leader of the Corinthian auxiliaries, escapes from the action into Potidæa with difficulty. Amount of the loss on both sides.

1. ἄλλων i. τῶν τε ποτιδ. A.B.E.F.c.f.g. Poppo. Goeller. Bekk. τῶν ποτιδ. H.N.V.g. C.G. et vulgo ποτιδαιατῶν. 2. τῶν πελοπ. A.B.E.F.H.N.V.c.f.g.h. Poppo. Goeller. Bekk. C.G. et vulgo πελοπ. ἡττᾶτο d. 3. κατέφευγεν f. 4. ἀριστεὺς τῆς ποτιδαίας ἀπὸ A.F.g. ὁρᾷ A.B.C.E.F.H.V.g.h. Poppo. Goell. G. et vulgo ἑώρα. 5. ἡττημένον d.i. 6. διακινδυνεύσῃ A.C. Bekker. Goell. διακινδυνεύσαι B.h. F. et vulgo διακινδυνεύσει. 7. τὴν] om. K. ἔδοξε—Ποτίδαιαν] om. G. οὖν K.d.i. ceteri γοῦν. Correxit Poppo (Observ. crit. in Thucyd. p. 222.) δ' οὖν Goeller. Bekk. 8. συναγαγόντι V.e. αὐτοῦ C. ἐς] G. om. A.B.C.E.F.P.e.g.h. 9. χωρίου P. 12. ποτιδαιάτοις F. 13. ἀπεῖχε A.B.E.F.H.N.V.g.h. μάλιστα ἑξήκοντα V. ἔστη E. 14. ἐγίγνετο A.B.E.F.H.c.f.g. Poppo. Goeller. Bekk. C. et vulgo ἐγένετο. τι] τοι b.i. om. d. 15. ἀντεπαρετάξαντο C.E.F.V.

8. ὡς ἐς ἐλάχιστον χωρίον] "Into "as small a space as possible;" i. e. in order to cut their way more easily through the enemy, by being in a denser mass. Ὡς ἐς ἐλάχιστον is a transposition for ἐς ὡς ἐλάχιστον. Compare III. 46, 1. ὅτι ἐν βραχυτάτῳ. This is Göller's observation.

10. τὴν χηλὴν] The bottom of the sea-wall in the ancient sea-port towns was strengthened by a sort of breakwater of large stones, which at last left the line of the wall, and was continued as a mole to narrow the entrance of the harbour. The walls of Potidæa reached down to the sea on both sides of the isthmus, and as the gates on the outer front of the town towards Olynthus could not be opened, lest the Athenians should force their way in with the fugitives, Aristeus was obliged to get along under the sea-wall upon this breakwater, in order to be admitted at one of the gates on the inner front towards Pallene. In doing this he was exposed to the missiles of the Athenians, whose ships were blockading the town, and thus sustained some loss.

τάξαντο ὡς κωλύσοντες· ἐπειδὴ δὲ διὰ τάχους ἡ νίκη τῶν Ἀθηναίων ἐγίγνετο καὶ τὰ σημεῖα κατεσπάσθη, πάλιν ἐπανεχώρουν ἐς τὸ τεῖχος καὶ οἱ Μακεδόνες παρὰ τοὺς Ἀθηναίους· ἱππῆς δ' οὐδετέροις παρεγένοντο. μετὰ δὲ τὴν μάχην 3
5 τροπαῖον ἔστησαν οἱ Ἀθηναῖοι, καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν τοῖς Ποτιδαιάταις· ἀπέθανον δὲ Ποτιδαιατῶν μὲν καὶ τῶν ξυμμάχων ὀλίγῳ ἐλάσσους τριακοσίων, Ἀθηναίων δὲ αὐτῶν πεντήκοντα καὶ ἑκατὸν καὶ Καλλίας ὁ στρατηγός. LXIV. τὸ δ' ἐκ τοῦ ἰσθμοῦ τεῖχος εὐθὺς οἱ
10 Ἀθηναῖοι ἀποτειχίσαντες ἐφρούρουν. τὸ δ' ἐς 2 τὴν Παλλήνην ἀτείχιστον ἦν· οὐ γὰρ ἱκανοὶ ἐνόμιζον εἶναι ἔν τε τῷ ἰσθμῷ φρουρεῖν καὶ ἐς τὴν Παλλήνην διαβάντες τειχίζειν, δεδιότες μὴ σφίσιν οἱ Ποτιδαιᾶται καὶ οἱ ξύμμαχοι γιγνο-

Potidæa is blockaded first on the side of the main land, and afterwards, when fresh troops arrive from Athens, on the side of Pallene also.

1. ἐπειδὴ A.B.E.F.H.L.N.V.c.f.g.h. Poppo. Goell. Bekk. C. et vulgo ἐπεί. 5. οἱ] om. N. et pr. G. 11. ἀτείχιστος g. 14. γενομένοις G.L.O.P.Q.V.

6. ἀπέθανον δὲ—Ἀθηναίων κ. τ. λ.] The Inscription in honour of the Athenians who were killed in this battle is now in the British Museum. It was found in the plain of the Academy near Athens, and brought to England by lord Elgin. The four first lines are so effaced that nothing can be made out of them except by mere conjecture; and the several endings of the remaining eight are also broken off, and have been restored conjecturally by Thiersch and Böckh, who have successively edited the inscription; the first in a separate work, published at Munich in 1816; the latter in his Collection of Greek Inscriptions, No. 1. p. 300. from whence I have copied it. The words added from conjecture are inclosed in brackets.

Αἰθὴρ μὲμ ψυχὰς ὑπεδέξατο, σώ[ματα δὲ χθὼν]
Τῶνδε· Ποτειδαίας δ' ἀμφὶ πύλας ἔ[πεσον]
Ἐχθρῶν δ' οἱ μὲν ἔχουσι τάφου μέρος, οἱ [δὲ φυγόντες]
Τεῖχος πιστοτάτην ἐλπίδ' ἔθεντο [βίου]
Ἄνδρας μὲμ πόλις ἥδε ποθεῖ καὶ δ[ῆμος Ἐρεχθέως]
Πρόσθε Ποτειδαίας οἳ θάνον ἐμπρ[ομάχοις,]
Παῖδες Ἀθηναίων· ψυχὰς δ' ἀντίρρο[πα θέντες]
Ἠ[λλ]άξαντ' ἀρετὴν καὶ πατ[ρίδ'] εὐκλ[έϊσαν.]

9. τὸ δ' ἐκ τοῦ ἰσθμοῦ τεῖχος] The wall on the side of the isthmus, i. e. the outer wall looking towards Olynthus; as τὸ ἐκ τῆς Παλλήνης τεῖχος is the wall on the side of Pallene, or the inner wall, which had been before called τὸ ἐς τὴν Παλλήνην, i. e. looking towards Pallene. Thus the two opposite prepositions appear to be used indiscriminately to express the same idea; but they do not express the same part of it: τὸ ἐκ τῆς Παλλήνης τεῖχος is the wall which presented itself to the eye or the mind from Pallene, or from the side of Pallene; τὸ ἐς τὴν Παλλήνην is the wall looking from the city towards Pallene. Ἐκ corresponds with our word "of," and denotes "of, or belonging to." Thus in Herodot. III. 126, 2. τὸν ἐκ Δα-

3 μένοις δίχα ἐπιθῶνται. καὶ πυνθανόμενοι οἱ ἐν τῇ πόλει Ἀθηναῖοι τὴν Παλλήνην ἀτείχιστον οὖσαν, χρόνῳ ὕστερον πέμπουσιν ἑξακοσίους καὶ χιλίους ὁπλίτας ἑαυτῶν καὶ Φορμίωνα τὸν Ἀσωπίου στρατηγόν· ὃς ἀφικόμενος ἐς τὴν Παλλήνην καὶ ἐξ Ἀφύτιος ὁρμώμενος προσήγαγε τῇ Ποτιδαίᾳ 5 τὸν στρατὸν κατὰ βραχὺ προϊὼν καὶ κείρων ἅμα τὴν γῆν· ὡς δὲ οὐδεὶς ἐπεξῄει ἐς μάχην, ἀπετείχισε τὸ ἐκ τῆς Παλ-
4 λήνης τεῖχος. καὶ οὕτως ἤδη κατὰ κράτος ἡ Ποτίδαια ἀμφοτέρωθεν ἐπολιορκεῖτο, καὶ ἐκ θαλάσσης ναυσὶν ἅμα ἐφορμούσαις. LXV. Ἀριστεὺς δὲ ἀποτειχισθείσης αὐτῆς, καὶ 10 ἐλπίδα οὐδεμίαν ἔχων σωτηρίας ἢν μή τι ἀπὸ Πελοποννήσου ἢ ἄλλο παρὰ λόγον γίγνηται, ξυνεβούλευε μὲν πλὴν πεντακοσίων ἄνεμον τηρήσασι τοῖς ἄλλοις ἐκπλεῦσαι, ὅπως ἐπὶ πλέον ὁ σῖτος ἀντισχῇ, καὶ αὐτὸς ἤθελε τῶν μενόντων εἶναι· ὡς δ' οὐκ 15 ἔπειθε, βουλόμενος τὰ ἐπὶ τούτοις παρασκευάζειν, καὶ ὅπως τὰ ἔξωθεν ἕξει ὡς ἄριστα, ἔκπλουν ποιεῖται λαθὼν τὴν
2 φυλακὴν τῶν Ἀθηναίων. καὶ παραμένων ἐν Χαλκιδεῦσι τά τε ἄλλα ξυνεπολέμει καὶ Σερμυλίων λοχήσας πρὸς τῇ πόλει

Aristeus escapes from the town, and tries to keep alive the war in the neighbourhood.

1. ἐπιθῶνται C.F.K. Bekk. Goell. vulgo ἐπίθωνται. 7. τὴν μάχην G.K.L.O. P.Q.e.i. 10. καὶ] om. c. 12. παράλογον Bekk. γίγνεται C. γίγνοιτο c. 13. ξυνεβούλευσε N.V. 14. post ὅπως deletas litteras duas vel tres F. ὁ σῖτος] post ἀντισχῇ ponit f. 15. ἀντισχῇ C.E. Bekk. Goeller. ἀντίσχοι Tusanus. vulgo ἀντίσχῃ. 17. ἕξῃ d.i. 19. ξυνεπολέμει A.B.E.F.H.N.V.c.f.g.h. Poppo. Goeller. Bekk. C.G. et vulgo ἐπολέμει. σερμυλίων C.E.G. ἑρμυλίων

σκυλείου ὕπαρχον, "The governor from, "or belonging to, Dascylium;" IV. 145, 2. τῶν ἐκ τῆς Ἀργοῦς ἐπιβατέων, "The soldiers of, or belonging to, the "Argo." And the Latin writers use "ab" in a similar sense: "Ab corni- "bus elephantos statuit," Livy, XXI. 55. i. e. to oppose the enemy *from* the wings.

2. ἀτείχιστον οὖσαν] "Without any "works raised upon it." That Potidæa completely occupied the isthmus from sea to sea, so as to cut off all communication by land between an enemy attacking it on the side of Pallene and one encamped on the outside of the isthmus, is plain not only from the narration of Thucydides, but from the account in Herodotus, VIII. 129. that the Persians, when besieging the place on the side towards Olynthus, endeavoured to get across into the peninsula of Pallene by passing over the usual bed of the sea, which an extraordinary efflux of the water had left for some hours dry.

16. τὰ ἐπὶ τούτοις] "What was the "next best thing to be done." Τὸ λεγόμενον, τὸν δεύτερον πλοῦν. Aristot. Ethic. II. 9, 4. Comp. Thucyd. VII. 73, 3. αὐτὸς ἐπὶ τούτοις τάδε μηχανᾶται.

πολλοὺς διέφθειρεν, ἔς τε τὴν Πελοπόννησον ἔπρασσεν ὅπῃ ὠφέλειά τις γενήσεται. 3 μετὰ δὲ τῆς Ποτιδαίας τὴν ἀποτείχισιν Φορμίων μὲν ἔχων τοὺς ἑξακοσίους καὶ χιλίους τὴν Χαλκιδικὴν καὶ Βοττικὴν ἐδῄου, καὶ ἔστιν ἃ καὶ πολίσματα 5 εἷλε.

The Corinthians, thus doubly incensed against Athens,

LXVI. Τοῖς δ' Ἀθηναίοις καὶ Πελοποννησίοις αἰτίαι μὲν αὗται προεγεγένηντο ἐς ἀλλήλους, τοῖς μὲν Κορινθίοις ὅτι τὴν Ποτίδαιαν ἑαυτῶν οὖσαν ἀποικίαν καὶ ἄνδρας Κορινθίων τε καὶ Πελοποννησίων ἐν 10 αὐτῇ ὄντας ἐπολιόρκουν, τοῖς δ' Ἀθηναίοις ἐς τοὺς Πελοποννησίους ὅτι ἑαυτῶν τε πόλιν ξυμμαχίδα καὶ φόρου ὑποτελῆ ἀπέστησαν, καὶ ἐλθόντες σφίσιν ἀπὸ τοῦ προφανοῦς ἐμάχοντο μετὰ Ποτιδαιατῶν. 2 οὐ μέντοι ὅ γε πόλεμός πω ξυνερρώγει, ἀλλ' ἔτι ἀνακωχὴ ἦν· ἰδίᾳ γὰρ 15 ταῦτα οἱ Κορίνθιοι ἔπραξαν. LXVII. πολιορκουμένης δὲ τῆς Ποτιδαίας οὐχ ἡσύχαζον, ἀνδρῶν τε σφίσιν ἐνόντων καὶ ἅμα περὶ τῷ χωρίῳ δεδιότες· παρεκάλουν τε εὐθὺς ἐς τὴν Λακεδαίμονα τοὺς ξυμμάχους, καὶ κατεβόων ἐλθόντες τῶν Ἀθη-20 ναίων ὅτι σπονδάς τε λελυκότες εἶεν καὶ ἀδικοῖεν τὴν Πελοπόννησον. 2 Αἰγινῆταί τε φα-

induce the Lacedæmonians to call a general congress of their allies at Sparta, where, after several states had complained of the ambition of Athens, the Corinthians begin to urge the Lacedæmonians to declare war immediately.

A.B.F.H.g. Bekk. At vide V. 18, 8. et inscription. apud Boeckhium, corp. inscriptionn. Græcar. tom. I. Fascicul. 2. p. 302. ubi ἐν Σερμυλίᾳ scriptum est. 1. ὅπῃ] ὅπως Tusanus. 2. ὠφελία Bekk. 3. μὲν] om. e. 4. καὶ Βοττικὴν] om. d. 7. προεγεγένηντο E. προγεγένηντο c. προσγεγένηντο i. Bekk. Goell. 9. τε] μὲν C.e. om. c. 10. δ'] om. d. ἐς] αἰτία ἐς K. 14. πω] γε d. ξυνερρώγη (ει) e. ἀνακοχὴ g. 17. ἐόντων V. 20. εἶεν om. E. 21. τε A.B. C.E.F.H.L.O.V.c.e.g.h. Poppo. Goell. Bekk. vulgo δέ.

1. ἔς τε τὴν Πελοπόννησον ἔπρασσεν] A condensed expression for ἐς τὴν Πελοπ. πέμψας ἔπρασσεν. See note on c. 51, 3. ἐτελεύτα ἐς νύκτα.

4. Βοττικὴν] Bottice, or Bottica, denotes the new country of the Bottiæans, to the east of Potidæa and the gulf of Therma, where they had settled after they had been driven out of their old country by the Macedonians. (See Thucyd. II. 99, 3.) But Bottiæa denotes their old country, situated much more to the westward, between the rivers Axius and Lydias, of which Herodotus speaks, VII. 123, 4. 127, 1. In the Thracian invasion Sitalces overran Bottica, but never penetrated as far as Bottiæa. See II. 99. 100, 5. 101, 1, 5.

νερῶς μὲν οὐ πρεσβευόμενοι, δεδιότες τοὺς Ἀθηναίους, κρύφα δὲ οὐχ ἥκιστα μετ' αὐτῶν ἐνῆγον τὸν πόλεμον, 3 λέγοντες οὐκ εἶναι αὐτόνομοι κατὰ τὰς σπονδάς. οἱ δὲ Λακεδαιμόνιοι προσπαρακαλέσαντες τῶν ξυμμάχων καὶ εἴ τίς τι ἄλλο ἔφη ἠδικῆσθαι ὑπὸ Ἀθηναίων, ξύλλογον 5 4 σφῶν αὐτῶν ποιήσαντες τὸν εἰωθότα λέγειν ἐκέλευον. καὶ ἄλλοι τε παριόντες ἐγκλήματα ἐποιοῦντο ὡς ἕκαστοι καὶ Μεγαρῆς, δηλοῦντες μὲν καὶ ἕτερα οὐκ ὀλίγα διάφορα, μάλιστα δὲ λιμένων τε εἴργεσθαι τῶν ἐν τῇ Ἀθηναίων ἀρχῇ 5 καὶ τῆς Ἀττικῆς ἀγορᾶς παρὰ τὰς σπονδάς. παρελθόντες δὲ 10 τελευταῖοι Κορίνθιοι, καὶ τοὺς ἄλλους ἐάσαντες πρῶτον παροξῦναι τοὺς Λακεδαιμονίους, ἐπεῖπον τοιάδε.

LXVIII. "ΤΟ ΠΙΣΤΟΝ ὑμᾶς, ὦ Λακεδαιμόνιοι, τῆς "καθ' ὑμᾶς αὐτοὺς πολιτείας καὶ ὁμιλίας ἀπιστοτέρους ἐς "τοὺς ἄλλους, ἤν τι λέγωμεν, καθίστησι· καὶ 15 "ἀπ' αὐτοῦ σωφροσύνην μὲν ἔχετε, ἀμαθίᾳ δὲ

SPEECH OF THE CORINTHIANS. Chapp. 68—71.

3. τὰς] om. N.V. 4. προσκαλέσαντες g. τε post ξυμμάχων omisi cum B.E.F.H.V.f.g.h. Poppone, Haack. et Goellero. Vulgo, et Bekker. ξυμμάχων τε. 5. ἔφη ἄλλο f. ἄλλος ἔφη Tusanus. ὑπὸ τῶν ἀθ' d.i. 7. ἄλλα τε C.G.I.K.c.d.e. ἄλλοτε B.F. παρόντες L.P. 9. εἴργεσθε E. τῶν] om. K. 11. τελευταῖον L.O.P.Q. οἱ κορ. c.d.g.h.i. 13. ὑμῶν G.

3. κατὰ τὰς σπονδάς] This must mean, I think, the last treaty concluded between Athens and the Peloponnesians, i.e. the thirty years' peace, which determined the actual relations of the contracting powers. Thus when Sthenelaidas persuades the Spartans to vote "that the treaty had been violated," τὰς σπονδὰς λελύσθαι, he means the thirty years' peace, and no other, as is evident from the context. See chap. 87. It does not indeed appear in what manner this treaty had provided for the independence of Ægina, nor is it at all necessary to suppose that the Æginetans interpreted it justly; but it seems quite clear that they did appeal to it, and urged that according to its spirit or its letter they ought to be independent. What was the reply of the Athenians on this particular point, Thucydides has not informed us.

5. ξύλλογον τὸν εἰωθότα] "Their "ordinary assembly," consisting of all Spartan citizens who had attained to the age of thirty years. Whether it was called τὸν εἰωθότα to distinguish it from what Xenophon calls τὴν μικρὰν ἐκκλησίαν, Hellen. III. 3, 8. or from some other more aristocratical assembly which might be convened on extraordinary occasions, we have no means of deciding.

9. εἴργεσθαι] De hoc Periclis decreto vid. Aristoph. B. 1337. A. 531. et Tzetzen Chil. XI. 955. versum 961. ex MS. ita suppleas, τὴν Ἀσπασίας οὖσαν γὰρ Μεγαρικὴν ἑταίραν, et legendum συνευνέτιν. WASS.

They complain of the systematic ambition of the Athenians,

" πλέονι πρὸς τὰ ἔξω πράγματα χρῆσθε.
" πολλάκις γὰρ προαγορευόντων ἡμῶν ἃ ἐμέλ- 2
" λομεν ὑπὸ Ἀθηναίων βλάπτεσθαι, οὐ περὶ ὧν ἐδιδάσκομεν
" ἑκάστοτε τὴν μάθησιν ἐποιεῖσθε, ἀλλὰ τῶν λεγόντων
5 " μᾶλλον ὑπενοεῖτε ὡς ἕνεκεν τῶν αὐτοῖς ἰδίᾳ διαφόρων
" λέγουσι· καὶ δι' αὐτὸ οὐ πρὶν πάσχειν, ἀλλ' ἐπειδὴ ἐν τῷ
" ἔργῳ ἐσμὲν, τοὺς ξυμμάχους τούσδε παρεκαλέσατε, ἐν οἷς
" προσήκει ἡμᾶς οὐχ ἥκιστα εἰπεῖν, ὅσῳ καὶ μέγιστα ἐγκλή-
" ματα ἔχομεν ὑπὸ μὲν Ἀθηναίων ὑβριζόμενοι, ὑπὸ δὲ ὑμῶν
10 " ἀμελούμενοι. καὶ εἰ μὲν ἀφανεῖς που ὄντες ἠδίκουν τὴν 3
" Ἑλλάδα, διδασκαλίας ἂν ὡς οὐκ εἰδόσι προσέδει· νῦν δὲ
" τί δεῖ μακρηγορεῖν, ὧν τοὺς μὲν δεδουλωμένους ὁρᾶτε, τοῖς
" δ' ἐπιβουλεύοντας αὐτοὺς, καὶ οὐχ ἥκιστα τοῖς ἡμετέροις
" ξυμμάχοις, καὶ ἐκ πολλοῦ προπαρεσκευασμένους, εἴ ποτε
15 " πολεμήσονται; οὐ γὰρ ἂν Κέρκυράν τε ὑπολαβόντες βίᾳ 4

1. πλέονι A.B.C.F.H.K.N.O.P.Q.V.c.d.e.f.g.h.i. Poppo. Goeller. Bekk. vulgo πλείονι. 2. μέλλομεν e. 3. ἀπὸ K. om. cum ipso ἀθηναίων g. 5. ὑπονοεῖτε b. ἕνεκεν A.B.C.F.H.V.f.g. 7. παρεκελεύσατε P. 8. προσήκει] προσ E. ἡμᾶς] om. L. post καὶ deletas duas F. 9. ἀθηναίων μὲν A. 11. ὡς] om. K.P. 12. τοὺς δ' O.c.h. 13. αὐτοῖς F. ὑμετέροις f. 14. προπαρασκευασμένους F.V. post ποτε omisi ἄρα cum A.B.C.E.F.G.N.V.c.e.f.g.h. om. Bekk. Goeller. uncis inclusit Poppo. 15. τε] om. K.d.

4. τῶν λεγόντων ὑπενοεῖτε] Poppo makes the genitive λεγόντων to depend upon the latter part of the sentence; the words ὡς λέγουσι signifying exactly the same as if it were written τὸ λέγειν. "You suspected the speakers' speak-"ing from private interest." And he quotes a passage in Xenophon, Cyropæd. V. 2, 18. ἐπενόησε δὲ αὐτῶν ὡς ἐπηρώτων ἀλλήλους, where ὡς ἐπηρώτων is exactly the same as τὸ ἐπερωτῆσαι. "He noticed their asking one another." It should be remembered that the Greek language uses the genitive case to express that connection of the subject spoken of with the verb which in English is more commonly expressed by the preposition "in." "Ye rather "suspected this thing of or belonging "to the speakers," or, as we should say, "in the speakers," namely, that "they spoke from private interest." This explanation will suit a great proportion of those instances where a genitive case in Greek follows verbs of hearing, understanding, thinking, noticing, &c. As for instance in Xenoph. Memor. III. 6, 17. (to take one of the examples given by Kühner, Gr. Gr. §. 528. Jelf, 485.) ἐνθυμοῦ τῶν εἰδότων ὅ τι λέγουσι. "Consider this thing of "or belonging to men who have know-"ledge, namely, what they say." In English, "Consider in men who have "knowledge what they say." And the position of the genitive, when as in the present passage it precedes the verb, is merely intended to put the subject in a prominent place, where the hearer or reader may at once perceive what is going to be spoken about. Compare III. 105, 2. note. and VIII. 96, 3. note.

15. οὐ γὰρ ἂν κ. τ. λ.] "They would "not *else* have detached Corcyra from "us," i. e. they would not, if they were not proceeding on a systematic design against the liberty of Greece.

ὑπολαβόντες] Thom. Mag. in ὑπάγω

" ἡμῶν εἶχον καὶ Ποτίδαιαν ἐπολιόρκουν, ὧν τὸ μὲν ἐπι-
" καιρότατον χωρίον πρὸς τὰ ἐπὶ Θρᾴκης ἀποχρῆσθαι,
" ἡ δὲ ναυτικὸν ἂν μέγιστον παρέσχε Πελοποννησίοις.
" LXIX. καὶ τῶνδε ὑμεῖς αἴτιοι, τό τε πρῶτον ἐάσαντες
" αὐτοὺς τὴν πόλιν μετὰ τὰ Μηδικὰ κρατῦναι καὶ ὕστερον 5
" τὰ μακρὰ στῆσαι τείχη, ἐς τόδε τε ἀεὶ ἀπο-
" στεροῦντες οὐ μόνον τοὺς ὑπ' ἐκείνων δεδου-
" λωμένους ἐλευθερίας, ἀλλὰ καὶ τοὺς ὑμετέ-
" ρους ἤδη ξυμμάχους· οὐ γὰρ ὁ δουλωσά-
" μενος, ἀλλ' ὁ δυνάμενος μὲν παῦσαι περι- 10
" ορῶν δὲ ἀληθέστερον αὐτὸ δρᾷ, εἴπερ καὶ τὴν ἀξίωσιν τῆς
2 " ἀρετῆς ὡς ἐλευθερῶν τὴν Ἑλλάδα φέρεται. μόλις δὲ νῦν
3 " τε ξυνήλθομεν, καὶ οὐδὲ νῦν ἐπὶ φανεροῖς. χρῆν γὰρ οὐκ
4 " εἰ ἀδικούμεθα ἔτι σκοπεῖν, ἀλλὰ καθ' ὅτι ἀμυνούμεθα. οἱ
" γὰρ δρῶντες βεβουλευμένοι πρὸς οὐ διεγνωκότας ἤδη καὶ 15

and of the supine neglect of the Lacedæmonians, who now, as on other occasions, had been too sluggish to check the evil before it was become serious.

2. ἀποχρῆσθαι A.B.C.E.F.G.H.K.L.N.O.b.c.d.e.g.h.i. Haack. Poppo. Goell. Bekk. χρῆσθαι f. ἀποχρῆσθε V. vulgo ἐπιχρῆσθαι. 3. τοῖς πελ. B.C.G.L.N. O.Q.V.e.g.h. 6. τείχη στῆσαι C.c.e.f. ἀποροῦντες e. 7. ἐκείνωι A. 8. ἡμετέρους C.G. 12. φαίνεται A.B.E.F.h. 14. ἔτι σκοπεῖν] ἐπισκοπεῖν F. ὅτι] ὅ τι Bekk.

h. l. adferens τε omittit. In Cass. est interpretatio δεξάμενοι. Eodem modo ὑπολαβόντες exponit Scholiastes vulgatus VIII. 105, 3. et I. 121, 3. ὑπολαβεῖν, δέξασθαι. Stephanus putat præpositione ὑπὸ hic indicari Athenienses Corcyram clam et per insidias partibus suis adjunxisse, non aperto Marte occupasse: nam et eamdem vim habere in hoc verbo VI. 58, 2. τοῖς ἐπικούροις φράσας τὰ ὅπλα ὑπολαβεῖν. Habet omnino significationem occultæ et clandestinæ molitionis. I. 143, 1. Εἴ τε—μισθῷ μείζονι πειρῶντο ἡμῶν ὑπολαβεῖν τοὺς ξένους τῶν ναυτῶν· id est, ut Scholiastes, ὑποκλέπτειν. DUKER.

2. ἀποχρῆσθαι] "To make use *of*," according to Göller; like ἀποζῆν, "to "live *upon*." But I do not know whether it does not rather signify, ὥστε ἀποχρῆσθαι, i. e. τοῖς ἐπὶ Θρᾴκης; "so "as to give you the *full benefit* of your "dominion in the neighbourhood of "Thrace." Ἀποχρῆσθαι is "to use "out, to use thoroughly." Comp. VI. 17, 1. VII. 42, 3.

11. εἴπερ καὶ τὴν ἀξίωσιν κ. τ. λ.] "Εἴ-"περ δοκεῖ σοι dicimus ei de quo non "certo scimus quid ei placeat, aut de "quo id nescire simulamus. Εἴγε δοκεῖ "σοι dicimus ei de quo scimus quid ei "placeat." Hermann ad Viger. not. 310. The sense then is, "If he makes "a pretension to the merit of being "the deliverer of Greece, we cannot "say whether he does make it, but *if* "he does, then, &c." Comp. VIII. 92, 10. εἴπερ καὶ ἐκείνοις δοκεῖ καθαιρεῖν, καὶ ἑαυτῷ ξυνδοκεῖν. For the sentiment, compare the words of Brasidas, IV. 86, 3. οἷς τε τοὺς Ἀθηναίους ἐγκλήμασι καταπολεμοῦμεν, αὐτοὶ ἂν φαινοίμεθα ἐχθίονα ἢ ὁ μὴ ὑποδείξας ἀρετὴν κατακτώμενοι.

12. μόλις δὲ νῦν τε ξυνήλθομεν] Poppo and Stephanus read νῦν γε. But τε refers to the following, καὶ οὐδὲ νῦν. "It has *both* been a difficult matter to "bring us together, *and* even now that "we are met we do not see what we "ought to vote about."

"οὐ μέλλοντες ἐπέρχονται. καὶ ἐπιστάμεθα οἵᾳ ὁδῷ οἱ 5
"Ἀθηναῖοι καὶ ὅτι κατ' ὀλίγον χωροῦσιν ἐπὶ τοὺς πέλας.
"καὶ λανθάνειν μὲν οἰόμενοι διὰ τὸ ἀναίσθητον ὑμῶν ἧσσον 6
"θαρσοῦσι, γνόντες δὲ εἰδότας περιορᾷν ἰσχυρῶς ἐγκεί-
5 "σονται. ἡσυχάζετε γὰρ μόνοι Ἑλλήνων, ὦ Λακεδαιμόνιοι, 7
"οὐ τῇ δυνάμει τινὰ ἀλλὰ τῇ μελλήσει ἀμυνόμενοι, καὶ
"μόνοι οὐκ ἀρχομένην τὴν αὔξησιν τῶν ἐχθρῶν διπλασιου-
"μένην δὲ καταλύοντες. καίτοι ἐλέγεσθε ἀσφαλεῖς εἶναι, ὧν 8
"ἄρα ὁ λόγος τοῦ ἔργου ἐκράτει. τόν τε γὰρ Μῆδον αὐτοὶ 9
10 "ἴσμεν ἐκ περάτων γῆς πρότερον ἐπὶ τὴν Πελοπόννησον
"ἐλθόντα ἢ τὰ παρ' ὑμῶν ἀξίως προαπαντῆσαι, καὶ νῦν
"τοὺς Ἀθηναίους οὐχ ἑκὰς ὥσπερ ἐκεῖνον ἀλλ' ἐγγὺς ὄντας
"περιορᾶτε, καὶ ἀντὶ τοῦ ἐπελθεῖν αὐτοὶ ἀμύνεσθαι βούλεσθε
"μᾶλλον ἐπιόντας, καὶ ἐς τύχας πρὸς πολλῷ δυνατωτέρους
15 "ἀγωνιζόμενοι καταστῆναι· ἐπιστάμενοι καὶ τὸν βάρβαρον
"αὐτὸν περὶ αὐτῷ τὰ πλείω σφαλέντα, καὶ πρὸς αὐτοὺς
"τοὺς Ἀθηναίους πολλὰ ἡμᾶς ἤδη τοῖς ἁμαρτήμασιν αὐτῶν
"μᾶλλον ἢ τῇ ἀφ' ὑμῶν τιμωρίᾳ περιγεγενημένους, ἐπεὶ αἵ

1. μελλοντας e.g. οἱ] om. F. 3. ἡμῶν G. 4. θαρσοῦσι E. Bekk. in Ed. min. A.B.C.F.G. et vulgo θαρροῦσι. Vid. Kühner, Gr. Gr. §. 38. Jelf, 22. 2. b. 5. ἡσυχ. μὲν γὰρ F.H.N.V. Haack. Poppo. 6. μελήσει F. 7. μόνον G. ἀρχομένην] litteras ἀρχ corr. F. quasi fuerit εἰργομένην. Bekk. αὔξησιν] δύναμιν C.G.I.K.L.O.P.Q.c.d.e.i. 8. δὲ καταλύοντες] καταλύετε I. λέγεσθε C.c.d. ὧν] ἂν E. et γρ. A. 10. ἴσμεν etiam post γῆς G. πρότερον post ἐλθόντα V. 11. ἢ τὰ] εἶτα A.I. προσαπαντῆσαι c. καὶ τοὺς νῦν L.P.Q. 15. καταστῆσαι h. 16. αὐτῷ] αὐτὸν K.

6. τῇ μελλήσει] "By threatening "demonstrations." Μέλλησις implies the holding the stick constantly lifted up, but never striking.

14. ἐς τύχας, πρὸς πολλῷ δυνατ. κ.τ.λ.] "To expose yourselves to hazard by "waiting till your enemy's power is "far greater than it ever was before." He alludes to what had been said just above, οὐκ ἀρχομένην τὴν αὔξησιν τῶν ἐχθρῶν, διπλασιουμένην δὲ καταλύοντες.

16. αὐτὸν περὶ αὐτῷ σφαλέντα] "Being "wrecked upon himself," i. e. being himself as it were the rock on which his fortune split. "Perishing by his "own folly." So VI. 33, 5. ἤν τε— σφαλῶσι,—κἂν περὶ σφίσιν αὐτοῖς τὰ πλείω πταίωσιν. And Herodotus, IX. 101, 4. μὴ περὶ Μαρδονίῳ πταίσῃ ἡ Ἑλλάς. "Lest Greece should stumble "as it were over Mardonius," i. e. "Lest he should be an impediment "which she could not remove or sur-"mount, but which would overset and "ruin her." Compare also Dionysius Halic. Rom. Antiquit. VII. 4. ὁ μὲν πεζὸς αὐτῶν στρατὸς περὶ ἑαυτῷ σφαλεὶς —ἔφυγεν.

" γε ὑμέτεραι ἐλπίδες ἤδη τινάς που καὶ ἀπαρασκεύους διὰ
10 " τὸ πιστεῦσαι ἔφθειραν. καὶ μηδεὶς ὑμῶν ἐπ' ἔχθρᾳ τὸ
" πλέον ἢ αἰτίᾳ νομίσῃ τάδε λέγεσθαι· αἰτία μὲν γὰρ φίλων
" ἀνδρῶν ἐστὶν ἁμαρτανόντων, κατηγορία δὲ ἐχθρῶν ἀδικη-
" σάντων. LXX. καὶ ἅμα, εἴπερ τινὲς καὶ ἄλλοι, ἄξιοι 5
" νομίζομεν εἶναι τοῖς πέλας ψόγον ἐπενεγκεῖν,
" ἄλλως τε καὶ μεγάλων τῶν διαφερόντων
" καθεστώτων, περὶ ὧν οὐκ αἰσθάνεσθαι ἡμῖν
" γε δοκεῖτε, οὐδ' ἐκλογίσασθαι πώποτε πρὸς
" οἵους ὑμῖν Ἀθηναίους ὄντας καὶ ὅσον ὑμῶν 10
2 " καὶ ὡς πᾶν διαφέροντας ὁ ἀγὼν ἔσται. οἱ
" μέν γε νεωτεροποιοὶ καὶ ἐπινοῆσαι ὀξεῖς καὶ
" ἐπιτελέσαι ἔργῳ ὃ ἂν γνῶσιν· ὑμεῖς δὲ τὰ ὑπάρχοντά τε
" σώζειν καὶ ἐπιγνῶναι μηδὲν καὶ ἔργῳ οὐδὲ τἀναγκαῖα
3 " ἐξικέσθαι. αὖθις δὲ οἱ μὲν καὶ παρὰ δύναμιν τολμηταὶ καὶ 15
" παρὰ γνώμην κινδυνευταὶ καὶ ἐπὶ τοῖς δεινοῖς εὐέλπιδες·
" τὸ δὲ ὑμέτερον τῆς τε δυνάμεως ἐνδεᾶ πρᾶξαι, τῆς τε
" γνώμης μηδὲ τοῖς βεβαίοις πιστεῦσαι, τῶν τε δεινῶν μηδέ-
4 " ποτε οἴεσθαι ἀπολυθήσεσθαι. καὶ μὴν καὶ ἄοκνοι πρὸς
" ὑμᾶς μελλητὰς καὶ ἀποδημηταὶ πρὸς ἐνδημοτάτους· οἴονται 20
" γὰρ οἱ μὲν τῇ ἀπουσίᾳ ἄν τι κτᾶσθαι, ὑμεῖς δὲ τῷ ἐπελθεῖν
5 " καὶ τὰ ἑτοῖμα ἂν βλάψαι. κρατοῦντές τε τῶν ἐχθρῶν ἐπὶ

But this supineness was especially ill-timed when it was opposed to the restless activity of Athens; and to illustrate this point, the contrast between the two national characters is exhibited in detail.

1. γε] τε A.E.F.H.V.c.f.g. ὑπέρτεραι pr. E. 2. τὸ πλεῖον g. 3. γενέσθαι pr. K. 5. ἄξιοι νομίζομεν A.B.E.F.H.V.c.g.h. Haack. Poppo. Goell. Bekk. C.G. et vulgo νομίζομεν ἄξιοι. 8. καθεστώτων] om. C.e. 9. γε] om. d.e.g. ἐκλογήσασθαι V. 13. ἔργων c. et omisso ἂν d. τε] om. L.P.Q.c. 16. ἐπὶ A.B.F.H.K.N.V.d.g.h.i. Haack. Poppo. Goell. Bekk. C.E. et vulgo ἐν. 19. οἴεσθε E. 20. post ὑμᾶς deletas tres quattuorve G. Bekk. καὶ ante ἄοκνοι om. L.O. P.d. 21. ἀπελθεῖν d. cum Tusano. 22. ἑτοιμ corr. F. τε] δὲ K. om. g.

2. μηδεὶς ὑμῶν ἐπ' ἔχθρᾳ τὸ πλέον κ.τ.λ.] Compare Isocrates Panegyric. p. 67. (§. 149. ed. Bekker.) χρὴ δὲ κατηγορεῖν μὲν ἡγεῖσθαι τοὺς ἐπὶ βλάβῃ τοιαῦτα λέγοντας, νουθετεῖν δὲ τοὺς ἐπ' ὠφελείᾳ λοιδοροῦντας.

17. τοῖς βεβαίοις τῆς γνώμης] "Those "counsels and plans on which men "may surely calculate." Such as can hardly by possibility have a disastrous issue. Comp. IV. 55, 3. where he again says of the Lacedæmonians, τὴν γνώμην ἀνεχέγγυον γεγενῆσθαι, they could not rely upon their own judgment.

22. κρατοῦντές τε τῶν ἐχθρῶν κ.τ.λ.] An epigram, descriptive of the unbroken

"πλεῖστον ἐξέρχονται, καὶ νικώμενοι ἐπ' ἐλάχιστον ἀνα-
"πίπτουσιν. ἔτι δὲ τοῖς μὲν σώμασιν ἀλλοτριωτάτοις ὑπὲρ 6
"τῆς πόλεως χρῶνται, τῇ γνώμῃ δὲ οἰκειοτάτῃ ἐς τὸ πράσ-
"σειν τι ὑπὲρ αὐτῆς. καὶ ἃ μὲν ἂν ἐπινοήσαντες μὴ ἐξέλ- 7
5 "θωσιν, οἰκεῖα στέρεσθαι ἡγοῦνται, ἃ δ' ἂν ἐπελθόντες
"κτήσωνται, ὀλίγα πρὸς τὰ μέλλοντα τυχεῖν πράξαντες.
"ἢν δ' ἄρα καί του πείρᾳ σφαλῶσιν, ἀντελπίσαντες ἄλλα 8
"ἐπλήρωσαν τὴν χρείαν· μόνοι γὰρ ἔχουσί τε ὁμοίως καὶ
"ἐλπίζουσιν ἃ ἂν ἐπινοήσωσι, διὰ τὸ ταχεῖαν τὴν ἐπιχεί-
10 "ρησιν ποιεῖσθαι ὧν ἂν γνῶσι. καὶ ταῦτα μετὰ πόνων 9
"πάντα καὶ κινδύνων δι' ὅλου τοῦ αἰῶνος μοχθοῦσι, καὶ

1. ἐπεξέρχονται L.O.P. 3. γνώμῃ δὲ A.B.E.F.H.V.c.f.g.h. Poppo. Haack. Goeller. Bekk. vulgo δὲ γνώμῃ. οἰκειοτάτῃ—ἀδυνάτων c. 73, 4.] om. e. 4. ἐξέλθωσιν A.B.F.g.h. vulgo ἐπεξέλθωσιν. Cf. III. 108, 2. ἐξέλθωσιν Poppo. Goell. Bekk. 5. οἰκεῖα A.B.E.F.K.V.d.g.h.i. Poppo. Goeller. Bekk. vulgo οἰκείων. 7. καίτου A.B.g.h. του καὶ C.G.H.K.L.O.b.c.f.i. τοῦ καὶ E.F.V. vulgo που καὶ. του καὶ Poppo. Haack. καί του Goeller. Bekk. ἄλλα] ἅμα O. 8. ὁμοίως καὶ A.B.C.F.H.K.L.M.N.O.V.b.c.d.f.g.h.i. Haack. Poppo. Goeller. Bekk. vulgo καὶ ὁμοίως. 9. ποιεῖσθαι τὴν ἐπιχείρησιν c. 10. πόνου K.

self-confidence which the French, like the Athenians, have ever retained amidst the greatest disasters, is almost a paraphrase of the language of the Corinthians. It was written after the defeats and disgraces of the seven years' war, and may be found in the Appendix to one of the volumes of General Mathieu Dumas' "Campagnes."

Le coq Français est le coq de la gloire,
Par les revers il n'est point abattu;
Il chante fort, quand il gagne la victoire,
Plus fort encore, quand il est bien battu.
Chanter toujours est sa grande vertu.
* * * *

—celui qui ne perd jamais courage
Est le maître de l'avenir.

1. ἀναπίπτουσιν] "Thrown back, dispirited." It expresses properly the movement of a rower, who throws himself backwards to give force to his stroke; Xenoph. Œconom. 8, 8. or of a man falling backwards from a chariot, as Sophocles, Electra 729. It is a strange mistake of Athenæus, (Deipnosophist. I. 42. ed. Schweigh.) to suppose that the first meaning of this word expresses mental discouragement. In all languages the terms expressive of the movements and feelings of the mind are necessarily metaphors, borrowed from the movements and feelings of the body.

2. τοῖς μὲν σώμασιν, κ. τ. λ.] "They "spend their lives for their country, as "though they were no way concerned "in them: their counsels they cherish "as the nearest and dearest thing in "the world, that they may employ "them in her service." Compare Lysias, Funeral Orat. p. 87. ed. Reiske. ἐνόμιζον, τὰς μὲν ψυχὰς ἀλλοτρίας διὰ τὸν θάνατον κεκτῆσθαι, τὴν δ' ἐκ τῶν κινδύνων μνήμην ἰδίαν καταλείψειν: and Isocrates, Panegyric. p. 58. ὀλίγοι πρὸς πολλὰς μυριάδας, ὥσπερ ἐν ἀλλοτρίαις ψυχαῖς, μέλλοντες κινδυνεύειν.

6. τυχεῖν πράξαντες] "They had been "fortunate, or succeeded, in effecting "their objects."

11. αἰῶνος] Ex Homero Od. σ'. 202. ἵνα μηκέτ' ὀδυρομένη κατὰ θυμὸν ΑΙΩΝΑ φθινύθω. Wass.

" ἀπολαύουσιν ἐλάχιστα τῶν ὑπαρχόντων διὰ τὸ ἀεὶ κτᾶσθαι
" καὶ μήτε ἑορτὴν ἄλλο τι ἡγεῖσθαι ἢ τὸ τὰ δέοντα πρᾶξαι,
" ξυμφοράν τε οὐχ ἧσσον ἡσυχίαν ἀπράγμονα ἢ ἀσχολίαν
10 " ἐπίπονον. ὥστε εἴ τις αὐτοὺς ξυνελὼν φαίη πεφυκέναι ἐπὶ
" τῷ μήτε αὐτοὺς ἔχειν ἡσυχίαν μήτε τοὺς ἄλλους ἀνθρώπους 5
" ἐᾶν, ὀρθῶς ἂν εἴποι. LXXI. ταύτης μέντοι τοιαύτης
" ἀντικαθεστηκυίας πόλεως, ὦ Λακεδαιμόνιοι,
" διαμέλλετε, καὶ οἴεσθε τὴν ἡσυχίαν οὐ τού-
" τοις τῶν ἀνθρώπων ἐπὶ πλεῖστον ἀρκεῖν, οἳ
" ἂν τῇ μὲν παρασκευῇ δίκαια πράσσωσι, τῇ 10
" δὲ γνώμῃ, ἢν ἀδικῶνται, δῆλοι ὦσι μὴ ἐπι-
" τρέψοντες, ἀλλ' ἐπὶ τῷ μὴ λυπεῖν τε ἄλλους
" καὶ αὐτοὶ ἀμυνόμενοι μὴ βλάπτεσθαι τὸ ἴσον
2 " νέμετε. μόλις δ' ἂν πόλει ὁμοίᾳ παροικοῦντες ἐτυγχάνετε
" τούτου· νῦν δ', ὅπερ καὶ ἄρτι ἐδηλώσαμεν, ἀρχαιότροπα 15
3 " ὑμῶν τὰ ἐπιτηδεύματα πρὸς αὐτούς ἐστιν. ἀνάγκη δ'
" ὥσπερ τέχνης ἀεὶ τὰ ἐπιγιγνόμενα κρατεῖν· καὶ ἡσυχα-

The Corinthians conclude by solemnly urging the Lacedæmonians to exert themselves; and intimate that otherwise they may be driven to look out for other allies, and to abandon their connection with Sparta.

2. ἑορτὴν ἢ ἄλλο K.i. 7. καθεστηκυίας d. 8. οὐ] μὴ L. om. d. 12. Post τε omisi τοὺς cum A.B.E.F.H.N.V.f.g.h. om. Bekk. Goell. Uncis inclusit Poppo.

8. *καὶ οἴεσθε—νέμετε*] "You think "not that they enjoy the longest peace, "who, while they avoid all injury to "others, are yet known to be resolved "to bear no injury to themselves. But "your justice consists in neither harm-"ing others nor allowing yourselves to "be harmed by defending yourselves." That is to say, they did not understand that to be ready for war is often the surest means of preserving peace; whilst to submit to injury from a dread of the evils of resistance, is the way to bring on war at last, after fruitless and costly sacrifices have been made to avert it. Compare ch. 124, 1. towards the end. VI. 16, 4. *τὰ ἴσα νέμων*. See also Isocrates on the Peace, p. 186. It is not certain however what is the precise meaning of the expression *τὸ ἴσον νέμετε ἐπὶ τῷ μὴ λυπεῖν ἄλλους*. *νέμειν τὸ ἴσον* in itself I suppose is "to deal "justly," "to deal to every man that "which is fair and equal." Is the meaning then as follows, "Other men "deal justly with their neighbours, but "still they purpose to defend them-"selves if others do not deal justly "with them: you on the other hand "deal justly, not with any such pur-"pose as this, but rather on the prin-"ciple or with the purpose of neither "doing harm, nor yet of suffering "harm yourselves by attempting to "defend yourselves." Thus far I think Mr. Donaldson is right in his interpretation of this passage, when he says that *ἐπὶ* implies a principle or "condi-"tion of action." He is wrong I think also in translating *τὸ ἴσον νέμετε*, "you "lead a life of easy indifference." See "New Cratylus," p. 548.

"ζούσῃ μὲν πόλει τὰ ἀκίνητα νόμιμα ἄριστα, πρὸς πολλὰ
"δὲ ἀναγκαζομένοις ἰέναι πολλῆς καὶ τῆς ἐπιτεχνήσεως δεῖ.
"διόπερ καὶ τὰ τῶν Ἀθηναίων ἀπὸ τῆς πολυπειρίας ἐπὶ 4
"πλέον ὑμῶν κεκαίνωται. μέχρι μὲν οὖν τοῦδε ὡρίσθω 5
5 "ὑμῶν ἡ βραδυτής· νῦν δὲ τοῖς τε ἄλλοις καὶ Ποτιδαιάταις,
"ὥσπερ ὑπεδέξασθε, βοηθήσατε κατὰ τάχος ἐσβαλόντες ἐς
"τὴν Ἀττικὴν, ἵνα μὴ ἄνδρας τε φίλους καὶ ξυγγενεῖς τοῖς
"ἐχθίστοις προῆσθε καὶ ἡμᾶς τοὺς ἄλλους ἀθυμίᾳ πρὸς
"ἑτέραν τινὰ ξυμμαχίαν τρέψητε. δρῷμεν δ' ἂν ἄδικον οὐδὲν 6
10 "οὔτε πρὸς θεῶν τῶν ὁρκίων οὔτε πρὸς ἀνθρώπων τῶν
"αἰσθανομένων· λύουσι γὰρ σπονδὰς οὐχ οἱ δι' ἐρημίαν
"ἄλλοις προσιόντες, ἀλλ' οἱ μὴ βοηθοῦντες οἷς ἂν ξυνο-
"μόσωσι. βουλομένων δὲ ὑμῶν προθύμων εἶναι μενοῦμεν· 7
"οὔτε γὰρ ὅσια ἂν ποιοῖμεν μεταβαλλόμενοι, οὔτε ξυνη-
15 "θεστέρους ἂν ἄλλους εὕροιμεν. πρὸς τάδε βουλεύεσθε εὖ,
"καὶ τὴν Πελοπόννησον πειρᾶσθε μὴ ἐλάσσω ἐξηγεῖσθαι ἢ
"οἱ πατέρες ὑμῖν παρέδοσαν."

LXXII. Τοιαῦτα μὲν οἱ Κορίνθιοι εἶπον. τῶν δὲ Ἀθη- 2

2. ἀναγκαζομένη O. ἀναγκαζομένης c. τῆς] om. A.B.E.F.H.V.c.g.h.i. 3. ὑπὸ K. 4. κεκαίνωνται g. κεκένωται C. ἐπικεκαίνωται i. οὖν] om. L.i. 5. καὶ τοῖς ποτιδ. F.H.N.V. 6. ἐσβάλλοντες O. et pr. G. 9. τρέψετε E. μηδὲν i. 14. ὅσια corr. F. 16. ἢι F. 17. παρέδωκαν V.

4. μέχρι μὲν οὖν τοῦδε ὡρίσθω] i. e. μέχρι τοῦδε προελθοῦσα ἐνθαῦτα ὡρίσθω. See note on ch. 51, 3.

10. πρὸς ἀνθρώπων τῶν αἰσθανομένων] i. e. τῶν αἴσθησιν ἐχόντων, as Reiske and others have observed. Compare V. 26. αἰσθανόμενος τῇ ἡλικίᾳ. "Who are "capable of feeling and observing."

14. ὅσια] This word, like *sacer*, in Latin, has two apparently opposite significations: τὸ ὅσιον καὶ τὸ δίκαιον, "What is pious towards heaven and "what is just towards men:" and again, ὅσια καὶ ἱερα, "Things profane and "things sacred." The first is the original sense of the word; and its second signification arises from this, that those things which may piously be touched or used are those which are not sacred; i. e. which are profane. Thus in Sophocles, Œdip. Colon. 188. ἄγε νυν σύ με παῖ, ἵν' ἂν εὐσεβίας Ἐπιβαίνοντες, τὸ μὲν εἴπωμεν, κ. τ. λ. i. e. ἄγε σύ με ἐς ὅσιον, ἔνθα ὅσιόν ἐστιν ἐπιβαίνειν, or ἐς βεβηλόν. In the same way ἐπιτήδειος, which is generally used in a good sense, occurs in Xenophon, Anabas. II. 3, 11. in the very opposite one, in the expression ἔπαιεν ἂν τὸν ἐπιτήδειον, i. e. whoever was *fit to be beaten*, that is, who was unfit for any good purpose.

18. τῶν δὲ Ἀθηναίων κ. τ. λ.] Passages where the construction is similarly involved are to be found in Thucyd. I. 115, 5. τῶν δὲ Σαμίων (ἦσαν γάρ τινες οἳ οὐχ ὑπέμενον)—ξυνθέμενοι—διέβησαν.

ναίων ἔτυχε γὰρ πρεσβεία πρότερον ἐν τῇ Λακεδαίμονι περὶ ἄλλων παροῦσα, καὶ ὡς ᾔσθοντο τῶν λόγων, ἔδοξεν αὐτοῖς παριτητέα ἐς τοὺς Λακεδαιμονίους εἶναι, τῶν μὲν ἐγκλημάτων πέρι μηδὲν ἀπολογησομένους ὧν αἱ πόλεις ἐνεκάλουν, δηλῶσαι 5 δὲ περὶ τοῦ παντὸς ὡς οὐ ταχέως αὐτοῖς βουλευτέον εἴη, ἀλλ' ἐν πλείονι σκεπτέον. 3 καὶ ἅμα τὴν σφετέραν πόλιν ἐβούλοντο σημῆναι ὅση εἴη δύναμιν, καὶ ὑπόμνησιν ποιήσασθαι τοῖς τε πρεσβυτέροις ὧν ᾔδεσαν καὶ τοῖς νεωτέροις ἐξήγησιν ὧν 10 ἄπειροι ἦσαν, νομίζοντες μᾶλλον ἂν αὐτοὺς ἐκ τῶν λόγων πρὸς τὸ ἡσυχάζειν τραπέσθαι ἢ πρὸς τὸ πολεμεῖν. 4 προσελθόντες οὖν τοῖς Λακεδαιμονίοις ἔφασαν βούλεσθαι καὶ αὐτοὶ

An Athenian embassy happening to be at Sparta, the members of it come forward to remove the unfavourable impression which may have been created in the minds of the Lacedæmonians, and to state the merits, and justify the conduct, of their country.

3. αὐτοὺς d. παριτέα h. 6. ταχέον V. 7. πλείονι A.B.C.E.F.H.V.c.f.g.h. Poppo. Goell. Bekk. vulgo πλέονι. 9. δύναμιν εἴη K. ποιήσεσθαι A.B.E.F. G.H.c.f.g. 11. ἂν recepi ex A.B.E.F.G.H.N.V.g. habent Bekk. Haack. Poppo. Goell. 12. τρέπεσθαι I.L.O.P.

VII. 48, 2. καὶ ἦν γάρ τι—βουλόμενον τοῖς Ἀθηναίοις τὰ πράγματα ἐνδοῦναι, ἐπεκηρυκεύετο ἐς αὐτόν. VIII. 30, 1. τοῖς ἐν τῇ Σάμῳ Ἀθηναίοις, προσαφιγμέναι γὰρ ἦσαν—ἄλλαι νῆες—καὶ τὰς ἀπὸ Χίου—ξυναγαγόντες, ἐβούλοντο. Herodot. IV. 149, 1. ὁ δὲ παῖς οὐ γὰρ ἔφη οἱ συμπλεύσεσθαι, τοιγαρῶν ἔφη αὐτὸν καταλείψειν ὄϊν ἐν λύκοισι. And in the same chapter, τοῖσι δὲ ἐν τῇ φυλῇ ταύτῃ ἀνδράσι οὐ γὰρ ὑπέμειναν τὰ τέκνα, ἱδρύσαντο—ἱρόν. IV. 200, 1. τῶν δὲ πᾶν γὰρ ἦν τὸ πλῆθος μεταίτιον, οὐκ ἐδέκοντο τοὺς λόγους. IX. 109, 2. τῇ δὲ κακῶς γὰρ ἔδεε πανοικίῃ γενέσθαι,—εἶπε τῷ Ξέρξῃ. The explanation of all these passages is, that the Greeks always put the subject of a proposition as near the beginning of the sentence as possible, when there is a transition from one subject to another. The new subject being thus placed first, the reason of the predicate immediately follows, before the predicate itself; and the subject is made to depend grammatically on this reason, rather than on the predicate. In English it would be put in the nominative case, and the γὰρ would be expressed by *as*, or by the participle agreeing with the nominative; but in Greek it is put in whatever case the sentence containing the explanation or reason of the predicate may require. In the present passage, however, there is a confusion owing to the introduction of the conjunction καὶ in the words καὶ ὡς ᾔσθοντο τῶν λόγων. The more simple grammar would be, τῶν δὲ Ἀθηναίων τοῖς πρέσβεσι παρατυχοῦσι τότε παρὰ τοῖς Λακεδαιμονίοις καὶ τῶν λόγων αἰσθομένοις, ἔδοξε παριτητέα εἶναι. In English it would run thus, "But the Athenians "happening at that time to have an "embassy at Lacedæmon, and hearing "what was said, resolved to address "themselves to the Lacedæmonian "government," &c.

3. παριτητέα—ἀπολογησομένους] The accusative follows the verbal adjective, because παριτητέα is equivalent in sense to παριέναι δεῖν. Compare VIII. 65, 3. and Matthiæ, Gr. Gr. §. 447. 4. Jelf, 613. 5. obs. 5.

ἐς τὸ πλῆθος αὐτῶν εἰπεῖν, εἴ τι μὴ ἀποκωλύοι. οἱ δ' 5 ἐκέλευόν τε ἐπιέναι, καὶ παρελθόντες οἱ Ἀθηναῖοι ἔλεγον τοιάδε.

SPEECH OF THE ATHENIANS. (73—78.) They urge the claim of Athens on the gratitude and respect of Lacedæmon, from its great services in the Persian invasion. 73, 74.

LXXIII. "Ἡ ΜΕΝ πρέσβευσις ἡμῶν οὐκ ἐς ἀντιλο-
5 " γίαν τοῖς ὑμετέροις ξυμμάχοις ἐγένετο, ἀλλὰ περὶ ὧν ἡ
" πόλις ἔπεμψεν· αἰσθόμενοι δὲ καταβοὴν οὐκ
" ὀλίγην οὖσαν ἡμῶν παρήλθομεν, οὐ τοῖς
" ἐγκλήμασι τῶν πόλεων ἀντεροῦντες (οὐ γὰρ
" παρὰ δικασταῖς ὑμῖν οὔτε ἡμῶν οὔτε τούτων
10 " οἱ λόγοι ἂν γίγνοιντο) ἀλλ' ὅπως μὴ ῥᾳδίως
" περὶ μεγάλων πραγμάτων τοῖς ξυμμάχοις
" πειθόμενοι χεῖρον βουλεύσησθε, καὶ ἅμα
" βουλόμενοι περὶ τοῦ παντὸς λόγου τοῦ ἐς ἡμᾶς καθεστῶτος
" δηλῶσαι ὡς οὔτε ἀπεικότως ἔχομεν ἃ κεκτήμεθα, ἥ τε
15 " πόλις ἡμῶν ἀξία λόγου ἐστί. καὶ τὰ μὲν πάνυ παλαιὰ τί 2
" δεῖ λέγειν, ὧν ἀκοαὶ μᾶλλον λόγων μάρτυρες ἢ ὄψις τῶν
" ἀκουσομένων; τὰ δὲ Μηδικὰ καὶ ὅσα αὐτοὶ ξύνιστε, εἰ
" καὶ δι' ὄχλου μᾶλλον ἔσται ἀεὶ προβαλλομένοις, ἀνάγκη
" λέγειν· καὶ γὰρ ὅτε ἐδρῶμεν, ἐπ' ὠφελείᾳ ἐκινδυνεύετο, ἧς
20 " τοῦ μὲν ἔργου μέρος μετέσχετε, τοῦ δὲ λόγου μὴ παντὸς,

1. εἴτι correctus A. ἀποκωλύει F.H.K.V.c.d.i. Poppo. ἀποκωλύῃ A.B.E. f.g.h. ceteri et Bekk. Goeller. ἀποκωλύοι. 2. ἐπικέλευον b. ἐπιέναι A.B.E.F. H.K.M.N.V.b.d.h.i. Haack. Poppo. Goell. Bekk. περιιέναι Q. C.G. et vulgo παριέναι. 4. πρεσβευσία Dionys. p. 794. πρεσβεία nescio quis Paris. 5. ἡμετέροις B.C.F. 6. αἰσθανόμενοι C.G. 9. οὔτε τούτων] om. pr. G. 15. ἐστὶ λόγου V. 16. ὧν αἱ ἀκοαὶ Q. μᾶλλον] om. P. ὄψις B.C.E.F.H.I.K.N.V. c.d.f.g.h.i. Poppo. Goeller. Haack. vulgo, et Bekk. ὄψεις. 17. αὐτοὶ A.B.E.F. H.K.O.g. Haack. Poppo. Goell. Bekk. C. et ceteri αὐτοῖς. 19. ὠφελίᾳ Bekk. ἐκινδυνεύετε C.I. οἷς F. 20. κατέσχετε d.i. τοῦ] μὴ O.P.

2. ἐπιέναι] Confer I. 90, 6. ἐπέρχεται ἐπὶ τὸ κοινόν. 91, 4. ἐπελθὼν τοῖς Λακεδαιμονίοις. 119, 2. τελευταῖοι ἐπελθόντες ἔλεγον. BEKK.

17. εἰ καὶ δι' ὄχλου—προβαλλομένοις] "Although it be rather irksome to us "to be for ever bringing this subject "forwards." Thus Haack, and, I think, rightly; and Bekker and Poppo and Göller in his last edition have retained the same stopping. Others place a comma after ἔσται, and interpret the passage thus: "We must continually "bring these topics forward, even if "they prove rather irksome to you." This is Bredow's translation.

19. ἧς τοῦ μὲν ἔργου κ. τ. λ.] Göller interprets thus, "Of the actual doing "ye had your share, but we must have "our share also of the glory." But

3 " εἴ τι ὠφελεῖ, στερισκώμεθα. ῥηθήσεται δὲ οὐ παραιτήσεως
" μᾶλλον ἕνεκα ἢ μαρτυρίου καὶ δηλώσεως πρὸς οἵαν ὑμῖν
4 " πόλιν μὴ εὖ βουλευομένοις ὁ ἀγὼν καταστήσεται. φαμὲν
" γὰρ Μαραθῶνί τε μόνοι προκινδυνεῦσαι τῷ βαρβάρῳ, καὶ
" ὅτε τὸ ὕστερον ἦλθεν, οὐχ ἱκανοὶ ὄντες κατὰ γῆν ἀμύ- 5
" νεσθαι, ἐσβάντες ἐς τὰς ναῦς πανδημεὶ ἐν Σαλαμῖνι
" ξυνναυμαχῆσαι, ὅπερ ἔσχε μὴ κατὰ πόλεις αὐτὸν ἐπι-
" πλέοντα τὴν Πελοπόννησον πορθεῖν, ἀδυνάτων ἂν ὄντων
5 " πρὸς ναῦς πολλὰς ἀλλήλοις ἐπιβοηθεῖν. τεκμήριον δὲ
" μέγιστον αὐτὸς ἐποίησε· νικηθεὶς γὰρ ταῖς ναυσὶν ὡς 10
" οὐκέτι αὐτῷ ὁμοίας οὔσης τῆς δυνάμεως κατὰ τάχος τῷ
" πλέονι τοῦ στρατοῦ ἀνεχώρησεν. LXXIV. τοιούτου
" μέντοι ξυμβάντος τούτου, καὶ σαφῶς δηλωθέντος ὅτι ἐν
" ταῖς ναυσὶ τῶν Ἑλλήνων τὰ πράγματα ἐγένετο, τρία τὰ
" ὠφελιμώτατα ἐς αὐτὸ παρεσχόμεθα, ἀριθμόν τε νεῶν 15
" πλεῖστον καὶ ἄνδρα στρατηγὸν ξυνετώτατον καὶ προθυ-
" μίαν ἀοκνοτάτην· ναῦς μέν γε ἐς τὰς τετρακοσίας ὀλίγῳ

1. *στερισκώμεθα* A.B.H.I.O.V.g. Haack. Poppo. Goeller. Bekk. C.E.F. et vulgo *στερισκόμεθα.* *παραινέσεως* O. 3. *μὴ*] *οὐκ* d. *βεβουλευμένοις* c. *βουλομένοις* d. 5. *τὸ*] om. N.V. *ἀμύνασθαι* g. 8. *τήν τε πελ.* B.F.g.h. *ἂν*] om. C. addidi ex A.B.E.F.H.I.K.L.N.O.V.c.d.f.g.h.i. receperunt Haack. Poppo. Goeller. Bekk. 12. *πλείονι* g.h. 13. *ξυμβάντος τούτου* A.B.E.F.H. V.c.g.h. Poppo. Goeller. Bekk. C.G. et vulgo *τούτου ξυμβάντος.* 17. *μέν τοιγε τριακοσίας* I.L.O.

although this would be true, yet I think that it would not be to the speaker's actual purpose; which is rather to represent the Athenians as having done the work themselves, and therefore as being entitled to the gratitude of Greece, than to allow any share of it to others. And therefore I would rather interpret the words, "Of the solid fruit of that "common benefit ye had your share, "but let us too have our share of the "credit of it."

4. *προκινδυνεῦσαι*] Hinc decantatum illud mutuatus est jusjurandum Demosthenes: *Οὐκ ἔστιν ὅπως ἡμάρτετε· οὐ ΜΑ τοὺς ἐν Μαραθῶνι* ΠΡΟΚΙΝΔΥΝΕΥΣΑΝΤΑΣ, &c. WASS.

προκινδυνεῦσαι τῷ βαρβάρῳ] Dativo *βαρβάρῳ* significatur, *adversus barbarum:* quia in verbo inest sensus pugnandi. GÖLL. Compare notes on IV. 56.

7. *μὴ κατὰ πόλεις, κ. τ. λ.*] See Herodot. VII. 139, 3.

10. *ὡς οὐκέτι ὁμοίας οὔσης*] "Considering his power to be no longer "what it had been before." Compare II. 80, 1. *ὁ περίπλους οὐκέτι ἔσοιτο—ὅμοιος*, "Would be no longer what it "had been before."

17. *ναῦς ἐς τὰς τετρακοσίας*] Numerum posuit rotundum navium Græcarum, ut et Demosth. de Cor. c. 70. *τριακοσίων οὐσῶν τῶν πασῶν τριήρεων, τὰς διακοσίας ἡ πόλις* (Atheniensium) *παρέσχετο.* Sic reliqui oratores; v. c. Isocr. Paneg.

" ἐλάσσους τῶν δύο μοιρῶν, Θεμιστοκλέα δὲ ἄρχοντα, ὃς
" αἰτιώτατος ἐν τῷ στενῷ ναυμαχῆσαι ἐγένετο, ὅπερ σαφέ-
" στατα ἔσωσε τὰ πράγματα, καὶ αὐτοὶ διὰ τοῦτο δὴ μάλιστα
" ἐτιμήσατε ἄνδρα ξένον τῶν ὡς ὑμᾶς ἐλθόντων. προθυμίαν 2
5 " δὲ καὶ πολὺ τολμηροτάτην ἐδείξαμεν, οἵ γε, ἐπειδὴ ἡμῖν
" κατὰ γῆν οὐδεὶς ἐβοήθει, τῶν ἄλλων ἤδη μέχρι ἡμῶν
" δουλευόντων ἠξιώσαμεν ἐκλιπόντες τὴν πόλιν καὶ τὰ

1. ἐλάττους g.h. τῶν δύο G. Ante δύο articulum ignorant B.C.E.F.H.I. N.V.c.e.f.h. et A. qui litteras ους δυ in litura habet plurium capace. omisit etiam Bekker. 2. σαφῶς F.H. 3. αὐτοὶ A.E.F. (omisso mox ὑμεῖς.) H.K.V.d.g.h.i. Poppo. Goeller. vulgo αὐτόν. atque ita Haack. et Bekker. διὰ τοῦτο δὴ μάλιστα ἐτιμήσατε A.E.F.H.V.d.e.g.h.i. Haack. Poppo. Goell. τοῦτο δὴ μάλιστα ὑμεῖς ἐτιμήσατε B. τοῦτο δὲ μάλ. ἐτ. ἄν. N. τοῦτο ὑμεῖς δὴ μάλιστα Bekker. C. et vulgo τοῦτο ὑμεῖς ἐτ. μάλ. δὴ ἄνδρα. 4. ὡς] εἰς L.

c. 31. *κεκτημένοι τριήρεις διπλασίας μέν, ἢ σύμπαντες οἱ ἄλλοι.* Lys. Epit. p. 105. Reisk. Ita secundum Diod. Sic. L. XV. 58. Athenienses ducentas naves dederunt. Accuratius si numerum navium ineamus, classis fuit 378 navium (Herod. VIII. c. 48, 3.) Athenienses secundum Herodotum (VIII. 44, 1.) miserunt 180 naves. cf. Plut. in Them. c. 14. p. 467. Egregie egerunt de hac re Valcken. ad Herod. L. VIII. p. 619. et 640. et Morus ad Isocr. Pan. p. 71. GÖTTL. It should be recollected, that this is not the statement of Thucydides, but of the Athenian orator, who is made very characteristically to indulge in gross exaggerations, exactly as we find to be the practice of those orators whose real speeches are still extant. Similar misrepresentations occur in the speech of Alcibiades, in which he urges the policy of the expedition against Syracuse; but it is absurd, after the express declaration of Thucydides in his preface, to confound the speeches with the history, and to imagine them to contain not what the speakers were likely to have said, but what the truth required them to say.

Since this note was written, Didot the French editor of Thucydides has endeavoured to remove the difficulty by interpreting *τῶν δύο μοιρῶν* "the half," instead of "two thirds;" and strange to say, Göller in his last edition has adopted this, as I think, most undoubted error. But it may be observed that in the proportion of the Athenian ships to the whole fleet Demosthenes agrees with the orator in Thucydides. *τριακοσίων οὐσῶν τῶν πασῶν τριήρεων τὰς διακοσίας ἡ πόλις παρέσχετο,* where Didot again wishes to alter *τριακοσίων* into *τετρακοσίων.* It would seem that it was a favourite boast of the Athenians, though not a true one, that two thirds of the fleet which fought at Salamis were furnished by Athens. If then they took the real number of the whole fleet (as the speaker in Thucydides has done nearly, for it was 378 and he calls it 400,) then the false proportion could only be maintained by overrating the number of the Athenian ships. If on the contrary they gave nearly the real number of the Athenian ships, as Demosthenes did, then it was necessary to diminish the amount of the whole combined fleet; and accordingly he states it to have been only 300.

2. *αἰτιώτατος ναυμαχῆσαι*] Αἴτιος cum infinit. sine articulo *τοῦ* solennis structura. Conf. I. 25. 33. 75. 133. Xenophont. Hellenic. VII. 5, 17. *αἴτιοι ἐγένοντο σωθῆναι*; et VII. 4, 19. (where Schneider has rashly inserted the article.) GÖLL.

4. *ἐτιμήσατε*] Vid. Plut. in Them. c. 17. p. 472. BEKKER. See also Herodot. VIII. 124.

“ οἰκεῖα διαφθείραντες μηδ᾽ ὣς τὸ τῶν περιλοίπων ξυμμάχων
“ κοινὸν προλιπεῖν, μηδὲ σκεδασθέντες ἀχρεῖοι αὐτοῖς γενέ-
“ σθαι, ἀλλ᾽ ἐσβάντες ἐς τὰς ναῦς κινδυνεῦσαι καὶ μὴ
3 “ ὀργισθῆναι ὅτι ἡμῖν οὐ προετιμωρήσατε. ὥστε φαμὲν οὐχ
4 “ ἧσσον αὐτοὶ ὠφελῆσαι ὑμᾶς ἢ τυχεῖν τούτου. ὑμεῖς μὲν 5
“ γὰρ ἀπό τε οἰκουμένων τῶν πόλεων καὶ ἐπὶ τῷ τὸ λοιπὸν
“ νέμεσθαι, ἐπειδὴ ἐδείσατε ὑπὲρ ὑμῶν καὶ οὐχ ἡμῶν τὸ
“ πλέον, ἐβοηθήσατε (ὅτε γοῦν ἦμεν ἔτι σῶοι, οὐ παρεγέ-
“ νεσθε)· ἡμεῖς δὲ ἀπό τε τῆς οὐκ οὔσης ἔτι ὁρμώμενοι καὶ
“ ὑπὲρ τῆς ἐν βραχείᾳ ἐλπίδι οὔσης κινδυνεύοντες ξυνεσώ- 10
5 “ σαμεν ὑμᾶς τε τὸ μέρος καὶ ἡμᾶς αὐτούς. εἰ δὲ προσεχω-
“ ρήσαμεν πρότερον τῷ Μήδῳ, δείσαντες ὥσπερ καὶ ἄλλοι
“ περὶ τῇ χώρᾳ, ἢ μὴ ἐτολμήσαμεν ὕστερον ἐσβῆναι ἐς τὰς
“ ναῦς ὡς διεφθαρμένοι, οὐδὲν ἂν ἔτι ἔδει ὑμᾶς μὴ ἔχοντας
“ ναῦς ἱκανὰς ναυμαχεῖν, ἀλλὰ καθ᾽ ἡσυχίαν ἂν αὐτῷ προε- 15
“ χώρησε τὰ πράγματα ᾗ ἐβούλετο. LXXV. ἆρ᾽ ἄξιοί

1. ὧς E. om. pr. G. P.Q.d.e.i. 2. γενέσθαι αὐτοῖς g.h. 6. τὸ] om. A.B.g.h.i. 12. πρότερον] Μήδῳ] μήπω C. 13. ἢ] καὶ K.d.i. 14. ἔδει ἔτι C.G.K.L.O. 15. προσεχώρησε B.g. 16. ᾗ] ὡς c. ᾧ d. ἄρα ἄξιοι V.

10. *ξυνεσώσαμεν—τὸ μέρος*] “We bore “ our full share in the deliverance both “ of ourselves and of you.” Compare Demosthen. de Falsa Legat. p. 367. Reiske. and Lysias advers. Philom. p. 872. *μετέχειν τὸ μέρος τῶν δεινῶν.*

16. *ἆρ᾽ ἄξιοί ἐσμεν κ. τ. λ.*] The word *ἆρα*, although accented and pronounced differently, is no other originally than the illative conjunction *ἄρα*. Bauer compares the word to the Latin “ec- “ quid ;” as in Livy. IV. 3. “ Ecquid “ sentitis in quanto contemptu vivatis ?” where “ ecquid sentitis” means, “ Do “ you not feel ?” He might have compared also the expression “ en unquam” which occurs in the same chapter, and again in X. 8. where the sense in both cases according to our way of expressing it would be “ en nunquam :” “ en “ unquam fando audistis ?” “ What, “ did you never hear tell, how the first “ patricians” &c. ? Thus *ἆρ᾽ ἄξιοί ἐσμεν* means in English, “ Do we not then “ deserve ?” or according to the original signification of the word, “ We deserve “ then, I think,” where the question is conveyed by the tone and manner as completely as if it were put in the direct interrogative form. Yet according to the more usual Greek idiom, this sense would be expressed as in English, *ἆρ᾽ οὐκ ἄξιοί ἐσμεν*; whereas *ἆρα μὴ ἄξιοί ἐσμεν* would signify, “ Do we deserve ?” It seems then that Thucydides has made the words *ἆρ᾽ ἄξιοί ἐσμεν—μὴ οὕτως ἄγαν ἐπιφθόνως διακεῖσθαι* signify the same thing as if he had written *ἆρα μὴ ἄξιοί ἐσμεν—οὕτως ἄγαν—διακεῖσθαι*, the negative *μὴ* being merely transposed from the beginning to the latter part of the sentence. For the sense of *ἆρα μὴ* as different from that of *ἆρ᾽ οὐκ*, see Kühner, Gr. Gr. §. 834. and the passages there quoted. Jelf, 873. 3.

Then with respect to the charge of ambition brought against them, their dominion was at first fairly gained, and afterwards it was a matter of self-preservation to maintain it.

" ἐσμεν, ὦ Λακεδαιμόνιοι, καὶ προθυμίας ἕνεκα
" τῆς τότε καὶ γνώμης ξυνέσεως ἀρχῆς γε ἧς
" ἔχομεν τοῖς Ἕλλησι μὴ οὕτως ἄγαν ἐπι-
" φθόνως διακεῖσθαι; καὶ γὰρ αὐτὴν τήνδε
5 " ἐλάβομεν οὐ βιασάμενοι, ἀλλ' ὑμῶν μὲν οὐκ
" ἐθελησάντων παραμεῖναι πρὸς τὰ ὑπόλοιπα
" τοῦ βαρβάρου, ἡμῖν δὲ προσελθόντων τῶν ξυμμάχων καὶ
" αὐτῶν δεηθέντων ἡγεμόνας καταστῆναι· ἐξ αὐτοῦ δὲ τοῦ
" ἔργου κατηναγκάσθημεν τὸ πρῶτον προαγαγεῖν αὐτὴν ἐς
10 " τόδε, μάλιστα μὲν ὑπὸ δέους, ἔπειτα δὲ καὶ τιμῆς, ὕστερον
" καὶ ὠφελείας. καὶ οὐκ ἀσφαλὲς ἔτι ἐδόκει εἶναι τοῖς πολ- 2
" λοῖς ἀπηχθημένους, καί τινων καὶ ἤδη ἀποστάντων κατε-
" στραμμένων, ὑμῶν τε ἡμῖν οὐκέτι ὁμοίως φίλων ἀλλ'
" ὑπόπτων καὶ διαφόρων ὄντων, ἀνέντας κινδυνεύειν· καὶ γὰρ
15 " ἂν αἱ ἀποστάσεις πρὸς ὑμᾶς ἐγίγνοντο. πᾶσι δὲ ἀνεπί- 3
" φθονον τὰ ξυμφέροντα τῶν μεγίστων πέρι κινδύνων εὖ
" τίθεσθαι. LXXVI. ὑμεῖς γοῦν, ὦ Λακεδαιμόνιοι, τὰς ἐν

They ought not therefore to be blamed, but rather praised for having abused their power so little.

" τῇ Πελοποννήσῳ πόλεις ἐπὶ τὸ ὑμῖν ὠφέ-
" λιμον καταστησάμενοι ἐξηγεῖσθε· καὶ εἰ
20 " τότε ὑπομείναντες διὰ παντὸς ἀπήχθησθε
" ἐν τῇ ἡγεμονίᾳ ὥσπερ ἡμεῖς, εὖ ἴσμεν μὴ
" ἂν ἧσσον ὑμᾶς λυπηροὺς γενομένους τοῖς ξυμμάχοις, καὶ
" ἀναγκασθέντας ἂν ἢ ἄρχειν ἐγκρατῶς ἢ αὐτοὺς κινδυνεύειν.

1. καὶ] τῆς c.d. 2. καὶ γνώμης καὶ ξ. N.V.c. γε L.O.Q. Haack. Poppo. Goeller. Bekk. vulgo ἀρχῆς τε. ἧς] om. P. 3. ὄντως Q. διακεῖσθαι ἐπιφθόνως V. 7. τῶν βαρβάρων K. 10. δὲ om. C.G.K.L.O.P.i. 11. ὠφελίας Bekk. 12. καὶ ante ἤδη om. f. ἤδη] δὴ d. 13. τε καὶ ἡμῖν O. ὑμῖν E. οὐκέτι] τε C. φίλων ὄντων ἀλλὰ K. 17. τίθεσθαι] πείθεσθαι B.F. 18. ὑμῶν C.O.P.e. 19. ἐξηγῆσθε K. 20. ἀπήχθησθε A.B.E.F.H.V.g. Haack. Poppo. Goeller. Bekk. vulgo ἀπήχθεσθε.

2. "Dele ξυνέσεως." DOBREE. Poppo seems inclined to strike out γνώμης, but as we find γνώμης ἁμάρτημα II. 65, 12. I do not see why we may not also allow γνώμης ξυνέσεως; "our intelli-"gence or good sense in counsel."

6. παραμεῖναι] Compare III. 10, 2. παραμεινάντων πρὸς τὰ ὑπόλοιπα τῶν ἔργων. See Herod. IX. 114, 2.

15. πᾶσι δὲ ἀνεπίφθονον] Compare Thucyd. VI. 83, 2.

17. ὑμεῖς γοῦν κ. τ. λ.] The same sentiment, and almost in the same words, had been given before in chap. 19, 1. and recurs again in chap. 144, 2. of this book.

2 "οὕτως οὐδ' ἡμεῖς θαυμαστὸν οὐδὲν πεποιήκαμεν οὐδ' ἀπὸ "τοῦ ἀνθρωπείου τρόπου, εἰ ἀρχήν τε διδομένην ἐδεξάμεθα, "καὶ ταύτην μὴ ἀνεῖμεν ὑπὸ τῶν μεγίστων νικηθέντες, τιμῆς "καὶ δέους καὶ ὠφελείας, οὐδ' αὖ πρῶτοι τοῦ τοιούτου "ὑπάρξαντες, ἀλλ' ἀεὶ καθεστῶτος τὸν ἥσσω ὑπὸ τοῦ 5 "δυνατωτέρου κατείργεσθαι, ἄξιοί τε ἅμα νομίζοντες εἶναι, "καὶ ὑμῖν δοκοῦντες μέχρι οὗ τὰ ξυμφέροντα λογιζόμενοι "τῷ δικαίῳ λόγῳ νῦν χρῆσθε, ὃν οὐδείς πω παρατυχὸν "ἰσχύϊ τι κτήσασθαι προθεὶς τοῦ μὴ πλέον ἔχειν ἀπετρά-3 "πετο. ἐπαινεῖσθαί τε ἄξιοι οἵτινες χρησάμενοι τῇ ἀνθρω- 10 "πείᾳ φύσει ὥστε ἑτέρων ἄρχειν, δικαιότεροι ἢ κατὰ τὴν 4 "ὑπάρχουσαν δύναμιν γεγένηνται. ἄλλους γ' ἂν οὖν οἰόμεθα "τὰ ἡμέτερα λαβόντας δεῖξαι ἂν μάλιστα εἴ τι μετριάζομεν· "ἡμῖν δὲ καὶ ἐκ τοῦ ἐπιεικοῦς ἀδοξία τὸ πλέον ἢ ἔπαινος οὐκ "εἰκότως περιέστη. LXXVII. καὶ ἐλασσούμενοι γὰρ ἐν 15 "ταῖς ξυμβολαίαις πρὸς τοὺς ξυμμάχους "δίκαις, καὶ παρ' ἡμῖν αὐτοῖς ἐν τοῖς ὁμοίοις

And their actual unpopularity is the natural accompaniment of

2. ἀνθρωπίνου K. διδομένην A.B.C.F.H.L.N.O.P.b.c.f.g.h.i. Haack. Poppo. Goeller. Bekk. δεδομένην V. vulgo διαδιδομένην. 3. ἄνιμεν A.B.F.H.V.b.c.f.g.h. ἀνίεμεν margo G. 4. ὠφελίας Bekk. τοῦ] om. N.V. 5. καθεστῶτας E. ἥσσω ἀεὶ ὑπὸ c.f. 6. ἅμα] om. d.i. post νομίζοντες ponunt L.P. 8. χρῆσθαι C. παρατυχὼν C. 12. γεγένηνται A.B.E.F.H.L.N.O.P.Q.V.g.h. Haack. Poppo. Goeller. Bekk. vulgo γένωνται. 13. μάλιστα] μᾶλλον K. om. c.f. ὅτι μάλιστα G. 14. καὶ] om. c. τὸ πλεῖον C.G.I.L.O.Q.

1. ἀπὸ τοῦ ἀνθρωπείου τρόπου] "Remote from the common practice of "mankind." And so Aristotle, Ethic. Nicom. IX. 8, 1. ἐγκαλοῦσι δὴ αὐτῷ, οἷον ὅτι οὐθὲν ἀφ' αὑτοῦ πράττει, "He does "nothing without reference to self." Compare Matthiæ, Gr. Gr. 573. Jelf, 620. *a.* 1. *a.*

8. ὃν οὐδείς πω—ἀπετράπετο] Compare V. 89.

11. δικαιότεροι ἢ κατὰ τὴν ὑπάρχουσαν δύναμιν] "Less careless of justice than "our actual power enabled us to be." Compare Matthiæ, Gr. Gr. §. 449. Jelf, 783. *i.*

15. περιέστη] "Has resulted;" "has "come round in the course of events." The word generally denotes a new and unexpected result, as in chap. 32. 120. VI. 24, 2. but sometimes simply "what "has happened or befallen," as in VII. 70, 6.

ἐλασσούμενοι] "Not standing upon "our right;" i. e. condescending to let our disputes with them be fairly tried, instead of deciding them by our sovereign power. Compare Thucyd. IV. 64, 1. ἀξιῶ —ὅσον εἰκὸς ἡσσᾶσθαι; and Demosthen. contra Dionysodor. p. 1287. ed. Reiske. ἡμεῖς μὲν ταῦτα συνεχωροῦμεν, οὐκ ἀγνοοῦντες τὸ ἐκ τῆς ξυγγραφῆς δίκαιον, ἀλλ' ἡγούμενοι δεῖν ἐλαττοῦσθαί τι καὶ συγχωρεῖν, ὥστε μὴ δοκεῖν φιλόδικοι εἶναι.

17. παρ' ἡμῖν αὐτοῖς ἐν τοῖς ὁμοίοις νόμοις] Comp. Isocrat. Panegyr. p. 62. τοῖς αὐτοῖς νόμοις ἁπάσας τὰς πόλεις διῳκοῦμεν, συμμαχικῶς ἀλλ' οὐ δεσποτικῶς βουλευόμενοι περὶ αὐτῶν.

sovereign authority, and would be experienced in an equal or greater degree by the Lacedæmonians, if they should hereafter transfer the empire now held by Athens to themselves.

" νόμοις ποιήσαντες τὰς κρίσεις, φιλοδικεῖν
" δοκοῦμεν. καὶ οὐδεὶς σκοπεῖ αὐτῶν, τοῖς καὶ 2
" ἄλλοθί που ἀρχὴν ἔχουσι καὶ ἧσσον ἡμῶν
" πρὸς τοὺς ὑπηκόους μετρίοις οὖσι διότι τοῦτο
5 " οὐκ ὀνειδίζεται· βιάζεσθαι γὰρ οἷς ἂν ἐξῇ,
" δικάζεσθαι οὐδὲν προσδέονται. οἱ δὲ εἰθι- 3
" σμένοι πρὸς ἡμᾶς ἀπὸ τοῦ ἴσου ὁμιλεῖν, ἤν τι παρὰ τὸ μὴ
" οἴεσθαι χρῆναι ἢ γνώμῃ ἢ δυνάμει τῇ διὰ τὴν ἀρχὴν καὶ
" ὁπωσοῦν ἐλασσωθῶσιν, οὐ τοῦ πλέονος μὴ στερισκόμενοι
10 " χάριν ἔχουσιν, ἀλλὰ τοῦ ἐνδεοῦς χαλεπώτερον φέρουσιν ἢ
" εἰ ἀπὸ πρώτης ἀποθέμενοι τὸν νόμον φανερῶς ἐπλεονε-
" κτοῦμεν. ἐκείνως δὲ οὐδ' ἂν αὐτοὶ ἀντέλεγον ὡς οὐ χρεὼν 4
" τὸν ἥσσω τῷ κρατοῦντι ὑποχωρεῖν. ἀδικούμενοί τε, ὡς 5
" ἔοικεν, οἱ ἄνθρωποι μᾶλλον ὀργίζονται ἢ βιαζόμενοι· τὸ
15 " μὲν γὰρ ἀπὸ τοῦ ἴσου δοκεῖ πλεονεκτεῖσθαι, τὸ δ' ἀπὸ τοῦ
" κρείσσονος καταναγκάζεσθαι. ὑπὸ γοῦν τοῦ Μήδου δεινό- 6

2. *τοῖς καὶ*] *τοῖς δὲ* c.f. *καὶ* om. E. 3. *ἀρχὴν ἔχουσι* A.B.E.H.V.c.f.g.h. Haack. Poppo. Goeller. Bekk. *τὴν ἀρχὴν ἔχουσι* F. C.G. et vulgo *ἔχουσιν ἀρχήν*. 4. *τοῦτο*] om. P. 5. *οὐκ ὀνειδίζεται*] *οὐ προφέρεται* Coraes ad II. 48. 6. *ἠθισμένοι* E. 9. *ὅπως οὖν* V. *τοῦ*] *τὸ* E. *πλέονος* A.B.C.E.F.H.V.c.f.g.h. Haack. Poppo. Goeller. Bekk. ceteri *πλείονος*. 11. *εἰ*] om. C.F.c.g. *ἀπὸ τῆς πρώτης* L. *πλεονεκτοῦμεν* F.H. 12. *οὐ*] om. g. 13. *τῶν ἥσσω* E. 14. *οἱ*] om. L.O.P. 15. *πλεονεκτῆσθαι* V. 16. *κρείσσονος* A.B.E.f.g h. Haack. Poppo. Goell. Bekk. vulgo *κρείττονος*. *ὑπὸ—ἠνείχοντο*] om. P.

8. *καὶ ὁπωσοῦν*] "Expectaverit ali-"quis," says Poppo, "*ἢ ὁπωσοῦν* ob *ἢ* "*γνώμῃ ἢ δυνάμει*. Alia res esset, si "*καὶ ὁτιοῦν* scriptum esset, quod ad *ἤν* "*τι* pertineret." Possibly *ὁπωσοῦν* has very nearly the same meaning as *ὁτιοῦν*, "If they be at all injured even in ever "so slight a way;" which is the same as saying, "even in ever so slight a "point." And so the German translator, Bredow, renders it, "So bald sie "irgend *im geringsten* abbruch erlei-"den."

9. *οὐ τοῦ πλέονος μὴ στερισκόμενοι κ. τ. λ.*] The admirers of Clarendon may be surprised to find him repeat this complaint of the Athenian orator, as if it were just and reasonable. He complains "that every man" (namely in the early years of Charles the First's reign) "was more troubled and per-"plexed at that they called the viola-"tion of one law, than delighted or "pleased with the observance of the "rest of the charter." Vol. I. p. 119. Oxford ed. 8vo. 1807.

13. *ἀδικούμενοί τε—καταναγκάζεσθαι*] Compare Aristotle, Rhetor. I. 11, 9. *οὐδεὶς γὰρ ὀργίζεται τοῖς πολὺ ὑπὲρ αὐτὸν τῇ δυνάμει*. And also Xenophon, Hellenic. III. 5, 15. *ἡ Λακεδαιμονίων πλεονεξία πολὺ εὐκαταλυτωτέρα ἐστὶ τῆς ὑμετέρας ἀρχῆς· ὑμεῖς μὲν γὰρ ἔχοντες ναυτικὸν, οὐχ ἑκόντων ἤρχετε· οὗτοι δὲ, ὀλίγοι ὄντες, πολλαπλασίων ὄντων, καὶ οὐδὲν χεῖρον ὡπλισμένων πλεονεκτοῦσι.*

“τερα τούτων πάσχοντες ἠνείχοντο, ἡ δὲ ἡμετέρα ἀρχὴ
“χαλεπὴ δοκεῖ εἶναι, εἰκότως· τὸ παρὸν γὰρ ἀεὶ βαρὺ τοῖς
7 “ὑπηκόοις. ὑμεῖς γ' ἂν οὖν εἰ καθελόντες ἡμᾶς ἄρξαιτε,
“τάχα ἂν τὴν εὔνοιαν ἣν διὰ τὸ ἡμέτερον δέος εἰλήφατε
“μεταβάλοιτε, εἴπερ οἷα καὶ τότε πρὸς τὸν Μῆδον δι' ὀλίγου 5
8 “ἡγησάμενοι ὑπεδείξατε, ὁμοῖα καὶ νῦν γνώσεσθε. ἄμικτα
“γὰρ τά τε καθ' ὑμᾶς αὐτοὺς νόμιμα τοῖς ἄλλοις ἔχετε, καὶ
“προσέτι εἷς ἕκαστος ἐξιὼν οὔτε τούτοις χρῆται οὔθ' οἷς ἡ
“ἄλλη Ἑλλὰς νομίζει. LXXVIII. βουλεύεσθε οὖν βραδέως
“ὡς οὐ περὶ βραχέων, καὶ μὴ ἀλλοτρίαις 10
“γνώμαις καὶ ἐγκλήμασι πεισθέντες οἰκεῖον
“πόνον προσθῆσθε, τοῦ δὲ πολέμου τὸν παρά-
“λογον, ὅσος ἐστὶ, πρὶν ἐν αὐτῷ γενέσθαι
“προδιάγνωτε· μηκυνόμενος γὰρ φιλεῖ ἐς
“τύχας τὰ πολλὰ περιίστασθαι, ὧν ἴσον τε 15
“ἀπέχομεν καὶ ὁποτέρως ἔσται ἐν ἀδήλῳ κινδυνεύεται.
2 “ἰόντες τε οἱ ἄνθρωποι ἐς τοὺς πολέμους τῶν ἔργων πρό-
“τερον ἔχονται, ἃ χρῆν ὕστερον δρᾷν, κακοπαθοῦντες δὲ ἤδη
3 “τῶν λόγων ἅπτονται. ἡμεῖς δὲ ἐν οὐδεμιᾷ πω τοιαύτῃ
“ἁμαρτίᾳ ὄντες οὔτ' αὐτοὶ οὔθ' ὑμᾶς ὁρῶντες λέγομεν ὑμῖν, 20
“ἕως ἔτι αὐθαίρετος ἀμφοτέροις ἡ εὐβουλία, σπονδὰς μὴ

The Lacedæmonians therefore should not be goaded on by their allies to a precipitate declaration of war, but should try to obtain satisfaction by negotiation for their alleged grievances.

2. *εἶναι δοκεῖ* B.g.h. 3. *ἂν*] om. Tusanus. *οὖν*] om. c. *ἄρξετε* C.G. I.K.L.N.O.P.Q.V.d.e.f. *ἄρξοιτε* E. 5. *μεταβάλητε* K.O.P.d. 6. *ὑπεδείξατε* A.B.C.E.F.N.V.e.g.h. Poppo. Goeller. Bekk. vulgo *ἀπεδείξατε*. 8. *εἰσιὼν* g. 12. *πόνον*] *τὸν πόνον* P.Q. *πρόθησθε* B.h. *τὸ παράλογον ὅσον* Stobæus. 14. *προγνῶτε* L.O.P.Q. *πρόγνωτε* pr. G. *προέγνωτε* I.e. *ἐς τύχας φιλεῖ* F.H.V. 16. *ὁποτέρων* g.h. 17. *ἐς τοὺς πολέμους*] *τοῖς πολέμοις* L. 18. *καὶ κακοπαθ.* c. 19. *ἁμαρτίᾳ τοιαύτῃ* V. 20. *ὑμᾶς*] *ὑμεῖς* K.e.i. 21. *ἡ εὐβουλία ἀμφοτέροις* G. *ἀμφοτέροις* om. i.

4. *τὸ ἡμέτερον δέος*] “The fear of “which we are the object.” So in chap. 69, 9. *αἱ ὑμέτεραι ἐλπίδες*, “Hopes “of receiving aid from you.” Add also III. 63, 2.

6. *ὁμοῖα γνώσεσθε*] i. e. *ὁμοίαις γνώμαις χρήσεσθε*, “If your system be such “as that of which you shewed symp-“toms before.” *Ὑπεδείξατε* for *ἀπεδείξατε* has been rightly restored by Bekker, Poppo, and Göller. The Lacedæmonians had not *fully manifested*, *ἀπέδειξαν*, their tyrannical spirit during the command of Pausanias, but had *shewn symptoms of it*, which is exactly *ὑπέδειξαν*.

14. *ἐς τύχας περιίστασθαι*] “To bring “in the end to hazard;” to end by “bringing to hazard.” See the note on *περιέστη*, chap. 76, 4.

" λύειν μηδὲ παραβαίνειν τοὺς ὅρκους, τὰ δὲ διάφορα δίκῃ
" λύεσθαι κατὰ τὴν ξυνθήκην. ἢ θεοὺς τοὺς ὁρκίους μάρ- 4
" τυρας ποιούμενοι πειρασόμεθα ἀμύνεσθαι πολέμου ἄρχοντας
" ταύτῃ ᾗ ἂν ὑφηγῆσθε."

5 LXXIX. Τοιαῦτα δὲ οἱ Ἀθηναῖοι εἶπον. ἐπειδὴ δὲ τῶν 2 τε ξυμμάχων ἤκουσαν οἱ Λακεδαιμόνιοι τὰ ἐγκλήματα τὰ ἐς τοὺς Ἀθηναίους καὶ τῶν Ἀθηναίων ἃ ἔλεξαν, μεταστησάμενοι πάντας ἐβουλεύοντο κατὰ σφᾶς αὐτοὺς περὶ τῶν παρόντων. καὶ τῶν 3 μὲν πλειόνων ἐπὶ τὸ αὐτὸ αἱ γνῶμαι ἔφερον, ἀδικεῖν τε τοὺς Ἀθηναίους ἤδη καὶ πολεμητέα εἶναι ἐν τάχει· παρελθὼν δὲ Ἀρχίδαμος ὁ βασιλεὺς αὐτῶν, ἀνὴρ καὶ ξυνετὸς δοκῶν εἶναι καὶ σώφρων, ἔλεξε τοιάδε.

After these speeches the Lacedæmonians debate the question amongst themselves; 10 and their king Archidamus speaks in favour of delaying the war. (80—85.)

15 LXXX. "ΚΑΙ αὐτὸς πολλῶν ἤδη πολέμων ἔμπειρός
" εἰμι, ὦ Λακεδαιμόνιοι, καὶ ὑμῶν τοὺς ἐν τῇ αὐτῇ ἡλικίᾳ
" ὁρῶ, ὥστε μήτε ἀπειρίᾳ ἐπιθυμῆσαί τινα τοῦ
" ἔργου, ὅπερ ἂν οἱ πολλοὶ πάθοιεν, μήτε
" ἀγαθὸν καὶ ἀσφαλὲς νομίσαντα. εὕροιτε δ' 2
20 " ἂν τόνδε περὶ οὗ νῦν βουλεύεσθε οὐκ ἂν
" ἐλάχιστον γενόμενον, εἰ σωφρόνως τις αὐτὸν

He urges the different nature as well as the magnitude of the Athenian power, and that the Peloponnesians could not effectually grapple with it.

2. τὴν] om. L.O.Q. ᾗ] εἰ δὲ μὴ A.B.E.F.H.N.V.c.f.g.h. Poppo. nobiscum Goeller. Bekk. 3. ἀμύνασθαι G. om. pr. G.K. πολέμου ἄρχοντας] om. h. 4. ὑφηγεῖσθε Q.V. 5. ταῦτα d. δὲ A.B.C.E.F.H.g.h. Poppo. Goeller. Bekk. G. et vulgo μέν. 6. τε addidi ex A.B.C.E.F.H.N.V.f.g.h. τε Poppo. Haack. Goeller. Bekk. 7. ἃ] om. pr. G. 9. περὶ τῶν παρόντων κατὰ σφᾶς αὐτοὺς f. 10. μὲν] om. Q. πλειόνων A.B.E.F.H.V.c.f.g.h. Poppo. Goell. Bekk. C.G. et ceteri πλεόνων. 12. δὲ ὁ ἀρχίδαμος L.O. 16. ἐν αὐτῇ τῇ Q. ἐν τῇ, omisso pronomine, C. 18. ἂν] om. O. οἱ] om. B.K. 20. τόνδε A.B.F.H.N.V.g.h. Haack Poppo. Goell. Bekk. τὸν πόλεμον L.P. τόνδε τὸν πόλεμον C.G.K.O.Q. vulgo τὸν πόλεμον τόνδε.

4. ὑφηγῆσθε] "Idem est ac προηγῆσθε." Göll. They both express the same idea, but not exactly the same part of it: προηγεῖσθαι expresses the precedence, ὑφηγεῖσθαι the nearness of the leader. The former shews that the leader is followed, the latter that he is followed closely.

12. Ἀρχίδαμος] Sc. Archidamus II. Leotychidæ successor, et ejus e Zeuxidamo filio nepos, nam Zeuxidamus diem ante patrem obiit. Ejus res gestas, et sub ipso concitatum bellum Pelop. (a quo primum ejus decennium Ἀρχιδάμιος πόλεμος denominatum, teste Harpocr.) breviter refert Pausan. III. 7. Vide Meursium de Regno Laced. c. 17. Huds.

16. τοὺς ἐν τῇ αὐτῇ ἡλικίᾳ ὁρῶ] i. e. ὁρῶ ἐμπείρους.

3 " ἐκλογίζοιτο. πρὸς μὲν γὰρ τοὺς Πελοποννησίους καὶ
" ἀστυγείτονας παρόμοιος ἡμῶν ἡ ἀλκὴ, καὶ διὰ ταχέων οἷόν
" τε ἐφ' ἕκαστα ἐλθεῖν· πρὸς δὲ ἄνδρας οἳ γῆν τε ἑκὰς
" ἔχουσι καὶ προσέτι θαλάσσης ἐμπειρότατοί εἰσι καὶ τοῖς
" ἄλλοις ἅπασιν ἄριστα ἐξήρτυνται, πλούτῳ τε ἰδίῳ καὶ 5
" δημοσίῳ καὶ ναυσὶ καὶ ἵπποις καὶ ὅπλοις καὶ ὄχλῳ ὅσος
" οὐκ ἐν ἄλλῳ ἐνί γε χωρίῳ Ἑλληνικῷ ἐστίν, ἔτι δὲ καὶ
" ξυμμάχους πολλοὺς φόρου ὑποτελεῖς ἔχουσι, πῶς χρὴ
" πρὸς τούτους ῥᾳδίως πόλεμον ἄρασθαι καὶ τίνι πιστεύ-
" σαντας ἀπαρασκεύους ἐπειχθῆναι; πότερον ταῖς ναυσίν; 10
" ἀλλ' ἥσσους ἐσμέν· εἰ δὲ μελετήσομεν καὶ ἀντιπαρα-
4 " σκευασόμεθα, χρόνος ἐνέσται. ἀλλὰ τοῖς χρήμασιν; ἀλλὰ
" πολλῷ ἔτι πλέον τούτου ἐλλείπομεν καὶ οὔτε ἐν κοινῷ
" ἔχομεν οὔτε ἑτοίμως ἐκ τῶν ἰδίων φέρομεν. LXXXI. τάχ'
" ἄν τις θαρσοίη ὅτι τοῖς ὅπλοις αὐτῶν καὶ τῷ 15
" πλήθει ὑπερφέρομεν, ὥστε τὴν γῆν δῃοῦν
" ἐπιφοιτῶντες. τοῖς δὲ ἄλλη γῆ ἐστὶ πολλὴ
" ἧς ἄρχουσι, καὶ ἐκ θαλάσσης ὧν δέονται
3 " ἐπάξονται. εἰ δ' αὖ τοὺς ξυμμάχους ἀφιστάναι πειρασό-
" μεθα, δεήσει καὶ τούτοις ναυσὶ βοηθεῖν τὸ πλέον οὖσι 20
4 " νησιώταις. τίς οὖν ἔσται ἡμῶν ὁ πόλεμος; εἰ μὴ γὰρ ἢ
" ναυσὶ κρατήσομεν ἢ τὰς προσόδους ἀφαιρήσομεν ἀφ' ὧν
5 " τὸ ναυτικὸν τρέφουσι, βλαψόμεθα τὰ πλέω. κἂν τούτῳ
" οὐδὲ καταλύεσθαι ἔτι καλὸν, ἄλλως τε καὶ εἰ δόξομεν

For the naval superiority of Athens will render nugatory all 2 their attempts to weaken her.

1. τοὺς] om. C.G.K.L.O.P.d.e.i. καὶ τοὺς ἀστυγείτονας B.C.E.F.G.K.V. b.c.f.g.h.i. 5. ἅπασιν] om. d. ἄριστα] om. Q.d. ἐξήρτηνται c.d.f.g.h. πλούτῳ δὲ V. 7. χωρίῳ] χρόνῳ H. χωρίῳ ἐνί γε V. 8. πολλοὺς] πολλοῦ γρ. G. om. g. φόρους I. 11. ἐσμέν] om. P. ἀντιπαρασκευαζόμεθα pr. K. ἀντιπαρασκευασθήσομεθα b.d. et correctus K. 13. πλέον ἔτι C.K.L.O.P.Q.d.e.i. 15. θαρροίη K.L.O.P.Q.i. 17. ἐπιφοιτῶντας i. γῆ ἄλλη i. ἐστὶ] ἔτι I. 23. πλέον E. 24. διαλύεσθαι L.O.P.

2. παρόμοιος ἡμῶν ἡ ἀλκὴ] "Is of the "same description;" i. e. it is military rather than naval. Compare Aristotle, Rhetor. I. 4, 4. ἀναγκαῖον εἰδέναι τὰς δυνάμεις [τῶν ὁμόρων πόλεων] πότερον ὅμοιαι ἢ ἀνόμοιαι· ἔστι γὰρ καὶ ταύτῃ πλεονεκτεῖν ἢ ἐλαττοῦσθαι.

18. καὶ ἐκ θαλάσσης ὧν δέονται ἐπάξονται] See Thucyd. VII. 28, 1.

"ἄρξαι μᾶλλον τῆς διαφορᾶς. μὴ γὰρ δὴ ἐκείνῃ γε τῇ 6
"ἐλπίδι ἐπαιρώμεθα ὡς ταχὺ παυθήσεται ὁ πόλεμος ἢν τὴν
"γῆν αὐτῶν τάμωμεν. δέδοικα δὲ μᾶλλον μὴ καὶ τοῖς 7
"παισὶν αὐτὸν ὑπολίπωμεν· οὕτως εἰκὸς Ἀθηναίους φρονή-
5 "ματι μήτε τῇ γῇ δουλεῦσαι μήτε ὥσπερ ἀπείρους κατα-
"πλαγῆναι τῷ πολέμῳ. LXXXII. οὐ μὴν οὐδὲ ἀναισθήτως
"αὐτοὺς κελεύω τούς τε ξυμμάχους ἡμῶν ἐᾶν
"βλάπτειν καὶ ἐπιβουλεύοντας μὴ καταφωρᾶν,
"ἀλλὰ ὅπλα μὲν μήπω κινεῖν, πέμπειν δὲ καὶ
10 "αἰτιᾶσθαι μήτε πόλεμον ἄγαν δηλοῦντας
"μήθ' ὡς ἐπιτρέψομεν, κἂν τούτῳ καὶ τὰ
"ἡμέτερα αὐτῶν ἐξαρτύεσθαι ξυμμάχων τε προσαγωγῇ καὶ
"Ἑλλήνων καὶ βαρβάρων, εἴ ποθέν τινα ἢ ναυτικοῦ ἢ χρη-
"μάτων δύναμιν προσληψόμεθα (ἀνεπίφθονον δὲ, ὅσοι
15 "ὥσπερ καὶ ἡμεῖς ὑπ' Ἀθηναίων ἐπιβουλευόμεθα, μὴ
"Ἕλληνας μόνον ἀλλὰ καὶ βαρβάρους προσλαβόντας δια-
"σωθῆναι·) καὶ τὰ αὐτῶν ἅμα ἐκποριζώμεθα. καὶ ἢν μὲν 2
"ἐσακούσωσί τι πρεσβευομένων ἡμῶν, ταῦτα ἄριστα· ἢν
"δὲ μὴ, διελθόντων ἐτῶν καὶ δύο καὶ τριῶν ἄμεινον ἤδη, ἢν
20 "δοκῇ, πεφραγμένοι ἴμεν ἐπ' αὐτούς. καὶ ἴσως ὁρῶντες 3
"ἡμῶν ἤδη τήν τε παρασκευὴν καὶ τοὺς λόγους αὐτῇ ὁμοῖα
"ὑποσημαίνοντας μᾶλλον ἂν εἴκοιεν, καὶ γῆν ἔτι ἄτμητον
"ἔχοντες καὶ περὶ παρόντων ἀγαθῶν καὶ οὔπω ἐφθαρμένων

Negotiation therefore should first be tried, and in the mean time they should endeavour to increase their own resources, and to procure foreign assistance.

1. τῇ ἐλπίδι om. pr. G. 2. ἐπαιρόμεθα E. παυσθήσεται C. ἢν] εἰ d.i. 4. αὐτῶν ὑπολ. B.C.g.i. ὑπολ. αὐτὸν F.H.V. ἀπολίπωμεν G.L.O.P. ἀπολεί-πωμεν K.Q.i. 5. τῇ om. L.O. 11. ἐπιτρέψωμεν B. 12. αὐτῶν] om. g. 17. ἅμα om. pr. G. ἐκποριζόμεθα A.B.E.F.V.g. ἢν] εἰ c. μὲν] om. C. 18. ἐσα-κούσωσι A.B.C.c. Haack. Poppo. Goell. Bekk. ἐσακούωσι E.F.H.V.g. ἐπακούωσι G.I.K.O.P.Q.e. vulgo ἐπακούσωσι. ἡμῶν] om. d.i. 19. ἐλθόντων L.O.P. καὶ post ἐτῶν recepi ex A.B.E.f.g. sic Bekk. Goell. om. C.F.G. Poppo. ἢν] ἂν g. 22. ἐπισημαίνοντας f.

11. *μήθ' ὡς ἐπιτρέψομεν*] Göller understands this to mean, "nor to let them "see that we do not mean to notice "their conduct." But I believe that the sense is rather, "neither to threaten "war too plainly, and yet to let them "see that we shall not allow them to "go on as they are going on." *μήθ' ὡς ἐπιτρέψομεν* seems to be equivalent in sense to *καὶ ὡς οὐκ ἐπιτρέψομεν*.

4 " βουλευόμενοι. μὴ γὰρ ἄλλο τι νομίσητε τὴν γῆν αὐτῶν ἢ
" ὅμηρον ἔχειν, καὶ οὐχ ἧσσον ὅσῳ ἄμεινον ἐξείργασται· ἧς
" φείδεσθαι χρὴ ὡς ἐπὶ πλεῖστον, καὶ μὴ ἐς ἀπόνοιαν κατα-
5 " στήσαντας αὐτοὺς ἀληπτοτέρους ἔχειν. εἰ γὰρ ἀπαράσκευοι
" τοῖς τῶν ξυμμάχων ἐγκλήμασιν ἐπειχθέντες τεμοῦμεν 5
" αὐτήν, ὁρᾶτε ὅπως μὴ αἴσχιον καὶ ἀπορώτερον τῇ Πελο-
6 " πονιήσῳ πράξομεν. ἐγκλήματα μὲν γὰρ καὶ πόλεων καὶ
" ἰδιωτῶν οἷόν τε καταλῦσαι· πόλεμον δὲ ξύμπαντας ἀρα-
" μένους ἕνεκα τῶν ἰδίων, ὃν οὐχ ὑπάρχει εἰδέναι καθ' ὅτι
" χωρήσει, οὐ ῥᾴδιον εὐπρεπῶς θέσθαι. LXXXIII. καὶ 10

2. ἧσσω B.h. ὅσον K.c.d.e.f. ἐξειργασθαι C. 3. χρὴ] δεῖ f. ἐπὶ τὸ πλεῖστον L. καταστήσαντες E. 5. ἐγκλήμασιν] om. d. 6. μὴ] om. B.h. 7. πράξομεν C. et Lex Seg. p. 162, 10. et Bekker. Vulgo πράξωμεν. καὶ] om. K.N.d.e. 8. ξύμπαντας ἡμᾶς ἀραμένους K.d.i. αἰραμένους pr. E. αἰρομένους corr. E. 9. ὅ τι Bekk.

2. ὅμηρον] Agnoscit et explicat Suidas in ὅμηρον. ἐνέχυρον, τὸ εἰς εἰρήνην διδόμενον ἐπὶ συνθήκαις. Confer Harpocr. et Hesych. v. ὁμηρεῖν. Etymol. p. 335. 20. Wass.

7. πράξομεν] Dawes' well known canon, that ὅπως μὴ cannot be joined with the subjunctive of the first aorist, except in the passive voice, is as an arbitrary rule unreasonable. But as being founded on the observation of a man of much reading and good memory, it is likely to contain some truth, although mixed, it may be, with some exaggeration. It appears that the later usage of the Greek language was in favour of the subjunctive mood, and thus the copyists have many times given a form that has no existence, such as λήσωσι, δώσωσι, &c., in order to keep their favourite mood. See Schäfer, Apparat. Critic. in Demosth. vol. I. p. 251. But many times the best MSS. all agree in giving the subjunctive aorist, and where the rule rests on no principle, but is merely founded on a supposed induction of particular cases, clear instances of a contrary construction must not be made to yield to the rule, but it rather must be qualified or abandoned in deference to their authority. The MSS. of Thucydides are however entitled to little weight in questions of this sort, and the authority of a single one in favour of the future indicative is stronger than the agreement of all the rest in support of the subjunctive, in cases where the future is most agreeable to the practice of the language and the sense of the passage. Now ὁρᾶτε ὅπως is, "Videte "qua ratione," and in this sense the indicative future is the form which generally follows, and which seems most reasonable. It may be observed that as far as authority goes, two of the greatest names amongst the scholars of Germany, Bekker and Schäfer, are generally favourable to the use of the future indicative; although Bekker has in one or two places retained the aorist subjunctive; as in III. 57, 1. ὁρᾶτε ὅπως μὴ οὐκ ἀποδέξωνται. Where there seems no possibility of arriving at certainty, I am much inclined to defer to Bekker's tact, and to follow him without question: for the alleged differences of meaning between the future and aorist are so fine, that common language cannot be expected also to distinguish between them; nor can we say with confidence, which of the two the context most requires, even if we could be sure that the author was aware of the distinction and meant to observe it.

10. οὐ ῥᾴδιον εὐπρεπῶς θέσθαι] Vide nos ad Sallustii Jug. Cap. LXXXV. Wass.

SPARTA. A. C. 432. Olymp. 87. 1.

And they should be above dreading the imputation of cowardice; or heeding the reproaches levelled at their national character; to which, whatever were its faults, they were indebted for their long enjoyment of an independence crowned with glory;

"ἀνανδρία μηδενὶ πολλοὺς μιᾷ πόλει μὴ ταχὺ "ἐπελθεῖν δοκείτω εἶναι. εἰσὶ γὰρ καὶ ἐκείνοις 2 "οὐκ ἐλάσσους χρήματα φέροντες ξύμμαχοι, "καὶ ἔστιν ὁ πόλεμος οὐχ ὅπλων τὸ πλέον 5 "ἀλλὰ δαπάνης, δι' ἣν τὰ ὅπλα ὠφελεῖ, "ἄλλως τε καὶ ἠπειρώταις πρὸς θαλασσίους. "πορισώμεθα οὖν πρῶτον αὐτὴν, καὶ μὴ τοῖς 3 "τῶν ξυμμάχων λόγοις πρότερον ἐπαιρώμεθα, "οἵπερ δὲ καὶ τῶν ἀποβαινόντων τὸ πλέον ἐπ' ἀμφότερα τῆς 10 "αἰτίας ἕξομεν, οὗτοι καὶ καθ' ἡσυχίαν τι αὐτῶν προΐδωμεν.

LXXXIV. "καὶ τὸ βραδὺ καὶ μέλλον, ὃ μέμφονται μάλιστα "ἡμῶν, μὴ αἰσχύνεσθε. σπεύδοντές τε γὰρ σχολαίτερον ἂν 2 "παύσαισθε διὰ τὸ ἀπαράσκευοι ἐγχειρεῖν· καὶ ἅμα ἐλευ- "θέραν καὶ εὐδοξοτάτην πόλιν διὰ παντὸς νεμόμεθα, καὶ 3 15 "δύναται μάλιστα σωφροσύνη ἔμφρων τοῦτ' εἶναι. μόνοι 4 "γὰρ δι' αὐτὸ εὐπραγίαις τε οὐκ ἐξυβρίζομεν καὶ ξυμφοραῖς "ἧσσον ἑτέρων εἴκομεν· τῶν τε ξὺν ἐπαίνῳ ἐξοτρυνόντων "ἡμᾶς ἐπὶ τὰ δεινὰ παρὰ τὸ δοκοῦν ἡμῖν οὐκ ἐπαιρόμεθα "ἡδονῇ, καὶ ἤν τις ἄρα ξὺν κατηγορίᾳ παροξύνῃ, οὐδὲν 20 "μᾶλλον ἀχθεσθέντες ἀνεπείσθημεν. πολεμικοί τε καὶ εὔ- 5 "βουλοι διὰ τὸ εὔκοσμον γιγνόμεθα, τὸ μὲν ὅτι αἰδὼς

2. δοκεῖ τῷ F. 6. θαλασίους F. 7. πρώτην F.H. 12. σπεύδοντες—παύσαισθε om. V. 13. παύσησθε A.B.E.F.H.K.N.c.d.f.g.h.i. 14. ἐνδοξοτάτην Tusanus. πόλιν καὶ εὐδοξοτάτην G. 15. μάλιστα καὶ σωφρ. K. 17. ἐξοτρυνόντων B.C.E.F.H.N.V.c.d.f.g. Poppo. Goell. Bekk. A.G. et vulgo ἐποτρυνόντων. 18. τὸ] om. C. 19. σὺν c. Post οὐδὲν omisi δὴ cum A.B.E.F.H.N.V.c.f.g.h. pro eo δὲ habet C. om. Bekk. Poppo. Goell. 20. ἂν ἐπείσθημεν G.L.M.g.

9. οἵπερ δὲ—ἕξομεν] "As we shall "have the main share of the responsi- "bility, whether the issue be prosperous "or the contrary; so we may fairly "take time to consider beforehand "which it is likely to be." Compare II. 11, 10. μεγίστην δόξαν οἰσόμενοι—ἐπ' ἀμφότερα ἐκ τῶν ἀποβαινόντων.

20. πολεμικοί τε—εὐψυχία] "Our "habits of order and obedience make "us both warlike and wise: warlike, "because in such an orderly temper "the main ingredient is a sense of "shame; and with a sense of shame "is most closely connected a manly "spirit." Compare II. 43, 1, 6. and V. 9, 5. εἶναι τοῦ καλῶς πολεμεῖν τὸ ἐθέλειν καὶ τὸ αἰσχύνεσθαι καὶ τοῖς ἄρχουσι πείθεσθαι. And for the expression πλεῖστον μετέχει, compare III. 83, 1. τὸ εὔηθες, οὗ τὸ γενναῖον πλεῖστον μετέχει, i. e. "which is almost wholly made up "of noble and generous feelings."

" σωφροσύνης πλεῖστον μετέχει, αἰσχύνης δὲ εὐψυχία,
" εὔβουλοι δὲ, ἀμαθέστερον τῶν νόμων τῆς ὑπεροψίας παι-
" δευόμενοι καὶ ξὺν χαλεπότητι σωφρονέστερον ἢ ὥστε
" αὐτῶν ἀνηκουστεῖν, καὶ μὴ τὰ ἀχρεῖα ξυνετοὶ ἄγαν ὄντες,
" τὰς τῶν πολεμίων παρασκευὰς λόγῳ καλῶς μεμφόμενοι 5
" ἀνομοίως ἔργῳ ἐπεξιέναι, νομίζειν δὲ τάς τε διανοίας τῶν
" πέλας παραπλησίους εἶναι καὶ τὰς προσπιπτούσας τύχας
6 " οὐ λόγῳ διαιρετάς. ἀεὶ δὲ ὡς πρὸς εὖ βουλευομένους τοὺς
" ἐναντίους ἔργῳ παρασκευαζόμεθα· καὶ οὐκ ἐξ ἐκείνων ὡς
" ἁμαρτησομένων ἔχειν δεῖ τὰς ἐλπίδας, ἀλλ' ὡς ἡμῶν 10
7 " αὐτῶν ἀσφαλῶς προνοουμένων. πολύ τε διαφέρειν οὐ δεῖ
" νομίζειν ἄνθρωπον ἀνθρώπου, κράτιστον δὲ εἶναι ὅστις ἐν

1. πλέον K. 2. ἀμαθέστερον A.B.E.F.H.I.K.N.V.g. Poppo. Goell. Haack. Bekk. Gottleb. G. et ceteri ἀμαθέστεροι. 3. σωφρονέστεροι L.Q. ἢ] καὶ G. 6. τε] om. C. τῶν πέλας διανοίας c.f. 9. τῷ ἔργῳ K. παρασκευαζώμεθα A.B.E.F.H.I.K.N.V.g. corr. G. Haack. Poppo. Goell. ὡς ἂν ἁμαρτησ. H. 11. τε] τι i. 12. δὲ] τε d.

2. ἀμαθέστερον] See III. 87, 3, 4.

6. νομίζειν δὲ—διαιρετάς] The sense of this whole passage is as follows: "We are trained, in opposition to what "the Corinthians say of us, to think "that the views and plans of others are "very much like the accidents of war, "which no ingenuity of eloquence can "beforehand exactly determine. There- "fore we neither calculate on the "blunders of our enemies, nor on the "favours of fortune; but our reliance "is on our courage and on our own "wisdom. Nor, again, should we think "with the Corinthians, that the cha- "racter of the Athenians so differs "from ours, as to make us unfit "antagonists to them. One man is "practically much the same as another; "or if there be any difference, it is that "he who has been taught what is most "needful, and has never troubled him- "self with superfluous accomplish- "ments, is the best and most valuable." 'Εν τοῖς ἀναγκαιοτάτοις is opposed to τὰ ἀχρεῖα ξυνετοὶ ἄγαν ὄντες. Διαιρετὰς signifies, "to be made out, defined, or "described." Compare Herodot. VII. 47, 1. βιοτῆς πέρι, ἐούσης τοιαύτης οἵηνπερ σὺ διαιρέεαι εἶναι. I have corrected a part of the interpretation given above from Göller's note in his second edition. He is right I think in understanding παραπλησίους εἶναι καὶ τὰς τύχας to mean, "like to the chances of war." "The plans of our neighbours, and "the chances which befall in war, are "alike; i.e. they can neither be dis- "tinctly made out in words before- "hand."

9. παρασκευαζόμεθα] The recurrence of ἔχειν δεῖ and οὐ δεῖ νομίζειν in the following sentences has given a false plausibility to the reading παρασκευαζώμεθα. But the word ἀεὶ at the beginning of the sentence is decisive, I think, in favour of the indicative mood; and Archidamus had been stating what the Spartans were, not what he wished them to be, as if they were not such already. The following clauses ἔχειν δεῖ, οὐ δεῖ νομίζειν, are Archidamus' justification of what he had already stated the Spartan character to be as a matter of fact.

“ τοῖς ἀναγκαιοτάτοις παιδεύεται. LXXXV. ταύτας οὖν
“ ἃς οἱ πατέρες τε ἡμῖν παρέδοσαν μελέτας
“ καὶ αὐτοὶ διὰ παντὸς ὠφελούμενοι ἔχομεν,
“ μὴ παρῶμεν, μηδ' ἐπειχθέντες ἐν βραχεῖ
“ μορίῳ ἡμέρας περὶ πολλῶν σωμάτων καὶ
“ χρημάτων καὶ πόλεων καὶ δόξης βουλεύσωμεν, ἀλλὰ καθ'
“ ἡσυχίαν. ἔξεστι δ' ἡμῖν μᾶλλον ἑτέρων διὰ ἰσχύν. καὶ
“ πρὸς τοὺς Ἀθηναίους πέμπετε μὲν περὶ τῆς Ποτιδαίας,
“ πέμπετε δὲ περὶ ὧν οἱ ξύμμαχοί φασιν ἀδικεῖσθαι, ἄλλως
“ τε καὶ ἑτοίμων ὄντων αὐτῶν δίκας δοῦναι· ἐπὶ δὲ τὸν
“ διδόντα οὐ πρότερον νόμιμον ὡς ἐπ' ἀδικοῦντα ἰέναι.
“ παρασκευάζεσθε δὲ τὸν πόλεμον ἅμα. ταῦτα γὰρ καὶ
“ κράτιστα βουλεύσεσθε καὶ τοῖς ἐναντίοις φοβερώτατα.”

which it would be madness now to hazard, by going to war before they were thoroughly prepared.

Καὶ ὁ μὲν Ἀρχίδαμος τοιαῦτα εἶπε· παρελθὼν δὲ Σθενελαΐδας τελευταῖος, εἷς τῶν ἐφόρων τότε ὤν, ἔλεξεν ἐν τοῖς Λακεδαιμονίοις ὧδε.

LXXXVI. “ ΤΟΥΣ μὲν λόγους τοὺς πολλοὺς τῶν
“ Ἀθηναίων οὐ γιγνώσκω· ἐπαινέσαντες γὰρ πολλὰ ἑαυτοὺς
“ οὐδαμοῦ ἀντεῖπον ὡς οὐκ ἀδικοῦσι τοὺς
“ ἡμετέρους ξυμμάχους καὶ τὴν Πελοπόν-
“ νησον· καίτοι εἰ πρὸς τοὺς Μήδους ἐγένοντο
“ ἀγαθοὶ τότε, πρὸς δ' ἡμᾶς κακοὶ νῦν, διπλα-
“ σίας ζημίας ἄξιοί εἰσιν, ὅτι ἀντ' ἀγαθῶν
“ κακοὶ γεγένηνται. ἡμεῖς δὲ ὁμοῖοι καὶ τότε
“ καὶ νῦν ἐσμέν, καὶ τοὺς ξυμμάχους, ἢν σωφρονῶμεν, οὐ
“ περιοψόμεθα ἀδικουμένους οὐδὲ μελλήσομεν τιμωρεῖν· οἱ

Sthenelaidas, one of the ephori, replies by briefly dwelling on the injuries sustained by the allies of Lacedæmon, which it concerned her honour to revenge by an instant declaration of war.

1. ταύτας] τάς τε d.i. ταύτας τε e. 2. ἃς] ἂν d.i. ἡμῶν i. 6. ante καθ' litteras duas vel tres deletas F. 8. τοὺς] om. i. τῆς] om. K.L.O.P.d.e.g.h.i. 10. δὲ—ἐπ'] om. B.E.F.H.g.h. δὲ—ἰέναι] om. P. 12. γὰρ κράτιστα B.E.F.H.V.c.f.g. 13. βουλεύεσθε O. φοβερώτερα c. 14. ταῦτα e. στενελαΐδας K. 15. ἐν] om. C.G. recepi ex A.B.E.F.H.V.f. habent Bekk. Haack. Poppo. Goeller. 18. ἑαυτοὺς πολλὰ c.g. 19. οὐκ] om. O. 23. ἀντ'] om. e. 24. καὶ τότε ὅμοιοι h. καὶ ὅμοιοι τότε g. δὲ ὁμοῖοι τότε V. 25. ἢν] εἰ K.e. σωφρονοῦμεν E.K. 26. οἱ δ' F.K.V. Haack. Poppo. Goell. Bekk. οὐδ' C.I. vulgo οἵδ'.

3 " δ' οὐκέτι μέλλουσι κακῶς πάσχειν. ἄλλοις μὲν γὰρ χρή-
" ματά ἐστι πολλὰ καὶ νῆες καὶ ἵπποι, ἡμῖν δὲ ξύμμαχοι
" ἀγαθοὶ, οὓς οὐ παραδοτέα τοῖς Ἀθηναίοις ἐστὶν, οὐδὲ δίκαις
" καὶ λόγοις διακριτέα μὴ λόγῳ καὶ αὐτοὺς βλαπτομένους,
4 " ἀλλὰ τιμωρητέα ἐν τάχει καὶ παντὶ σθένει. καὶ ὡς ἡμᾶς 5
" πρέπει βουλεύεσθαι ἀδικουμένους μηδεὶς διδασκέτω, ἀλλὰ
" τοὺς μέλλοντας ἀδικεῖν μᾶλλον πρέπει πολὺν χρόνον βου-
5 " λεύεσθαι. ψηφίζεσθε οὖν, ὦ Λακεδαιμόνιοι, ἀξίως τῆς
" Σπάρτης τὸν πόλεμον, καὶ μήτε τοὺς Ἀθηναίους ἐᾶτε
" μείζους γίγνεσθαι, μήτε τοὺς ξυμμάχους καταπροδιδῶμεν, 10
" ἀλλὰ ξὺν τοῖς θεοῖς ἐπίωμεν πρὸς τοὺς ἀδικοῦντας."

LXXXVII. Τοιαῦτα δὲ λέξας ἐπεψήφιζεν αὐτὸς ἔφορος
2 ὢν ἐς τὴν ἐκκλησίαν τῶν Λακεδαιμονίων. ὁ δὲ (κρίνουσι
γὰρ βοῇ καὶ οὐ ψήφῳ) οὐκ ἔφη διαγιγνώσκειν
τὴν βοὴν ὁποτέρα μείζων, ἀλλὰ βουλόμενος 15
αὐτοὺς φανερῶς ἀποδεικνυμένους τὴν γνώμην
ἐς τὸ πολεμεῖν μᾶλλον ὁρμῆσαι ἔλεξεν " ὅτῳ
" μὲν ὑμῶν, ὦ Λακεδαιμόνιοι, δοκοῦσι λελύσθαι αἱ σπονδαὶ
" καὶ οἱ Ἀθηναῖοι ἀδικεῖν, ἀναστήτω ἐς ἐκεῖνο τὸ χωρίον"
δείξας τι χωρίον αὐτοῖς, " ὅτῳ δὲ μὴ δοκοῦσιν, ἐς τὰ ἐπὶ 20
3 " θάτερα." ἀναστάντες δὲ διέστησαν, καὶ πολλῷ πλείους
4 ἐγένοντο οἷς ἐδόκουν αἱ σπονδαὶ λελύσθαι. προσκαλέσαντές

The question is then put to the vote, and the majority of the assembly decide to go to war immediately.

2. πολλὰ] om. C.I.K.L.O.P.Q.e. 3. οὐδὲ] οὐ K. 6. προσήκει f. βουλεύσασθαι V. ἀδικουμένοις F. 8. ψηφίζεσθαι E. 11. πρὸς A.B.E.F.H.V.N. g.h. Goell. Bekk. et uncis inclusum Poppo. κατὰ d.i. C.G. et vulgo ἐπί. 12. ταῦτα d. δὲ] om. C.G. addidi ex A.B.E.F.H.L.N.O.P.V.Q.h. δὴ c. δὲ habent Bekk. Haack. Poppo. Goeller. 14. διαγινώσκειν V. 15. ποτέρα C.G.I.K.e.i. 18. ὑμῶν] om. c.f. λελύσθαι δοκοῦσιν f.g.h. 20. τι] τὸ i. δὲ μὴ] μὴ δὲ h. et pr. F.

4. διακριτέα—βλαπτομένους] Διακριτέα having the same meaning as διακρίνειν δεῖ, the accusative case follows as if there were really an infinitive mood. So VIII. 65, 3. ὡς οὔτε μισθοφορητέον εἴη ἄλλους. i. e. ὡς οὔτε δεοῖ ἄλλους μισθοφορεῖν. Compare Matth. Gr. Gr. §. 447. 4. Jelf, 613. obs. 5.

15. βουλόμενος—ὁρμῆσαι] Because as those who clamoured for war were on the popular side of the question, individuals might be afraid to incur the odium of openly opposing the popular wish. With regard to the great council of the Spartans, and in what respects the Spartan government was an oligarchy, see the Essay at the end of the volume.

τε τοὺς ξυμμάχους εἶπον ὅτι σφίσι μὲν δοκοῖεν ἀδικεῖν οἱ Ἀθηναῖοι, βούλεσθαι δὲ καὶ τοὺς πάντας ξυμμάχους παρακαλέσαντες ψῆφον ἐπαγαγεῖν, ὅπως κοινῇ βουλευσάμενοι τὸν πόλεμον ποιῶνται, ἢν δοκῇ. καὶ οἱ μὲν ἀπεχώρησαν ἐπ᾽ 5 5 οἴκου διαπραξάμενοι ταῦτα, καὶ οἱ Ἀθηναίων πρέσβεις ὕστερον ἐφ᾽ ἅπερ ἦλθον χρηματίσαντες. ἡ δὲ διαγνώμη 6 αὕτη τῆς ἐκκλησίας, τοῦ τὰς σπονδὰς λελύσθαι, ἐγένετο ἐν τῷ τετάρτῳ ἔτει καὶ δεκάτῳ τῶν τριακοντουτίδων σπονδῶν προκεχωρηκυιῶν, αἳ ἐγένοντο μετὰ τὰ Εὐβοϊκά.

10 LXXXVIII. Ἐψηφίσαντο δὲ οἱ Λακεδαιμόνιοι τὰς σπονδὰς λελύσθαι καὶ πολεμητέα εἶναι οὐ τοσοῦτον τῶν ξυμμάχων πεισθέντες τοῖς λόγοις ὅσον φοβούμενοι τοὺς Ἀθηναίους μὴ ἐπὶ μεῖζον δυνηθῶσιν, ὁρῶντες αὐτοῖς τὰ πολλὰ τῆς Ἑλλάδος 15 ὑποχείρια ἤδη ὄντα. LXXXIX. οἱ γὰρ Ἀθηναῖοι τρόπῳ τοιῷδε ἦλθον ἐπὶ τὰ πράγματα ἐν οἷς ηὐξήθησαν. ἐπειδὴ Μῆδοι ἀνεχώρησαν ἐκ τῆς 2 Εὐρώπης νικηθέντες καὶ ναυσὶ καὶ πεζῷ ὑπὸ Ἑλλήνων, καὶ οἱ καταφυγόντες αὐτῶν ταῖς

Their real motive being a dread of the overweening power of Athens.

Thucydides therefore interrupts his narrative to give a sketch of the origin and progress of the Athenian dominion, from the Per-

1. δοκοῖεν ἀδικεῖν] δοκοῖ G. δοκεῖν e. οἱ ἀθηναῖοι ἀδικεῖν K.d. 2. βουλεύεσθαι E.F. βουλεύεσθε H. ἄλλους ξυμμ. πάντας f. πάντας om. L.O.P.Q. 3. ἐπάγειν g. 4. δοκεῖ H. 5. ἀθηναῖοι P. 6. διάγνωσις c.f. γνώμη d. 8. τῷ] om. C. ἔτει καὶ δεκάτῳ A.B.E.g.h. Bekk. Goell. C.F.G. et vulgo καὶ δεκάτῳ ἔτει. τριακοντίδων P.b. 9. εὐβοεικὰ G.Q.g.h. et corr. F. 11. πολεμητέα εἶναι] πολεμεῖν ἀθηναίοις Dionys. p. 834. 18. ὑπὸ] om. c.

6. χρηματίσαντες] Suidas v. χρηματισάμενοι hic Schol. exscribit. πραγματεύσασθαι Hesychio, ut hoc in loco. Dion. Halicarn. XI. 28. ἐκάθητο ἐπὶ τοῦ βήματος ΧΡΗΜΑΤΙΖΩΝ τε καὶ δικάζων τοῖς δεομένοις, et Jos. Ant. VIII. 12. 2. Demosth. ὁ δὲ τοῦτο ἐκ παντὸς τοῦ χρόνου ΕΠΡΑΓΜΑΤΕΥΕΤΟ. WASS.

12. φοβούμενοι τοὺς Ἀθηναίους] Compare chap. 23, 7.

17. ἐπειδὴ Μῆδοι κ. τ. λ.] This sketch of the affairs of Greece from the siege of Sestos to the beginning of the Peloponnesian war, is a regular continuation of the history of Herodotus; and connects immediately with the 121st chapter of his last book. To follow the history in chronological order, a reader, after finishing Herodotus, should take up Thucydides at this 89th chapter, and read to the 117th inclusive: he should then go back to the 24th, and read on from thence to the 88th inclusive; after which he should proceed directly to the 118th. The digression about Pausanias and Themistocles, from chap. 128 to c. 138 inclusive, synchronizes with chapp. 95—98 of the general sketch.

sian invasion to the beginning of the Peloponnesian war. (Chapp. 89—118.) a A. C. 479. Olymp. 75. 2.

ναυσὶν ἐς Μυκάλην διεφθάρησαν, Λεωτυχίδης μὲν ὁ βασιλεὺς τῶν Λακεδαιμονίων, ὅσπερ ἡγεῖτο τῶν ἐν [a] Μυκάλῃ Ἑλλήνων, ἀπεχώρησεν ἐπ' οἴκου ἔχων τοὺς ἀπὸ Πελοποννήσου ξυμμάχους, οἱ δὲ Ἀθηναῖοι καὶ οἱ ἀπὸ Ἰωνίας καὶ Ἑλλησπόντου 5 ξύμμαχοι ἤδη ἀφεστηκότες ἀπὸ βασιλέως ὑπομείναντες Σηστὸν ἐπολιόρκουν Μήδων ἐχόντων, καὶ ἐπιχειμάσαντες εἷλον αὐτὴν ἐκλιπόντων τῶν βαρβάρων, καὶ μετὰ τοῦτο ἀπέπλευσαν ἐξ Ἑλλησπόντου ὡς ἕκαστοι κατὰ πόλεις.

3 He first relates how the walls of Athens were rebuilt after the defeat of Mardonius. 89—92.

Ἀθηναίων δὲ τὸ κοινὸν, ἐπειδὴ αὐτοῖς οἱ βάρ- 10 βαροι ἐκ τῆς χώρας ἀπῆλθον, διεκομίζοντο εὐθὺς ὅθεν ὑπεξέθεντο παῖδας καὶ γυναῖκας καὶ τὴν περιοῦσαν κατασκευὴν, καὶ τὴν πόλιν ἀνοικοδομεῖν παρεσκευάζοντο καὶ τὰ τείχη· τοῦ τε γὰρ περιβόλου βραχέα εἱστήκει, καὶ οἰκίαι αἱ μὲν πολλαὶ πεπτώκεσαν ὀλίγαι δὲ 15 περιῆσαν, ἐν αἷς αὐτοὶ ἐσκήνησαν οἱ δυνατοὶ τῶν Περσῶν.

XC. Λακεδαιμόνιοι δὲ αἰσθόμενοι τὸ μέλλον ἦλθον πρεσβείᾳ, τὰ μὲν καὶ αὐτοὶ ἥδιον ἂν ὁρῶντες μήτ' ἐκείνους μήτ' ἄλλον μηδένα τεῖχος ἔχοντα, τὸ δὲ πλέον τῶν ξυμμάχων ἐξοτρυνόντων καὶ φοβουμένων τοῦ τε ναυτικοῦ αὐτῶν τὸ πλῆθος, ὃ 20 πρὶν οὐχ ὑπῆρχε, καὶ τὴν ἐς τὸν Μηδικὸν πόλεμον τόλμαν 2 γενομένην. ἠξίουν τε αὐτοὺς μὴ τειχίζειν, ἀλλὰ καὶ τῶν ἔξω Πελοποννήσου μᾶλλον ὅσοις ξυνειστήκει ξυγκαθελεῖν μετὰ

1. λεωτύχης c. 2. ὥσπερ C.E. 4. ἐν πελοποννήσῳ C.I.K.b.e. et pr. G. 5. τῆς ἰωνίας O. 6. ἀφεστηκότος e. ἀπὸ] τοῦ G.K.L.O.P.d.i. 8. ἐπιλιπόντων G.K.L.O.P.Q. 12. καὶ ante γυναῖκας om. G.K.L.O.P. 15. ἑστήκει I. οἰκεῖαι F.H. αἱ om. E. πεπτώκεσαν A.B.E.F.H.V.g.h. Poppo. Goeller. Bekk. C. pr. G. et vulgo ἐπεπτώκεσαν. 16. ἐσκήνουν G.L.O.P.Q.c.d.i. ἐσκήνωσαν C.e. 17. πρεσβείᾳ A.B.F.H.K.N.g. πρεσβείαν C. ἐς πρεσβείαν G.d.i. εἰς πρεσβείαν c.e. 18. μήτε vel μήτ' A.B.E.F.G.H.I.N.V.f.g.h. Poppo. Goell. C. pr. G. et vulgo μήποτ'. Post ἐκείνους hæc habet E. ἀτείχιστον γὰρ ᾤκουν οἱ λακεδαιμόνιοι τὴν πόλιν. μηδ' H. et pr. F 20. αὐτῶν] αὐτὸ c. om. V. 21. πρὶν A.B.C.E.F.G.H.N.V.c.e.f.g.h. Poppo. Goeller. Bekk. vulgo πρώην. 23. ξυνειστήκει A.B.E. εἱστήκει C.F.c.d. Goell. Bekk. συνειστήκει G. [ξυν]ειστήκει Poppo. συγκαθελεῖν d. ξυγκαταβαλεῖν L.O.P.Q.

23. ξυνειστήκει] Bekker and Göller read εἱστήκει, which Poppo thinks the preferable reading. But the walls of towns may properly be said ξυστῆναι,

σφῶν τοὺς περιβόλους, τὸ μὲν βουλόμενον καὶ ὕποπτον τῆς γνώμης οὐ δηλοῦντες ἐς τοὺς Ἀθηναίους, ὡς δὲ τοῦ βαρβάρου, εἰ αὖθις ἐπέλθοι, οὐκ ἂν ἔχοντος ἀπὸ ἐχυροῦ ποθὲν, ὥσπερ νῦν ἐκ τῶν Θηβῶν, ὁρμᾶσθαι· τήν τε Πελοπόννησον 5 πᾶσιν ἔφασαν ἱκανὴν εἶναι ἀναχώρησίν τε καὶ ἀφορμήν. οἱ 3 δ' Ἀθηναῖοι Θεμιστοκλέους γνώμῃ τοὺς μὲν Λακεδαιμονίους ταῦτ' εἰπόντας, ἀποκρινάμενοι ὅτι πέμψουσιν ὡς αὐτοὺς πρέσβεις περὶ ὧν λέγουσιν, εὐθὺς ἀπήλλαξαν· ἑαυτὸν δ' ἐκέλευεν ἀποστέλλειν ὡς τάχιστα ὁ Θεμιστοκλῆς ἐς τὴν 10 Λακεδαίμονα, ἄλλους δὲ πρὸς ἑαυτῷ ἑλομένους πρέσβεις μὴ εὐθὺς ἐκπέμπειν, ἀλλ' ἐπισχεῖν μέχρι τοσούτου ἕως ἂν τὸ τεῖχος ἱκανὸν ἄρωσιν ὥστε ἀπομάχεσθαι ἐκ τοῦ ἀναγκαιοτάτου ὕψους· τειχίζειν δὲ πάντας πανδημεὶ τοὺς ἐν τῇ πόλει καὶ αὐτοὺς καὶ γυναῖκας καὶ παῖδας, φειδομένους μήτε ἰδίου 15 μήτε δημοσίου οἰκοδομήματος ὅθεν τις ὠφέλεια ἔσται ἐς τὸ ἔργον, ἀλλὰ καθαιροῦντας πάντα. καὶ ὁ μὲν ταῦτα διδάξας, 4 καὶ ὑπειπὼν τἆλλα ὅτι αὐτὸς τἀκεῖ πράξοι, ᾤχετο. καὶ ἐς 5 τὴν Λακεδαίμονα ἐλθὼν οὐ προσῄει πρὸς τὰς ἀρχὰς, ἀλλὰ διῆγε καὶ προὐφασίζετο. καὶ ὁπότε τις αὐτὸν ἔροιτο τῶν ἐν 6

1. τὸ] τὸν K. 3. ὀχυροῦ K.d.e. 4. ὥσπερ ἐκ τῶν θ. νῦν c. 5. ἱκανὴν εἶναι ἀ. τε καὶ ἀ. A.B.E.F.G.H.V.c.f.g. Poppo. Goell. Bekk. C. et vulgo ἀ. τε καὶ ἀ. ἱκανὴν εἶναι. 6. μὲν] om. Q. 7. ὡς] ἐς K.i. 8. αὐτὸν F. 9. ὁ] om. C.K.L.O.P.d.e. 11. τὸ τεῖχος ἱκανὸν A.B.C.E.F.G.H.L.O.P.Q.V.c.e.f.g. Haack. Poppo. Goell. Bekk. vulgo ἱκανὸν τὸ τεῖχος. 12. ἄρωσιν Bekk. vulgo αἴρωσιν. 15. ὠφελία Bekk. 16. καθαιροῦντες F. πάντα] ταῦτα γρ. h. 17. τἆλλα A.B. Bekk. τᾄλλα F.H.K.V.f.g. vulgo τὰ ἄλλα. πράξει c.d.f. 18. πρὸς] ἐς i. 19. προεφασίζετο F.H. προφασίζετο E. προυφασίζετο Bekk.

i. e. "to stand or hold together," "to "exist unruined," after mention had just been made of the wall of Athens, of which only some parts were left standing, so that the περίβολος or enclosure of the wall was not complete or continuous, i. e. οὐ ξυνέστη.

1. τὸ μὲν βουλόμενον τῆς γνώμης] i. e. τὴν βούλησιν. Compare III. 10, 1. VI. 24, 2. VII. 68, 1. Matthiæ Gr. Gr. §. 570. Jelf, 436. γ. and the note on Thucyd. I. 36, 1.

12. ἄρωσιν] Bekker reads ἄρωσιν, in the aorist, instead of αἴρωσιν: because ἕως ἂν αἴρωσιν cannot signify, "until "they should have raised." It may signify, "all the time that they were "raising," but then μέχρι τοσούτου seems to be less suitable than πάντα τὸν χρόνον. I have therefore adopted Bekker's correction.

ἐκ τοῦ ἀναγκαιοτάτου ὕψους] "The "lowest height that would enable them "to defend themselves with advantage:" "the height which was barely neces-"sary;" i. e. less than which would be wholly useless.

τέλει ὄντων ὅ τι οὐκ ἐπέρχεται ἐπὶ τὸ κοινὸν, ἔφη τοὺς ξυμπρέσβεις ἀναμένειν, ἀσχολίας δέ τινος οὔσης αὐτοὺς ὑπολειφθῆναι, προσδέχεσθαι μέντοι ἐν τάχει ἥξειν καὶ θαυμάζειν ὡς οὔπω πάρεισιν. XCI. οἱ δὲ ἀκούοντες τῷ μὲν Θεμιστοκλεῖ ἐπείθοντο διὰ φιλίαν αὐτοῦ, τῶν δὲ ἄλλων ἀφικνουμένων 5 καὶ σαφῶς κατηγορούντων ὅτι τειχίζεταί τε καὶ ἤδη ὕψος 2 λαμβάνει, οὐκ εἶχον ὅπως χρὴ ἀπιστῆσαι. γνοὺς δὲ ἐκεῖνος κελεύει αὐτοὺς μὴ λόγοις μᾶλλον παράγεσθαι, ἢ πέμψαι σφῶν αὐτῶν ἄνδρας οἵτινες χρηστοὶ καὶ πιστῶς ἀπαγγελοῦσι 3 σκεψάμενοι. ἀποστέλλουσιν οὖν, καὶ περὶ αὐτῶν ὁ Θεμιστοκλῆς τοῖς Ἀθηναίοις κρύφα πέμπει κελεύων ὡς ἥκιστα 10 ἐπιφανῶς κατασχεῖν καὶ μὴ ἀφεῖναι πρὶν ἂν αὐτοὶ πάλιν

1. πρέσβεις b. 2. ὑποληφθῆναι G. 4. μὲν] om. L.O.P.Q.b.d. 6. τειχίζει τε ἤδη καὶ d. ὕψος corr. G: πέρας K.L.O.P.Q.d.i. 8. αὐτοὺς] om. d.i. σφῶν αὐτῶν πέμψαι K. 9. εἴτινες O. χρηστοὶ] πιστοὶ K.i. πιστῶς] πως Q. ἀπαγγελοῦσι A.B.E.F.H.N.V.f.g. Poppo. Goell. Bekk. Suidas in παράγεσθαι. C.G. et vulgo ἀναγγελοῦσι. 11. κρύφα τοῖς ἀθηναίοις h.

1. ὅ τι οὐκ] Aliquis fortasse διότι scribere hic malit, aut δι', ὅ, τι: at ego nihilo magis istud ὅτι suspectum habeo, quam mox ὡς, in his θαυμάζειν ὡς οὔπω πάρεισιν. STEPH. Ὅτι pro διότι etiam in interrogatione poni, dudum ex Homero, Herodoto, Aristophane, aliisque adnotarunt Viri docti. Quæri tamen potest, cur tam inconstanter modo ὅτι, modo ὅ, τι scribatur. Herodot. I. 47, 1. Ἐπειρωτέοντας ὅ, τι ποιέων τυγχάνοι ὁ Λυδῶν βασιλεὺς Κροῖσος. Ibid. 111, 3. Εἴρετο προτέρη ὅτι μιν οὕτω προθύμως Ἅρπαγος μετεπέμψατο. Et sic sæpe apud alios. Schol. Aristoph. ad Vesp. v. 22. scribit in ὅ, τι pro quare, abundare ὅ, Ἀττικῶς, nec aliud esse, quam τί. Τί autem dicitur per ellipsin τοῦ διὰ, *quid*, id est, *propter quid*. Itaque ex illius sententia, quum hanc significationem habet, semper scribendum est ὅ, τι. Διῆγε Thom. Magister, in διάγω exponit ἐβράδυνε. Interpres non male, *rem trahebat*. Vid. Suid. in διάγειν et διῆγε. Quæ hic Schol. de significatione verborum παρελθεῖν et ἐπελθεῖν scribit, etiam ap. Ulpian. ad Demosth. περὶ τῶν ἐν Χερρονήσῳ p. 58. et Suidam in παρελθεῖν leguntur. Sed vid. hic Steph. ad Schol. add. quæ supr. ad cap. 73, 1. adnotantur. DUK. It is very easy to say that ὅ τι is put for διότι, yet although it might be good English to ask, "What this was done *for?*" it would not be English to ask, "What this "was done?" But ὅ τι is *quod;* and would be best translated in English, "When any one asked him *about his* "*not coming* before the government," or, "as to his not coming;" literally, "When any one asked him *as to that* "he came not before the government." It is no wonder that, as Duker remarks, the same word should be sometimes written ὅτι, and sometimes ὅ, τι, for as I have observed before, it was only the practice of a later age to distinguish different senses of the same word by different accents, or different modes of writing; and where the two senses run so much into one another, as in the case of ὅτι and ὅ τι, it is not strange if the grammarians sometimes doubted which manner of writing they ought to follow.

κομισθῶσιν· ἤδη γὰρ καὶ ἧκον αὐτῷ οἱ ξυμπρέσβεις, Ἁβρώνιχός τε ὁ Λυσικλέους καὶ Ἀριστείδης ὁ Λυσιμάχου, ἀγγέλλοντες ἔχειν ἱκανῶς τὸ τεῖχος· ἐφοβεῖτο γὰρ μὴ οἱ Λακεδαιμόνιοι σφᾶς, ὁπότε σαφῶς ἀκούσειαν, οὐκέτι ἀφῶσιν.
5 οἵ τε οὖν Ἀθηναῖοι τοὺς πρέσβεις ὥσπερ ἐπεστάλη κατεῖχον, 4 καὶ Θεμιστοκλῆς ἐπελθὼν τοῖς Λακεδαιμονίοις ἐνταῦθα δὴ φανερῶς εἶπεν, ὅτι ἡ μὲν πόλις σφῶν τετείχισται ἤδη ὥστε ἱκανὴ εἶναι σώζειν τοὺς ἐνοικοῦντας, εἰ δέ τι βούλονται Λακεδαιμόνιοι ἢ οἱ ξύμμαχοι πρεσβεύεσθαι παρὰ σφᾶς, ὡς
10 πρὸς διαγιγνώσκοντας τὸ λοιπὸν ἰέναι τά τε σφίσιν αὐτοῖς ξύμφορα καὶ τὰ κοινά. τήν τε γὰρ πόλιν ὅτε ἐδόκει ἐκλιπεῖν 5 ἄμεινον εἶναι καὶ ἐς τὰς ναῦς ἐσβῆναι, ἄνευ ἐκείνων ἔφασαν γνόντες τολμῆσαι, καὶ ὅσα αὖ μετ' ἐκείνων βουλεύεσθαι, οὐδενὸς ὕστεροι γνώμῃ φανῆναι. δοκεῖν οὖν σφίσι καὶ νῦν 6
15 ἄμεινον εἶναι τὴν ἑαυτῶν πόλιν τεῖχος ἔχειν, καὶ ἰδίᾳ τοῖς πολίταις καὶ ἐς τοὺς πάντας ξυμμάχους ὠφελιμώτερον ἔσεσθαι· οὐ γὰρ οἷόν τ' εἶναι μὴ ἀπὸ ἀντιπάλου παρασκευῆς ὁμοῖόν τι ἢ ἴσον ἐς τὸ κοινὸν βουλεύεσθαι. ἢ πάντας οὖν 7

2. ἁβρώνιχός A.B. Bekk. ἀβρώνιχός E.F.H. ἀβρώνυχός G.Q. ἀκρώνιχός g. ἁβρώνυχός Poppo. Vulgo, et Herodot. VIII. 21. ἀβρώνυχός. sed ibi cod. Paris. et Valla habent ἀβρώνιχός. 5. οὖν] om. P. ἐπεστάλκει Q. ἐπεστάλει c. 6. Articulum ante Θεμιστοκλῆς omisi cum A.B.E.F.H.V.c.f.g.h. om. Bekk. Goell. uncis inclusit Poppo. δὴ] om. g. 7. σφῶν] αὐτῶν C.G.I.K.L.O.P.Q. 8. Post ἐνοικοῦντας C.G. habent ἐν αὐτῇ. omisi cum A.B.E.F.H.N.V.c.f.g.h. om. Bekk. Poppo. Goell. 9. ἢ] om. N. καὶ V. πρεσβεύοντες C. πρεσβεύοντας e. 10. πρὸς διαγ.] προδιαγ. B.K.P.h.i. ἱέναι F. 11. ξυμφέροντα G.L.O.P.Q. 12. ἐς] om. K.N. ἐμβῆναι g. ἄνευ] ἔξω L.O.P. 13. αὖ] ἂν i. 14. οὐδὲν E. ὕστερον A.B.C.E.F.I.K.c.h.i. γνώμῃ φανῆναι corr. G. φανῆναι] δοῦναι K. δοκεῖ L.O.P. 15. αὐτῶν vel αὑτῶν L.O.P.Q. τοὺς πολίτας F. 17. ἔπεσθαι f. μὴ ἀντιπ. παρασκ. οὔσης d.

13. ὅσα αὖ—βουλεύεσθαι] The infinitive mood is not unfrequently used in language put indirectly into the mouth of another person. The verb ἔφασαν must be repeated. So again, II. 102, 7. λέγεται δὲ καὶ Ἀλκμαίωνι, ὅτε δὴ ἀλᾶσθαι αὐτὸν κ. τ. λ. i. e. ὅτε δὴ ἀλᾶσθαι αὐτὸν λέγεται.

16. ἐς τοὺς πάντας ξυμμάχους—βουλεύεσθαι] "And for the common interest "of the allies it would be more expe- "dient: for no one could enter heartily "into the counsels of a confederacy "unless he had as much at stake as the "other members of it." Compare II. 44, 4. οὐ γὰρ οἷόν τε ἴσον τι ἢ δίκαιον βουλεύεσθαι οἳ ἂν μὴ καὶ παῖδας ἐκ τοῦ ὁμοίου παραβαλλόμενοι κινδυνεύωσιν.

ἀτειχίστους ἔφη χρῆναι ξυμμαχεῖν, ἢ καὶ τάδε νομίζειν ὀρθῶς ἔχειν. XCII. οἱ δὲ Λακεδαιμόνιοι ἀκούσαντες ὀργὴν μὲν φανερὰν οὐκ ἐποιοῦντο τοῖς Ἀθηναίοις (οὐδὲ γὰρ ἐπὶ κωλύμῃ ἀλλὰ γνώμης παραινέσει δῆθεν τῷ κοινῷ ἐπρεσβεύσαντο, ἅμα δὲ καὶ προσφιλεῖς ὄντες ἐν τῷ τότε διὰ τὴν ἐς τὸν 5 Μῆδον προθυμίαν τὰ μάλιστα αὐτοῖς ἐτύγχανον), τῆς μέντοι 2 βουλήσεως ἁμαρτάνοντες ἀδήλως ἤχθοντο. οἵ τε πρέσβεις ἑκατέρων ἀπῆλθον ἐπ' οἴκου ἀνεπικλήτως.

XCIII. Τούτῳ τῷ τρόπῳ οἱ Ἀθηναῖοι τὴν πόλιν ἐτείχισαν 2 ἐν ὀλίγῳ χρόνῳ. καὶ δήλη ἡ οἰκοδομία ἔτι καὶ νῦν ἐστὶν ὅτι 10 κατὰ σπουδὴν ἐγένετο· οἱ γὰρ θεμέλιοι παντοίων λίθων ὑπόκεινται καὶ οὐ ξυνειργασμένων ἔστιν ᾗ, ἀλλ' ὡς ἕκαστοί ποτε προσέφερον, πολλαί τε στῆλαι ἀπὸ σημάτων καὶ λίθοι 3 εἰργασμένοι ἐγκατελέγησαν. μείζων γὰρ ὁ 15 περίβολος πανταχῇ ἐξήχθη τῆς πόλεως, καὶ διὰ τοῦτο πάντα 4 ὁμοίως κινοῦντες ἠπείγοντο. ἔπεισε δὲ καὶ τοῦ Πειραιῶς τὰ λοιπὰ ὁ Θεμιστοκλῆς οἰκοδομεῖν (ὑπῆρκτο δ' αὐτοῦ πρότερον ἐπὶ τῆς ἐκείνου ἀρχῆς ἧς κατ' ἐνιαυτὸν Ἀθηναίους ἦρξε), νομίζων τό τε χωρίον καλὸν εἶναι, λιμένας ἔχον τρεῖς αὐτο- 20 φυεῖς, καὶ αὐτοὺς ναυτικοὺς γεγενημένους μέγα προφέρειν ἐς

And also how Piræus was fortified, and the navy made the principal object of public attention — both according to the advice of Themistocles.

1. ξυμμαχεῖν] χεῖν g. 5. δὲ] om. K. ἐς] πρὸς c.f. 6. Μῆδον] δῆμον I. τὰ sumpsi ab A.B.C.E.F.G.H.K.L.N.O.P.V.b.c.e.f.g.h.i. habent Bekk. Poppo. Goell. 7. ἁμαρτόντες γρ. Q. 9. οἱ] om. C.K.L.O.P.Q.d.e. 13. ἀλλ' ὡς] ἄλλως C. ἕκαστον C.Q. 15. ἐκκατελέγησαν K. 16. ὁμοίως πάντα V. 17. ἐκίνουν P.Q. ἠπείγοντο] ὑπήγοντο e. ὁ θεμιστ. τὰ λοιπὰ V. 20. ἔχων E.

4. δῆθεν] "As they said." This word is used when the writer is stating the declarations or avowed sentiments of other persons; and wishes to remind the reader that he does not vouch for their sincerity, but merely repeats what they themselves professed to be true.

τῷ κοινῷ] ὑπὲρ τοῦ κοινοῦ. Scholiast. Compare Matthiæ, Gr. Gr. §. 387. and the examples there stated. Others make the words τῷ κοινῷ depend on παραινέσει, the verbal substantive governing the case of its verb: "To give "counsel to their state."

21. αὐτοὺς ναυτικοὺς γεγενημένους κ.τ.λ.] "Their having become a naval people "would be a great help towards their "acquiring power." Literally, "they "by having become a naval people." The adjective and participle form a more important part of the subject than the pronoun substantive; as in those Latin expressions where the passive participle precedes the substantive with

τὸ κτήσασθαι δύναμιν· τῆς γὰρ δὴ θαλάσσης πρῶτος ἐτόλμησεν εἰπεῖν ὡς ἀνθεκτέα ἐστὶ, καὶ τὴν ἀρχὴν εὐθὺς ξυγκατεσκεύαζε. καὶ ᾠκοδόμησαν τῇ ἐκείνου γνώμῃ τὸ πάχος 5 τοῦ τείχους ὅπερ νῦν ἔτι δῆλόν ἐστι περὶ τὸν Πειραιᾶ· δύο 5 γὰρ ἅμαξαι ἐναντίαι ἀλλήλαις τοὺς λίθους ἐπῆγον. ἐντὸς δὲ 6 οὔτε χάλιξ οὔτε πηλὸς ἦν, ἀλλὰ ξυνῳκοδομημένοι μεγάλοι

1. δὴ] om. Q. 4. παρὰ g. πειρεᾶ V. 5. ἐπῆγον τοὺς λίθους K.Q. 6. χάληξ G.K.Q.h.i.

which it agrees, to shew that it is the more important word of the two; and where the Latin substantive becomes the genitive case in English, and the Latin participle may generally be best translated by one of our verbal substantives ending in "*ing*:" as "Captum "oppidum multum rebus nostris pro-"fuit." "*The taking of the town* was of "much use," &c.

Another interpretation, adopted by Poppo and Göller, makes τὸ χωρίον the subject of the clause, and understands the passage thus; "and that the place "would advance them greatly towards "acquiring power, when they were "become a naval people." νομίζων προφέρειν instead of ἂν προφέρειν, or of the future tense, may be defended from ch. 127, 1. νομίζοντες προχωρεῖν τὰ ἀπὸ τῶν Ἀθηναίων. And Poppo says that the conjunction τε in the former clause is out of its place, and that it should have been written, τὸ χωρίον καλόν τε εἶναι. But as it is not so written, and as the passage affords not only a good sense, but, as I think, a better one according to the present order of the words, we are not justified in supposing that Thucydides meant any thing different from what he has said. The word προφέρειν is also on this interpretation taken in an unusual sense; as it signifies in Thucydides, either "to bring "forward," in the sense of "mentioning," "appealing to," "exhibiting;" III. 59, 2. 64, 3. V. 17, 2. 26, 4. 31, 5. VII. 69, 2. or else "to excel or have an advan-"tage," in a neutral sense, as II. 89, 3. VII. 64, 2. 77, 2. But in I. 123, 1. it has exactly the meaning which I believe it to have in the present passage, i. e. "to be advanced," "to make progress," εἰ ἄρα πλούτῳ ὀλίγον προφέρετε: whereas it never, so far as I remember, bears the active sense of *advancing or furthering* the progress of another.

2. εὐθὺς ξυγκατεσκεύαζε] Εὐθὺς signifies probably, "immediately after the "retreat of the Persians."

4. ὅπερ νῦν ἔτι δῆλόν ἐστι] The width of the wall might still be judged of from the foundations of it which were remaining when Thucydides wrote, although the wall itself had been destroyed by the Lacedæmonians at the end of the Peloponnesian war. Krüger, as quoted by Göller. More however than the foundations must have been remaining, for Thrasybulus and his followers retired from Piræus into Munychia, because the line of the walls of Piræus in their whole extent was too large for their small force to defend, μέγας ὁ κύκλος ὢν πολλῆς φυλακῆς ἐδόκει δεῖσθαι. Xenoph. Hellen. II. 4, 11. The destruction therefore could only have been partial, perhaps affecting chiefly the fortifications on the side of the sea.

δύο γὰρ ἅμαξαι—ἐπῆγον] He means, I believe, that two carts continually meeting one another were passing along the wall; and that it was sufficiently broad to allow them to pass. Compare IV. 23, 2. δυοῖν νεοῖν ἐναντίαιν τὴν νῆσον περιπλέοντες.

5. ἐντὸς δὲ οὔτε χάλιξ κ. τ. λ.] "On "the side of Munychia towards the "open sea, the remains are best pre-"served. Here three or four courses "of masonry, both of walls and of "square towers, are in many places to "be seen; and there are several situa-"tions where we still find the wall built "in the manner described by Thucy-

ATHENS. A. C. 478. Olymp. 75. 3.

λίθοι καὶ ἐν τομῇ ἐγγώνιοι, σιδήρῳ πρὸς ἀλλήλους τὰ ἔξωθεν
7 καὶ μολύβδῳ δεδεμένοι. τὸ δὲ ὕψος ἥμισυ μάλιστα ἐτελέσθη
8 οὗ διενοεῖτο. ἐβούλετο γὰρ τῷ μεγέθει καὶ τῷ πάχει ἀφι-
στάναι τὰς τῶν πολεμίων ἐπιβουλὰς, ἀνθρώπων τε ἐνόμιζεν
ὀλίγων καὶ τῶν ἀχρειοτάτων ἀρκέσειν τὴν φυλακὴν, τοὺς δ' 5
9 ἄλλους ἐς τὰς ναῦς ἐσβήσεσθαι. ταῖς γὰρ ναυσὶ μάλιστα
προσέκειτο, ἰδὼν, ὡς ἐμοὶ δοκεῖ, τῆς βασιλέως στρατιᾶς τὴν
κατὰ θάλασσαν ἔφοδον εὐπορωτέραν τῆς κατὰ γῆν οὖσαν·
τόν τε Πειραιᾶ ὠφελιμώτερον ἐνόμιζε τῆς ἄνω πόλεως, καὶ
πολλάκις τοῖς Ἀθηναίοις παρῄνει, ἢν ἄρα ποτὲ κατὰ γῆν 10
βιασθῶσι, καταβάντας ἐς αὐτὸν ταῖς ναυσὶ πρὸς ἅπαντας
10 ἀνθίστασθαι. Ἀθηναῖοι μὲν οὖν οὕτως ἐτειχίσθησαν καὶ
τἄλλα κατεσκευάζοντο εὐθὺς μετὰ τὴν Μήδων ἀναχώρησιν.

XCIV. Παυσανίας δὲ ὁ Κλεομβρότου ἐκ Λακεδαίμονος
στρατηγὸς τῶν Ἑλλήνων ἐξεπέμφθη μετὰ εἴκοσι νεῶν ἀπὸ 15
Πελοποννήσου· ξυνέπλεον δὲ καὶ Ἀθηναῖοι τριάκοντα ναυσὶ
2 καὶ τῶν ἄλλων ξυμμάχων πλῆθος. καὶ ἐστράτευσαν ἐς
Κύπρον καὶ αὐτῆς τὰ πολλὰ κατεστρέψαντο, καὶ ὕστερον ἐς

1. ἐντομῇ Poppo. Goell. 2. μολίβδῳ B.C.E.G.H.I.K.L.O.d.e.g.h.i. 3. ἠβούλετο b. 4. ἐπιβουλὰς A.B.C.E.F.G.H.I.N.V.d.e.f.g.h.i. Haack. Poppo. Goell. Bekk. Vulgo ἐπιβολάς. 10. γῆν om. e. τὴν γῆν b. 11. καταβάντες C.H. I.K.i. ἐς om. V. ἀπάτας g. 12. ἀνθίστανται I. 13. τἆλλα Bekk.

"dides; that is to say, not filled up in "the middle with rubble, in the usual "manner of the Greeks, but constructed "throughout the whole thickness of "squared stones, cramped together with "metal." Leake's Topography of Athens, p. 343. This then decides the meaning of ἐγγώνιοι, which itself might signify polygonal stones, as well as quadrangular stones or parallelograms. And it appears by the engravings given in sir W. Gell's Argolis of the eastern wall of Tiryns and the south wall of the citadel of Mycenæ, that although both of these are built of stones of irregular forms, yet the stones of the latter only are properly polygonal, being cut so as to fit into each other; while in the wall of Tiryns the masses of stone are quite shapeless, and the interstices between them are filled up with small stones, as in the common walls of the north of England. The stones of the walls at Mycenæ then were ἐν τομῇ ἐγγώνιοι, "cut into an angular form," (literally "made angular in cutting;" comp. II. 76, 4. ἀπὸ τῆς τομῆς, "from the point "where the stones had been cut,") and so also are the stones of the walls of Cossa or Cosa in Etruria. (See Micali, Tavole, Tav. X.) But those of the Piræus were not only angular, but squared, like the later Greek and Roman style; or like the walls of some of the Etruscan towns, e. g. of Fæsulæ and Volaterra.

7. προσέκειτο] Suidas, προσέκειτο, προσεῖχε. Θουκυδ. α'. Duk.

IONIA. A. C. 478. Olymp. 75. 3.

Βυζάντιον Μήδων ἐχόντων, καὶ ἐξεπολιόρκησαν ἐν τῇδε τῇ ἡγεμονίᾳ. XCV. ἤδη δὲ βιαίου ὄντος αὐτοῦ οἵ τε ἄλλοι Ἕλληνες ἤχθοντο, καὶ οὐχ ἥκιστα οἱ Ἴωνες καὶ ὅσοι ἀπὸ βασιλέως νεωστὶ ἠλευθέρωντο· 5 φοιτῶντές τε πρὸς τοὺς Ἀθηναίους ἠξίουν αὐτοὺς ἡγεμόνας σφῶν γενέσθαι κατὰ τὸ ξυγ-

Owing to the unpopularity of Pausanias, the Asiatic Greeks and islanders, and the Greeks of the cities on the Thracian coast,

2. ἤδη om. P. δὲ] om. g. om. et Stephanus, novam periodum orsus ab illis ἐν τῇδε. Sic etiam Goeller. καὶ ante βιαίου omisi cum A.B.C.E.F.G.H.K.L. N.O.P.Q.c.d.e.f.h. om. Bekk. Haack. Popp. Goell. 5. τοὺς ἄλλους ἀθηναίους B.g.h 6. γίγνεσθαι vel γίνεσθαι C.I.K.L.O.P.Q.d.e.i.

1. ἐξεπολιόρκησαν ἐν τῇδε τῇ ἡγεμονίᾳ] Stephens and Göller connect the words ἐν τῇδε τῇ ἡγεμονίᾳ with the following chapter, omitting the conjunction δὲ after ἤδη. But I believe that Thucydides wished to express that Byzantium was taken during the term of Pausanias' command, although it was not till late in the year that the siege was begun, as the expedition to Cyprus had preceded it. After it was taken, Pausanias released the prisoners whom he had captured in it, and made his first proposal to Xerxes to betray the independence of Greece. The letter was taken to Susa, and an answer sent back to Pausanias while he was still in Byzantium ; and after the arrival of this answer, his arrogance became so intolerable, that the Asiatic Greeks put themselves under the protection of Athens, and Pausanias was recalled by his government to give an account of his conduct. This apparently must have happened in the beginning of the year 477 ; and as Dorcis, whom the Spartans sent out to supersede Pausanias about the commencement of the season for military operations, could not prevail on the Asiatic Greeks to acknowledge him as their commander, the Athenian empire may fairly be said to have commenced in the year 477, which is the date fixed by Mr. Fynes Clinton in his Fasti Hellenici. Diodorus says that Pausanias was sent out as ναύαρχος; (book XI. 44.) and the command of the ναύαρχος at this period seems to have lasted ordinarily about two years ; (see note on II. 80, 2.) so that Pausanias was recalled before the natural expiration of his office, and had he fully cleared himself of the charges brought against him, he would have gone out again to resume it ; which is intimated by the expression of Thucydides, c. 95, 6. ἐκεῖνον μὲν οὐκέτι ἐκπέμπουσιν ἄρχοντα ; a needless thing to observe, if the period of his command had already expired ; for the ναύαρχος could not be reappointed. (Xenoph. Hellenic. II. 1, 7.) I am inclined therefore to place the building of the walls of Athens and of Piræus, and also the command of Pausanias, the conquest of Cyprus, and the capture of Byzantium, in the year immediately following the battles of Platæa and Mycale, that is, A. C. 478.

5 στρατοπέδου ὕστερον ἀφικνεῖται ἐς Ἔφεσον. καὶ ὁ Θεμιστοκλῆς ἐκεῖνόν τε ἐθεράπευσε χρημάτων δόσει (ἦλθε γὰρ αὐτῷ ὕστερον ἔκ τε Ἀθηνῶν παρὰ τῶν φίλων καὶ ἐξ Ἄργους ἃ ὑπεξέκειτο), καὶ μετὰ τῶν κάτω Περσῶν τινὸς πορευθεὶς ἄνω ἐσπέμπει γράμματα ὡς βασιλέα Ἀρταξέρξην τὸν 5
6 Ξέρξου νεωστὶ βασιλεύοντα. ἐδήλου δ' ἡ γραφὴ ὅτι "Θεμι-"στοκλῆς ἥκω παρὰ σὲ, ὃς κακὰ μὲν πλεῖστα Ἑλλήνων "εἴργασμαι τὸν ὑμέτερον οἶκον, ὅσον χρόνον τὸν σὸν πατέρα "ἐπιόντα ἐμοὶ ἀνάγκῃ ἠμυνόμην, πολὺ δ' ἔτι πλείω ἀγαθὰ, "ἐπειδὴ ἐν τῷ ἀσφαλεῖ μὲν ἐμοὶ, ἐκείνῳ δὲ ἐν ἐπικινδύνῳ 10
7 "πάλιν ἡ ἀποκομιδὴ ἐγίγνετο. καί μοι εὐεργεσία ὀφείλεται," (γράψας τὴν ἐκ Σαλαμῖνος προάγγελσιν τῆς ἀναχωρήσεως,

3. ὕστερον αὐτῷ K. 4. ὑπερεξέκειτο K. 5. ὡς g. πρὸς C.G.L.O.P.e. A.B.E. et vulgo εἰς. Poppo *ἐς*. ἀρταξέρξην G. ἀρτοξέρξην A.B.C.E.F. Bekk. Sic infra IV. 50, 3. c. et VIII. 5, 4. C. 6. βασιλεύσαντα h. 7. σοὶ g. ἑλλήνων] om. Q. τῶν ἑλλήνων K. 9. δέ τι G.L.O. 10. δὲ ἐπὶ κινδύνῳ K. 11. ἐγένετο K.c. 12. γράψαντι Q. τὴν ἐκ A.B.E.F.H.K.V.c.g. Poppo. Goell. Bekk. C.G. et vulgo τήν τε ἐκ.

ἀγκύρᾳ. Diodor. XX. Τὰς ἀγκύρας ἀφέντες, ὡς ἂν δυσὶ σταδίοις ἀπὸ τῆς γῆς ἀποσαλεύειν. absolute, uti noster, Aristot. Hist. An. et Dio, et Dion. Halicarn. VII. 37. Simile quid, et ad hoc exemplum fecit apud Appian. Civ. IV. p. 617. Rebulus. WASS. Add. Steph. Thesaur. Corn. Nepos vertit: *procul ab insula in salo navem tenuit in ancoris.* Quod in Gloss. exponitur *amoveo*, fortassis κατ' ἔλλειψιν dictum est, pro *amoveo a portu.* DUKER.

12. τὴν ἐκ Σαλαμῖνος προάγγελσιν κ.τ.λ.] It seems almost inconceivable that after the event of the battle of Salamis, and the public honours paid to Themistocles for the ability which he had displayed in effecting it, he could still venture to plead as a merit with the Persian king the secret message which he had sent to Xerxes, acquainting him with the intended retreat of the Greek fleet. (See Herodotus, VIII. 75.) And it should be observed, that Themistocles in his letter speaks of his services to the king as consisting in favouring his retreat, when he could serve him without certain ruin to himself. It has therefore seemed to me not improbable that the words τὴν ἀναχωρήσεως, allude to the warning to retreat without delay, which Themistocles sent to Xerxes after the battle, (Herodot. VIII. 110.) although, according to Herodotus, that message was sent not from Salamis, but from Andros. Thucydides, however, may have either had some grounds for stating that it was sent from Salamis, or it may have been an oversight, in alluding incidentally to the transaction. And τὴν προάγγελσιν τῆς ἀναχωρήσεως, "His warning him "to retreat," would then resemble the expression ναῦς περιήγγελλον, Thucyd. II. 85. "They sent round a requisition "for ships." Yet it is fair to mention, that in the second message sent by Themistocles to Xerxes, in which he advised him to retreat, he is said, even after the battle of Salamis, to have sent the very same messenger whom he had employed on his former treacherous message before the battle, as if his devotion to the king's cause had not been rendered more suspicious by the result of the battle. He may therefore have appealed to that first message as a proof of his fidelity even some years later.

ASIA. A. C. 466. Olymp. 78. 3.

καὶ τὴν τῶν γεφυρῶν, ἣν ψευδῶς προσεποιήσατο, τότε δι' αὐτὸν οὐ διάλυσιν) "καὶ νῦν ἔχων σε μεγάλα ἀγαθὰ δρᾶσαι "πάρειμι, διωκόμενος ὑπὸ τῶν Ἑλλήνων διὰ τὴν σὴν "φιλίαν. βούλομαι δ' ἐνιαυτὸν ἐπισχὼν αὐτός σοι περὶ ὧν 8 5 "ἥκω δηλῶσαι." CXXXVIII. βασιλεὺς δὲ, ὡς λέγεται,

He dies in exile, after receiving the most liberal treatment from Artaxerxes. His character.

ἐθαύμασέ τε αὐτοῦ τὴν διάνοιαν, καὶ †ἐκέλευε† ποιεῖν οὕτως. ὁ δ' ἐν τῷ χρόνῳ ὃν ἐπέσχε τῆς 2 Περσίδος γλώσσης ὅσα ἠδύνατο κατενόησε καὶ τῶν ἐπιτηδευμάτων τῆς χώρας· ἀφικόμενος 10 δὲ μετὰ τὸν ἐνιαυτὸν γίγνεται παρ' αὐτῷ μέγας καὶ ὅσος

1. τὴν] om. g. τότε] τε E.F. προσεποιεῖτο I. 2. οὐ] om. d. ἔχω Q. σοι c. 3. πάρειμι] παρὰ μήδων d.i. 5. ὡς] om. i. 6. ἐκέλευε A.B.C.E.F. H.V.c.g.h. Goell. Bekk. ἐκέλευ[σ]ε Poppo. G. et vulgo ἐκέλευσε. 7. τῆς περσίδος A.B.E.F.G.K.N.c.d.e.f.g.h.i. Poppo. Goell. Bekk. vulgo τῆς τε περσίδος. 8. γλώττης L.O.P. ἐδύνατο V. Bekk. 10. δὲ] om. P. τὸν] om. e.

1. τὴν τῶν γεφυρῶν—οὐ διάλυσιν] Thucydides et ejus exemplo alii sæpe particulam negativam præponunt substantivis. Sic ἡ οὐ περιτείχισις, quod e Thucydide (III. 95, 2.) adfert Eustath. ad Homer. Il. α'. p. 111. pro τὸ ἀτείχιστον, ut ille dicit. Rurs. Thucyd. V. 50, 4. ἡ οὐκ ἐξουσία τῆς ἀγωνίσεως, quod Schol. exponit τὸ μὴ ἐξεῖναι ἀγωνίζεσθαι. (Add. V. 35, 2. τὴν—οὐκ ἀπόδοσιν.) Et Euripid. Hippol. v. 196. οὐκ ἀπόδειξις. Hæc et plura hujus generis adnotarunt Scaliger ad Catull. Carm. LXV. v. 83. Casaubon. ad Dionys. Halic. X. 669. et Henr. Steph. ad Corinth. de Dialect. Art. XL. Duk.

6. †ἐκέλευε†] This is the reading of the best MSS. which Bekker restored, and which Göller has retained; nor have I ventured to reject it, because we cannot be certain that Thucydides never used the imperfect tense carelessly, where his own general practice, and the constant use of subsequent writers, would require the aorist. Yet I have marked the word as suspicious, because the examples out of Herodotus of the alleged use of the imperfect for the aorist do not apply here. There (Herod. VIII. 61, 1.) the scene is brought forward in as lively a manner as possible, and the imperfect tense will either signify, "began to do so and so," or, as if the reader had the whole picture present to his mind, it may signify, "there was "Adimantus ordering him to he si- "lent, &c." And the same may be said of another passage in Herodotus, VIII. 58, 1. where ἐκέλευε, occurring in the report of a conversation between Eurybiades and Themistocles, seems to resemble the use of the infinitive mood in similar circumstances in Latin: "Tum Eurybiades jubere," &c. But in Thucydides, where the style is that of the plainest narrative, without any thing of a dramatic or lively character, ἐκέλευε instead of ἐκέλευσε could be little else than an absolute solecism.

8. ὅσα ἠδύνατο] This simple statement, when contrasted with the exaggeration of Cornelius Nepos, serves admirably to shew the difference between a sensible man who loved truth, and the careless folly of that most worthless class of writers, the second and third rate historians of Greece and Rome. Thucydides says, "that The- "mistocles learnt as much of the Per- "sian language as he could;" Cornelius Nepos tells us, that he became so perfectly master of it, "ut multo "commodius dicatur apud regem verba "fecisse, quam hi poterant qui in Per- "side erant nati."

οὐδείς πω Ἑλλήνων διά τε τὴν προϋπάρχουσαν ἀξίωσιν καὶ τοῦ Ἑλληνικοῦ ἐλπίδα, ἣν ὑπετίθει αὐτῷ δουλώσειν, μάλιστα 3 δὲ ἀπὸ τοῦ πεῖραν διδοὺς ξυνετὸς φαίνεσθαι. ἦν γὰρ ὁ Θεμιστοκλῆς βεβαιότατα δὴ φύσεως ἰσχὺν δηλώσας καὶ διαφερόντως τι ἐς αὐτὸ μᾶλλον ἑτέρου ἄξιος θαυμάσαι· 5 οἰκείᾳ γὰρ ξυνέσει, καὶ οὔτε προμαθὼν ἐς αὐτὴν οὐδὲν οὔτ' ἐπιμαθών, τῶν τε παραχρῆμα δι' ἐλαχίστης βουλῆς κράτιστος γνώμων, καὶ τῶν μελλόντων ἐπὶ πλεῖστον τοῦ γενη-4 σομένου ἄριστος εἰκαστής. καὶ ἃ μὲν μετὰ χεῖρας ἔχοι, καὶ ἐξηγήσασθαι οἷός τε· ὧν δὲ ἄπειρος εἴη, κρῖναι ἱκανῶς οὐκ 10 5 ἀπήλλακτο. τό τε ἄμεινον ἢ χεῖρον ἐν τῷ ἀφανεῖ ἔτι 6 προεώρα μάλιστα. καὶ τὸ ξύμπαν εἰπεῖν, φύσεως μὲν δυνάμει

1. πω] τῶν K. Ἑλλήνων—τοῦ] om. g. τε] om. C.e. 2. ἐπετίθει c. 5. ἐς—προμαθὼν] om. L.O. αὐτὸν I.e. 7. τῶν μὲν παρόντων Cic. ad Attic. 10, 8. 8. γνώμην e. καὶ τῶν] τῶν δὲ Cic. μενόντων I. τοῦ γενησομένου] margo d.i. 9. ἔχει C.K.P. 10. εἴη, κρῖναι] ἐπικρῖναι Dionysius. 11. τὸ ἄμεινον καὶ τὸ χεῖρον Cic. 12. μάλιστα] om. Dionys.

2. τοῦ Ἑλληνικοῦ ἐλπίδα—δουλώσειν] "The hope with respect to Greece "which he held out to him, namely, "that he would enable him to conquer "it." Δουλώσειν, scil. αὐτὸ, τὸ Ἑλληνικὸν, is added as an explanation of the words τοῦ Ἑλληνικοῦ ἐλπίδα. Compare IV. 125, 1. ὅπερ φιλεῖ μεγάλα στρατόπεδα ἀσαφῶς ἐκπλήγνυσθαι.

9. καὶ ἃ μὲν μετὰ χεῖρας ἔχοι κ. τ. λ.] "What things he was practically versed "in, the same he was well able to con-"duct to their issue: and even where "the matter was out of his own ex-"perience, he was not unable to form "a sufficient judgment of it." It should be remembered that τὸ κρῖναι, or the common sense judgment which men may pass upon subjects which are not within their own peculiar study or possession, was constantly distinguished among the Greeks from that full knowledge, whether theoretical or practical, which enables men not only to judge of things when done, but to do them themselves. See II. 40, 3. VI. 39, 1. and Aristotle's Politics, III. 7. ed. Oxford. And on this principle the people at large were considered competent judges of the conduct of their magistrates, though they might be very unfit to be magistrates themselves. The expression μετὰ χεῖρας belongs apparently to the original signification of μετὰ, which is connected with μέσος, *medius*, and with the German *mit*, *mittel*, and the English *mid*, *middle*. Its subsequent meaning of "after" flows from the notion of one thing being taken with another, being connected with it, attached to it, and hence following it. Μετὰ χεῖρας ἔχοι seems to answer to our English expression, "whatever he happened to "have on his hands;" i. e. whatsoever his hands were engaged in. Ἐξηγήσασθαι is, "to have the chief conduct "or direction of a thing; to bring it to "its issue." Compare V. 66, 2.

12. φύσεως μὲν δυνάμει κ. τ. λ.] "In "a word, with natural powers thus "extraordinary, and acquired learning "thus scanty, he was of all men the "most excellent in determining on a "moment's notice what was fitting to "be done." His wisdom was so little the result of study, that sudden emergencies did not perplex him, as they would those who being accustomed to trust wholly to it are called on at once to act without it.

μελέτης δὲ βραχύτητι κράτιστος δὴ οὗτος αὐτοσχεδιάζειν τὰ δέοντα ἐγένετο. νοσήσας δὲ τελευτᾷ τὸν βίον· λέγουσι δέ 7 τινες καὶ ἑκούσιον φαρμάκῳ ἀποθανεῖν αὐτὸν, ἀδύνατον νομίσαντα εἶναι ἐπιτελέσαι βασιλεῖ ἃ ὑπέσχετο. μνημεῖον μὲν 8 5 οὖν αὐτοῦ ἐν Μαγνησίᾳ ἐστὶ τῇ Ἀσιανῇ ἐν τῇ ἀγορᾷ· ταύτης γὰρ ἦρχε τῆς χώρας, δόντος βασιλέως αὐτῷ Μαγνησίαν μὲν ἄρτον, ἣ προσέφερε πεντήκοντα τάλαντα τοῦ ἐνιαυτοῦ, Λάμψακον δὲ οἶνον (ἐδόκει γὰρ πολυοινότατον τῶν τότε εἶναι), Μυοῦντα δὲ ὄψον. τὰ δὲ ὀστᾶ φασὶ κομισθῆναι 9

2. δέοντα] ὄντα G. 3. θανατῳ pro φαρμάκῳ G. 5. οὖν] om. d. 6. γὰρ] μὲν d. διδόντος A. 7. ἄρτου i. et mox οἴνου et ὄψου (ν supra scr.). 8. τῶν τότε πολυοινότατον e.

4. μνημεῖον] Pro μνῆμα agnoscit Pollux IX. 15. ut huic peculiare. illud passim apud Demosth. Xenoph. Pausan. Plutarch. et ipsummet Herodotum VII. 167, 2. qui et μνημήϊον pro memoriali posuit II. 126. WASS.

6. Μαγνησίαν μὲν ἄρτον κ. τ. λ.] In the same manner we read in Herodotus, II. 98, 1. of a city in Egypt given always to the reigning queen of Persia to supply her with shoes; of four villages near Babylon devoted to the maintenance of the satrap's hounds; I. 192, 5. of some villages given to Parysatis, the mother of Artaxerxes Mnemon, to provide her with the jewels for her girdle; (Xenophon Anabas. I. 4, 9.) and of others which were to provide the queen with her veil, and with the several other articles of her dress, (Plato, Alcibiad. I. c. 40. p. 123.) In all these cases it means that the land tax, or rather rent, which was always paid to the absolute monarchs of the East, as an acknowledgment that the property of all the soil was theirs, and which amounted generally to the tenth part of the produce, but sometimes, as in Egypt, (Genesis xlvii. 24. 26.) to the fifth part, was given by the king to Themistocles, to the queen, and to the satrap, under the title of furnishing them with certain articles of their establishment. In Greece and Italy all conquered land, and generally all land which had not been divided out amongst the citizens of the state by a regular assignment, was accounted national property, and the holders of it being tenants, and not proprietors, regularly paid, or were bound by law to pay, their tithes to the government. [The statements in this note have been objected to by the writer, I believe Mr. Long, who reviewed the first volume of the former edition in the Journal of Education, No. VII. I believe however that they are in accordance with what Niebuhr has said in his great chapter on the Roman Agrarian laws, and if so, I cannot but consider any defence of them as superfluous.]

8. Λάμψακον] Hinc ejus ad servulos dictum, Ὦ παῖδες, ἀπολώμεθα ἄν, εἰ μὴ ἀπολώμεθα l. ἀπολώλειμεν, Plutarch. p. 328. WASS.

9. ὄψον] Bread and wine being considered the main supports of human life, all additional articles of food, such as meat, fish, or vegetables, were called by the common name of ὄψον. See Xenophon, Œconomic. 5, 3. and the expression in Homer, Iliad XI. 629. κρόμυον ποτῷ ὄψον. In later writers the word was applied particularly to fish, and so Diodorus understands it here, as he observes that Myus was chosen to provide ὄψον, because it had near it θάλασσαν εὔιχθυν. But its signification in Thucydides is probably much more extensive.

αὐτοῦ οἱ προσήκοντες οἴκαδε κελεύσαντος ἐκείνου καὶ τεθῆναι κρύφα Ἀθηναίων ἐν τῇ Ἀττικῇ· οὐ γὰρ ἐξῆν θάπτειν ὡς 10 ἐπὶ προδοσίᾳ φεύγοντος. τὰ μὲν κατὰ Παυσανίαν τὸν Λακεδαιμόνιον καὶ Θεμιστοκλέα τὸν Ἀθηναῖον, λαμπροτάτους γενομένους τῶν καθ' ἑαυτοὺς Ἑλλήνων, οὕτως ἐτελεύτησεν. 5

A. C. 432. Olymp. 87. 1. Thucydides then resumes his story from chap. 127. After some fruitless negotiation, ambassadors are sent to Athens with the final demands of the Lacedæmonians, "that "every Greek state "should be restored to 2 "independence." Pericles urges the Athenians not to comply with them.

CXXXIX. Λακεδαιμόνιοι δὲ ἐπὶ μὲν τῆς πρώτης πρεσβείας τοιαῦτα ἐπέταξάν τε καὶ ἀντεκελεύσθησαν περὶ τῶν ἐναγῶν τῆς ἐλάσεως· ὕστερον δὲ φοιτῶντες παρ' Ἀθηναίους Ποτιδαίας τε ἀπανίστασθαι ἐκέλευον καὶ Αἴγιναν αὐτόνομον ἀφιέναι, καὶ 10 μάλιστά γε πάντων καὶ ἐνδηλότατα προὔλεγον τὸ περὶ Μεγαρέων ψήφισμα καθελοῦσι μὴ ἂν γίγνεσθαι πόλεμον, ἐν ᾧ εἴρητο αὐτοὺς μὴ χρῆσθαι τοῖς λιμέσι τοῖς ἐν τῇ Ἀθηναίων ἀρχῇ μηδὲ τῇ Ἀττικῇ ἀγορᾷ. οἱ δ' Ἀθηναῖοι 15 οὔτε τἆλλα ὑπήκουον οὔτε τὸ ψήφισμα καθῄρουν, ἐπικαλοῦντες ἐπεργασίαν Μεγαρεῦσι τῆς

1. αὐτοῦ ὑπὸ τῶν προσηκόντων f. 2. κρύφα Ἀθ.] om. Q. ὡς] om. K. 3. φυγόντος G.L.O.P. 7. ἔπραξάν G.e. ἔταξάν E. 9. ἐπανίστασθαι d. 11. προὔλεγον Bekk. 12. καθελοῦσι—ψηφίσματα] om. e. 13. γίγνεσθαι vel γίνεσθαι B.E.F.G.H.I.L.O.P.Q.V.g.h. Haack. Poppo. Goell. Bekk. A.C. et vulgo γενέσθαι. αὐτοῖς c.d.i. 15. Ante ἀττικῇ litteras duas deletas F. 16. τὸ] om. C.L.O. 17. τοῖς μεγαρεῦσι V.

1. καὶ τεθῆναι] Confer Cl. Whelerum Itinerar. 419. Wass.

2. οὐ γὰρ ἐξῆν θάπτειν etc.] Vide Pausaniam in initio Atticorum. Petiti leges Atticas, p. 562. et Meursii Them. Attic. l. 2. c. 2. Huds. Add. Kirchmann. de Funeribus Rom. Append. C. VII. et Interpretes Æliani IV. V. H. 7. Valesius ad Notas Maussaci in Harpocration. v. Ὀργὰς, scribit, sacrilegos et proditores, quos in Attica sepeliri fas non erat, in Ὀργάδα, inter Atticam et Megaridem, projectos fuisse. Non scio, quo auctore hoc prodiderit. Nam neque ab iis, quos ibi laudat, neque ab aliis, qui de hac pœna proditorum egerunt, quidquam hujusmodi traditum invenio. Ex eo autem, quod e Telete descripsit Stobæus Serm. XL. p. 233. τοὺς ἀσεβεῖς τῶν Ἀθηναίων in Megaride sepeliri, non satis liquet, eos in Orgadem, quem locum Deabus sacrum fuisse dicit Helladius, de quo ad Cap. seq. adjectos fuisse. Nec credo de eodem loco agere Helladium et Teletem. Duk.

17. ἐπικαλοῦντες ἐπεργασίαν κ. τ. λ.] The land on the frontiers was consecrated to prevent it from being enclosed; in which case the boundaries might have been a subject of perpetual disputes between the two nations. Land thus unenclosed was strictly a common pasture, on which any one might feed cattle, but none might break it up or appropriate it. It was therefore ἀόριστος, "not yet divided by landmarks," which were only placed when the land was brought into cultivation, and distributed among particular individuals. On this

γῆς τῆς ἱερᾶς καὶ τῆς ἀορίστου καὶ ἀνδραπόδων ὑποδοχὴν τῶν ἀφισταμένων. τέλος δὲ ἀφικομένων τῶν τελευταίων 3 πρέσβεων ἐκ Λακεδαίμονος, Ῥαμφίου τε καὶ Μελησίππου καὶ Ἀγησάνδρου, καὶ λεγόντων ἄλλο μὲν οὐδὲν ὧν πρότερον 5 εἰώθεσαν, αὐτὰ δὲ τάδε ὅτι "Λακεδαιμόνιοι βούλονται τὴν "εἰρήνην εἶναι, εἴη δ' ἂν εἰ τοὺς Ἕλληνας αὐτονόμους "ἀφεῖτε," ποιήσαντες ἐκκλησίαν οἱ Ἀθηναῖοι γνώμας σφίσιν αὐτοῖς προὐτίθεσαν, καὶ ἐδόκει ἅπαξ περὶ ἁπάντων βουλευσαμένους ἀποκρίνασθαι. καὶ παριόντες ἄλλοι τε πολλοὶ 4 10 ἔλεγον, ἐπ' ἀμφότερα γιγνόμενοι ταῖς γνώμαις, καὶ ὡς χρὴ πολεμεῖν, καὶ ὡς μὴ ἐμπόδιον εἶναι τὸ ψήφισμα εἰρήνης ἀλλὰ καθελεῖν· καὶ παρελθὼν Περικλῆς ὁ Ξανθίππου, ἀνὴρ κατ' ἐκεῖνον τὸν χρόνον πρῶτος Ἀθηναίων, λέγειν τε καὶ πράσσειν δυνατώτατος, παρῄνει τοιάδε.

15 CXL. "ΤΗΣ μὲν γνώμης, ὦ Ἀθηναῖοι, ἀεὶ τῆς αὐτῆς "ἔχομαι, μὴ εἴκειν Πελοποννησίοις, καίπερ εἰδὼς τοὺς "ἀνθρώπους οὐ τῇ αὐτῇ ὀργῇ ἀναπειθομένους "τε πολεμεῖν καὶ ἐν τῷ ἔργῳ πράσσοντας,

SPEECH OF PERICLES. (140—144.) He alarms the pride

1. ἀρίστου L.O.P.Q. 2. τῶν τε τελευτ. F. 3. μελσίππου K. μελλησίππου B.e. μελλισίππου C. μελισίππου F. μελησικου g. 4. ἀγισάνδρου F.V. ἄλλως i. 5. τὴν] om. K.P.d. 6. εἶναι] ἄγειν εἶναι K. εἰ] ἦν L.N.P. 7. ἀφῆτε A.B. F.H.I.L.N.O.V.g.h. ποιήσαντες οὖν ἐκκλησίαν f. 8. προυτίθεσαν Bekk. 9. ἀποκρίνασθαι A.B.C.E.F.G.H.L.N.O.Q.V.e.f.g.h. Haack. Poppo. Goell. Bekk. vulgo ἀποκρίνεσθαι. παρόντες K.L.O. πολλὰ H. 11. τῆς εἰρήνης K. 12. καθελεῖν τὸν πόλεμον K.c. et inter versus g. ὁ περικλῆς L.O.P. 14. πράττειν K. τάδε A.L.O.P. 15. τῆς αὐτῆς ἀεὶ f. 16. μὴ] om. e. 17. ὁρμῇ e. et corr. G.

common land the Israelite patriarchs fed their flocks and herds all over Canaan without disturbance; but when they wanted a piece of ground for a burial-place, which would thus become their absolute property, a regular sale of the ground on the part of the nation to whom it belonged was necessary. It is well known that the devotion of any portion of land as sacred to any god, rendered it impious to enclose and cultivate it. Hence the policy of the law laid down by Cicero in his Utopian Constitution, and which he borrowed from Plato, "ne quis agrum consecrato;" as such consecrations were so many barriers to the progress of agriculture. See Cicero de Legibus, II. 9. 18.

1. ἀνδραπόδων] Aspasiæ servos. v. Athenæum p. 570. et Aristoph. Acharn. 525. et Schol. Vide et Aristot. Eth. [Eudem. vii. 2, 11.] p. 189. Sylburg. Οὐκέτι γιγνώσκουσιν Ἀθηναῖοι Μεγαρῆας. Wass.

17. ὀργῇ] Hunc locum innuit Suidas in εὐοργήτως. Ὀργὴ, inquit, ὁ τρόπος, ita Schol. Thucyd. et Schol. Nicandri, p. 71. Ald. in Ed. Sophocles Ajace 1153. pro studio: ἐμφερὴς ἐμοὶ, ὈΡΓΗΝ θ' ὅμοιος. Clare Theognis: Κύρνε φίλους κατὰ

ATHENS. A.C. 432. Olymp. 87.1.

of the Athenians by dwelling on the insulting tone of the Lacedæmonian demands, and assures them that compliance now would only provoke further trials of their patience.

" πρὸς δὲ τὰς ξυμφορὰς καὶ τὰς γνώμας τρε-
2 " πομένους. ὁρῶ δὲ καὶ νῦν ὁμοῖα καὶ παρα-
" πλήσια ξυμβουλευτέα μοι ὄντα, καὶ τοὺς
" ἀναπειθομένους ὑμῶν δικαιῶ τοῖς κοινῇ
" δόξασιν, ἤν ἄρα τι καὶ σφαλλώμεθα, βοη- 5
" θεῖν, ἢ μηδὲ κατορθοῦντας τῆς ξυνέσεως
3 " μεταποιεῖσθαι. ἐνδέχεται γὰρ τὰς ξυμφορὰς τῶν πραγμά-
" των οὐχ ἧσσον ἀμαθῶς χωρῆσαι ἢ καὶ τὰς διανοίας τοῦ
" ἀνθρώπου· διόπερ καὶ τὴν τύχην, ὅσα ἂν παρὰ λόγον
4 " ξυμβῇ, εἰώθαμεν αἰτιᾶσθαι. Λακεδαιμόνιοι δὲ πρότερόν 10
" τε δῆλοι ἦσαν ἐπιβουλεύοντες ἡμῖν καὶ νῦν οὐχ ἥκιστα.
5 " εἰρημένον γὰρ δίκας μὲν τῶν διαφόρων ἀλλήλοις διδόναι
" καὶ δέχεσθαι, ἔχειν δὲ ἑκατέρους ἃ ἔχομεν, οὔτε αὐτοὶ δίκας
" πω ᾔτησαν οὔτε ἡμῶν διδόντων δέχονται, βούλονται δὲ
" πολέμῳ μᾶλλον ἢ λόγοις τὰ ἐγκλήματα διαλύεσθαι, καὶ 15

3. ὄντα] εἶναι g. 4. δικαιῶ post δόξασιν V. 5. δοξάσασιν K. καὶ] om. d. σφαλλώμεθα A.B.C.E.F.H.K.d. et pr. G. Poppo. Goell. Bekk. corr. G. et vulgo σφαλώμεθα. 7. ἀντιποιεῖσθαι Q. 9. παρὰ λόγον A.E.F.G.H.N.Q.V.g. Haack. Poppo. Goell. Bekk. παράλογον B.K.c.f. C. et vulgo παραλόγως. 10. δὲ καὶ πρότερον K. 12. εἰρημένων C. διαφορῶν F.H.L.N.O.V.g. Haack. Poppo. 14. πω] om. K. 15. τὰ] τε P.

πάντας ἐπίστρεφε ποικίλον ἮΘΟΣ, ὈΡΓΗΝ συμμίσγων ἥν τιν' ἕκαστος ἔχει. Πουλύπου ὈΡΓΗΝ ἴσχε πολυπλόκου, ὃς ποτὶ πέτρῃ Τῇ προσομιλήσει τοῖος ἰδεῖν ἐφάνη. Vid. Indicem. Alcman. apud Schol. in Hippocr. ὀργὰς τοὺς τρόπους ἐκάλουν, ut Alcman. ἐν μὲν ἀνθρώπῳ ὈΡΓΑΙ βεβριμέναι μυρίαι. Pindarus Pyth. θ'. Καὶ γάρ σε—Ἔτραπε μείλιχος ὈΡΓΑ Παρφάμεν τοῦτον λόγον. Suidas iterum in ὀργῇ, pro διανοίᾳ, τρόπῳ, σκοπῷ. Confer Diodor. XII. 307. a. et Aristoph. Εἰρ. 602. 608. WASS. Suidas in ὀργῇ descripsit Schol. ad h. l. in εὐοργήτως ad cap. CXXX. ubi vid. DUK.

7. ἐνδέχεται γὰρ—αἰτιᾶσθαι] "Your "minds must be prepared for unex-"pected reverses; for events are as "little to be surely calculated upon as "the counsels of men; and therefore "we acknowledge Fortune as the author "of all such things as fall out beyond "our expectation;" that is to say, by familiarly ascribing to Fortune all things that happen contrary to reasonable expectation, we admit the existence of a power in its very essence capricious and irregular, by which we may expect the course of events to be often interrupted, in a manner that could not before have been calculated on. Ἀμαθῶς means, "in a manner past learning;" so that they are not subject to any fixed rules or principles. See the note on ἀπίστως, I. 21, 1. For the sentiment, compare c. 122, 2. ἥκιστα πόλεμος ἐπὶ ῥητοῖς χωρεῖ. Göller understands this passage to contain the reason, "cur "qui sententias temere mutant, etiamsi "bene iis succedat, prudentiæ sibi lau-"dem vindicare non debeant, posse "enim etiam imperita consilia Fortuna "adjuvari; quare ab iis quorum expec-"tationi prosper eventus non respon-"derit, non sua consilia, sed Fortunæ "ludos incusari."

" ἐπιτάσσοντες ἤδη καὶ οὐκέτι αἰτιώμενοι πάρεισι. Ποτι- 6
" δαίας τε γὰρ ἀπανίστασθαι κελεύουσι καὶ Αἴγιναν αὐτό-
" νομον ἀφιέναι καὶ τὸ Μεγαρέων ψήφισμα καθαιρεῖν· οἱ δὲ
" τελευταῖοι οἵδε ἥκοντες καὶ τοὺς Ἕλληνας προαγορεύουσιν
5 " αὐτονόμους ἀφιέναι. ὑμῶν δὲ μηδεὶς νομίσῃ περὶ βραχέος 7
" ἂν πολεμεῖν, εἰ τὸ Μεγαρέων ψήφισμα μὴ καθέλοιμεν,
" ὅπερ μάλιστα προὔχονται, εἰ καθαιρεθείη, μὴ ἂν γίγνεσθαι
" τὸν πόλεμον· μηδ' ἐν ὑμῖν αὐτοῖς αἰτίαν ὑπολίπησθε ὡς
" διὰ μικρὸν ἐπολεμήσατε. τὸ γὰρ βραχύ τι τοῦτο πᾶσαν 8
10 " ὑμῶν ἔχει τὴν βεβαίωσιν καὶ πεῖραν τῆς γνώμης. οἷς εἰ 9
" ξυγχωρήσετε, καὶ ἄλλο τι μεῖζον εὐθὺς ἐπιταχθήσεσθε ὡς
" φόβῳ καὶ τοῦτο ὑπακούσαντες· ἀπισχυρισάμενοι δὲ σαφὲς
" ἂν καταστήσαιτε αὐτοῖς ἀπὸ τοῦ ἴσου ὑμῖν μᾶλλον προσ-

1. οὐκέτι] οὐκ G. πάρεισι] ἥκουσι L.O.P. 2. κελεύουσιν ἀπανίστασθαι V. 4. οἵδε] ἤδη d.i. 5. δὲ] μὲν L. βραχέος A.B.C.F.G.d. Poppo. Goell. Bekk. E. et vulgo βραχέως. 6. ἂν] om. d. 7. προὔχονται Bekk. γενέσθαι d. 8. τὸν] om. K.d. μηδὲν E. ὑπολείπεσθε L.P. ὑπολείπησθε E.I.e. 9. βραχύ τι τοῦτο A.B.C.F.H.I.L.N.O.P.V.d.e.h.i. Haack. Poppo. Goell. Bekk. vulgo βραχὺ τοῦτο. 10. καὶ τὴν πεῖραν d. 11. ξυνχωρέσετε E. 12. ὑπακούσαντες A.B.C.E.F.G.I.K.L.O.P.V.c.d.e.g.h.i. Haack. Poppo. Goell. Bekk. vulgo ὑπακούσοντες. ἀπισχυρισμένοι E. ἐπισχυρισάμενοι c. 13. καταστήσηται (αι ε) C. καταστήσαιτε B.G.g.h. Bekk. καταστήσετε A.E.F.H.K.V.d. Poppo. Goeller. καταστήσατε I. vulgo καταστήσητε.

3. τὸ Μεγαρέων ψήφισμα] Vide Toll. ad Apollon. Soph. p. 737. Bekker.

9. τὸ γὰρ βραχύ τι κ. τ. λ.] "For in "this little matter there is contained "absolutely and entirely the confirma- "tion and trial of your resolution." "The confirmation and trial" is, "the "confirmation as the last result, fol- "lowing from the trial." Compare, if I may venture to sink for a moment the difference of the subject and refer only to the similarity of the thought, the passage in the Romans, V. 4. ἡ δὲ ὑπομονὴ δοκιμήν, ἡ δὲ δοκιμὴ ἐλπίδα. (κατεργάζεται.) Dobree proposes to read in the next line ἧς εἰ ξυγχωρήσετε, "of "which resolution if you recede from "any part." But compare a similar passage, IV. 26, 4. οὓς ᾤοντο ἡμερῶν ὀλίγων ἐκπολιορκήσειν, where the relative in like manner has no regular antecedent, but must be resolved in English into the demonstrative pronoun, with such a conjunction as the sense requires. And the person referred to may just as easily be understood at the beginning of the sentence as it must otherwise be at any rate a few lines lower, where we have the pronoun αὐτοῖς equally without any noun preceding.

10. ἔχει τὴν βεβαίωσιν καὶ πεῖραν] "Furnishes you with an opportunity of "confirming your resolution, while it "tries it." It would confirm their resolution, and secure it against future attempts of the enemy, for the reason given two lines afterwards, ἀπισχυρισάμενοι δὲ σαφὲς ἂν καταστήσαιτε κ. τ. λ. Ἔχει here exactly agrees with Göller's explanation of it, quoted in the note to c. 9, 2. "Ansam dat alicui rei."

" φέρεσθαι. CXLI. αὐτόθεν δὴ διανοήθητε ἢ ὑπακούειν
" πρίν τι βλαβῆναι, ἢ εἰ πολεμήσομεν, ὥς ἔμοιγε ἄμεινον
" δοκεῖ εἶναι, καὶ ἐπὶ μεγάλῃ καὶ ἐπὶ βραχείᾳ ὁμοίως προ-
" φάσει μὴ εἴξοντες μηδὲ ξὺν φόβῳ ἕξοντες ἃ κεκτήμεθα·
" τὴν γὰρ αὐτὴν δύναται δούλωσιν ἥ τε μεγίστη καὶ ἐλα- 5
" χίστη δικαίωσις ἀπὸ τῶν ὁμοίων πρὸ δίκης τοῖς πέλας
" ἐπιτασσομένη. 2 Τὰ δὲ τοῦ πολέμου καὶ τῶν
" ἑκατέροις ὑπαρχόντων ὡς οὐκ ἀσθενέστερα
" ἕξομεν, γνῶτε καθ' ἕκαστον ἀκούοντες. 3 αὐ-
" τουργοί τε γάρ εἰσι Πελοποννήσιοι καὶ οὔτε 10
" ἰδίᾳ οὔτε ἐν κοινῷ χρήματά ἐστιν αὐτοῖς,
" ἔπειτα χρονίων πολέμων καὶ διαποντίων ἄπειροι διὰ τὸ
4 " βραχέως αὐτοὶ ἐπ' ἀλλήλους ὑπὸ πενίας ἐπιφέρειν. καὶ οἱ

He encourages them by pointing out their advantages over the Peloponnesians from their superior wealth, and superior unity and decision of counsels.

1. δὲ K. 2. βλαβηθῆναι L. πολεμήσαιμεν f.g. ὡς A.B.E.F.G.H. N.V.g.h. Poppo. Goeller. Bekk. C. et vulgo ὥσπερ. ἐμοὶ H.N.g. ἐμοίγε F. ἄμεινον ἔμοιγε εἶναι δοκεῖ f. 4. εἴξαντες G. 5. καὶ ἐλαχίστη A.B.E.F.H.K. N.V.g.h.i. Haack. Poppo. Goeller. Bekk. C.G. et ceteri καὶ ἡ ἐλαχίστη. 6. δικαίως B. 7. καὶ τῶν ἑκατέροις] om. pr. g. 8. ὑπαρχόντων ἑκατέροις g. ὡς] om. d. 10. τε γάρ] δέ K. 11. εἰσιν K.c.d.i. αὐτοῖς] om. C.e. 15. αὐτοῖς E.

4. μὴ εἴξοντες] διανοήθητε μὴ εἴξοντες is harsh Greek undoubtedly, but παρασκευάζεσθε ὡς μὴ εἴξοντες would be correct, and so I think would διανοήθητε ὡς εἴξοντες. And this I believe is what the present text means.

6. ἀπὸ τῶν ὁμοίων] Dobree taking these words as in the neuter gender, and so finding them unintelligible, proposes to strike them out. But δικαίωσις ἀπὸ τῶν ὁμοίων appears to mean, "A "demand proceeding from a man's "equals;" that is what Thucydides calls elsewhere, I. 77, 5. ἀπὸ τοῦ ἴσου πλεονεκτεῖσθαι. And that ὁμοίων will bear exactly the sense of ἴσων is sufficiently shewn by the well known title of ὅμοιοι bestowed on those citizens of Sparta who enjoyed equally the full rights of citizenship.

9. αὐτουργοί] Qui proprie ita dicantur ostendit Perizon. ad Ælian. I. Var. Hist. 31. VII. 5. et XII. 43. Quos hic αὐτουργοὺς, cap. 142. γεωργοὺς vocat. Duker. "They cultivate their lands "themselves, being unprovided with "slaves for that purpose." Compare Xenophon, Œconomic. V. §. 4. τοὺς μὲν αὐτουργοὺς διὰ τῶν χειρῶν γυμνάζουσα (ἡ γῆ) ἰσχὺν αὐτοῖς προστίθησι· τοὺς δὲ τῇ ἐπιμελείᾳ γεωργοῦντας, ἀνδρίζει, πρωΐ τε ἐγείρουσα, καὶ πορεύεσθαι σφοδρῶς ἀναγκάζουσα. The number of slaves in Laconia was a striking exception to the state of the rest of Peloponnesus; where, as in almost all the merely agricultural republics of Greece and Italy, there were in early times extremely few of them. See Herodotus, VI. 137, 4. VIII. 137, 3. Athenæus, VI. 83, &c. Juvenal, Sat. XIV. 168. And we find afterwards that the other states of Peloponnesus were very unwilling to undertake any military operation during harvest time, because their citizens were themselves ordinarily employed at that season in getting in their crops; while to the Lacedæmonians, whose agricultural labours were wholly performed by the Helots, one season of the year was

" τοιοῦτοι οὔτε ναῦς πληροῦντες οὔτε πεζὰς στρατιὰς πολ-
" λάκις ἐκπέμπειν δύνανται, ἀπὸ τῶν ἰδίων τε ἅμα ἀπόντες
" καὶ ἀπὸ τῶν αὑτῶν δαπανῶντες καὶ προσέτι καὶ θαλάσσης
" εἰργόμενοι· αἱ δὲ περιουσίαι τοὺς πολέμους μᾶλλον ἢ αἱ
5 " βίαιοι ἐσφοραὶ ἀνέχουσι. σώμασί τε ἑτοιμότεροι οἱ αὐ- 5
" τουργοὶ τῶν ἀνθρώπων ἢ χρήμασι πολεμεῖν, τὸ μὲν πιστὸν
" ἔχοντες ἐκ τῶν κινδύνων κἂν περιγενέσθαι, τὸ δὲ οὐ
" βέβαιον μὴ οὐ προαναλώσειν, ἄλλως τε κἂν παρὰ δόξαν,
" ὅπερ εἰκὸς, ὁ πόλεμος αὐτοῖς μηκύνηται. μάχῃ μὲν γὰρ 6
10 " μιᾷ πρὸς ἅπαντας Ἕλληνας δυνατοὶ Πελοποννήσιοι καὶ οἱ
" ξύμμαχοι ἀντισχεῖν, πολεμεῖν δὲ μὴ πρὸς ὁμοίαν ἀντιπα-
" ρασκευὴν ἀδύνατοι, ὅταν μήτε βουλευτηρίῳ ἑνὶ χρώμενοι
" παραχρῆμά τι ὀξέως ἐπιτελῶσι, πάντες τε ἰσόψηφοι ὄντες
" καὶ οὐχ ὁμόφυλοι τὸ ἐφ' ἑαυτὸν ἕκαστος σπεύδῃ· ἐξ ὧν
15 " φιλεῖ μηδὲν ἐπιτελὲς γίγνεσθαι. καὶ γὰρ οἱ μὲν ὡς μάλιστα 7
" τιμωρήσασθαί τινα βούλονται, οἱ δὲ ὡς ἥκιστα τὰ οἰκεῖα
" φθεῖραι. χρόνιοί τε ξυνιόντες ἐν βραχεῖ μὲν μορίῳ σκο- 8
" ποῦσί τι τῶν κοινῶν, τῷ δὲ πλέονι τὰ οἰκεῖα πράσσουσι.
" καὶ ἕκαστος οὐ παρὰ τὴν ἑαυτοῦ ἀμέλειαν οἴεται βλάψειν, 9

9. ὅπερ εἰκὸς] om. e. αὐτοῦ d. αὐτοῖς post δόξαν ponit e. μηκύνεται d.e.i. μὲν] om. P. 10. οἱ] ἢ c. om. M. 11. παρασκευὴν d. 13. τε] δὲ O. om. M. 14. οὐχὶ K.d.i. ὑφ' L.O. ἑαυτῶν G.K.L.O. Poppo. Goell. αὐτὸν C. σπεύδει A.F.G.H.I.V.d.e.i. 17. βραχὺ H. 18. πλέονι A.B.C.F.G.H.Q.V.e.f.g.h. Poppo. Haack. Goell. Bekk. ceteri πλείονι. 19. περὶ g. βλάψειν τὰ κοινὰ e.

the same as another. See III. 15, 3. And compare the well known story of Regulus, who petitioned to be relieved in his command in Africa, because the persons whom he paid for looking after his land, not having sufficient slaves to cultivate it, neglected their charge in his absence: as also the story of Cincinnatus, who told his wife, that as he was called to Rome to be dictator, their farm must that year remain unsown.

14. τὸ ἐφ' ἑαυτὸν] Compare for this use of the accusative the expression τὸ ἐπὶ σφᾶς εἶναι, IV. 28, 1. "quod ad se "ipsos attineret." See Kühner, Gr. Gr. §. 557. Anmerk. 4. Jelf, 679. 2.

17. χρόνιοί τε ξυνιόντες] "Conf. Iso-"crat. Nicoclen, p. 30. d." Dobree.

ἐν βραχεῖ μὲν μορίῳ] Stephanus in Thesauro v. μορίον putat deesse χρόνου. In Cass. pro supplemento scriptum est scholion ἡμέρας. Et sic Thucyd. supra cap. 85. ἐν βραχεῖ μορίῳ ἡμέρας· quod cur huic loco non satis convenire existimaverit Stephanus l. d. non scio. Duker.

19. παρὰ τὴν ἑαυτοῦ ἀμέλειαν] This is exactly expressed in vulgar English,

ATHENS. A.C. 432. Olymp. 87. 1.

" μέλειν δέ τινι καὶ ἄλλῳ ὑπὲρ ἑαυτοῦ τι προϊδεῖν, ὥστε τῷ
" αὐτῷ ὑπὸ ἁπάντων ἰδίᾳ δοξάσματι λανθάνειν τὸ κοινὸν
" ἀθρόον φθειρόμενον. CXLII. μέγιστον δὲ τῇ τῶν χρη-
" μάτων σπάνει κωλύσονται, ὅταν σχολῇ αὐτὰ
" ποριζόμενοι διαμέλλωσι· τοῦ δὲ πολέμου οἱ 5
2 " καιροὶ οὐ μενετοί. καὶ μὴν οὐδ' ἡ ἐπιτείχισις
3 " οὐδὲ τὸ ναυτικὸν αὐτῶν ἄξιον φοβηθῆναι. τὴν μὲν γὰρ
" χαλεπὸν καὶ ἐν εἰρήνῃ πόλιν ἀντίπαλον παρασκευάσασθαι,

While their enemies' means of annoying them would be wholly inefficient.

1. μέλλειν K.c.e.h.i. 2. αὐτῷ] om. M. ἁπάντων οἴεται ἰδίᾳ C.G.e. ἰδίῳ K. διὰ c. 3. ἀθρόως F. 4. σπάνῃι E. σχολῇ] om. e. σχολὴν E. 8. κατασκευάσασθαι C.G.L.O.P.e. παρακατασκευάσασθαι d. παρασκευάζεσθαι K. κατασκευάζεσθαι I.

"all *along* of his own neglect," i. e. owing to his own neglect. This sense of παρὰ is unusual; it occurs, however, in Demosthenes, Philippic I. p. 43. ed. Reiske, οὐδὲ γὰρ οὗτος παρὰ τὴν αὑτοῦ ῥώμην τοσοῦτον ἐπηύξηται, ὅσον παρὰ τὴν ἡμετέραν ἀμέλειαν. Compare I. 41, 2. παρὰ τὸ νικᾶν, and the note.

7. τὴν μὲν γὰρ, κ.τ.λ.] The difficulty of this passage has arisen from not perceiving that πόλιν ἀντίπαλον is the accusative case following παρασκευάσασθαι, and not going before it; and that Pericles is distinguishing between two different methods of ἐπιτείχισις, the one by founding a city in the neighbourhood of Athens strong enough to interfere with her trade, and be a check upon her power, πόλιν ἀντίπαλον; the other by merely raising one or two forts in Attica, as strong-holds for plundering parties to keep the country in constant annoyance and alarm. Of these two methods, the first was impracticable; partly from the greatness of Athens, which no newly-founded city even in peace could easily rival; and partly from the impossibility of building a city in an enemy's country, with a neighbour like Athens already on the spot, with far greater means of crippling the power of an infant state than that state could have of injuring her: οὐχ ἧσσον ἐκείνοις ἡμῶν ἀντεπιτετειχισμένων. The second method of ἐπιτείχισις, by raising forts in Attica, φρούριον δ' εἰ ποιήσονται, was practicable perhaps, but would not be able seriously to affect the issue of the war. Instances of the first sort of ἐπιτείχισις, i. e. of a town founded to be a sort of thorn in an enemy's side, are Megara, founded by the Dorians as a check on the Athenian power, after their unsuccessful expedition into Attica in the time of Codrus; Heraclea in Trachinia, built to curb the Thessalians; (Thucyd. III. 92, 93. V. 51.) almost all the Roman military colonies, particularly Placentia and Cremona in Cisalpine Gaul; and in modern times Alessandria in Italy, built by the Guelf cities of Lombardy as a check to the Ghibelin state of Pavia and to the marquis of Montferrat; and Carrouge, intended by the dukes of Savoy to be the rival of Geneva. The construction is, τὴν μὲν γὰρ (ἐπιτείχισιν) χαλεπὸν καὶ ἐν εἰρήνῃ παρασκευάσασθαι; but then as every sort of ἐπιτείχισις was not difficult to carry into effect, Thucydides inserts the words πόλιν ἀντίπαλον as a qualification of the general statement, and an explanation as to what sort of ἐπιτείχισις he was speaking of. Compare a similar insertion of the substantive by way of explanation in VII. 80, 3. οἷον φιλεῖ καὶ πᾶσι στρατοπέδοις μάλιστα δὲ τοῖς μεγίστοις φόβοι καὶ δείματα ἐγγίνεσθαι,—ἐμπίπτει ταραχὴ, where the words φόβοι καὶ δείματα are the explanation of οἷον, just as πόλιν ἀντίπαλον is an explanation of τὴν μέν.

“ ἧπου δὴ ἐν πολεμίᾳ τε καὶ οὐχ ἧσσον ἐκείνοις ἡμῶν ἀντε-
“ πιτετειχισμένων· φρούριον δ' εἰ ποιήσονται, τῆς μὲν γῆς
“ βλάπτοιεν ἄν τι μέρος καταδρομαῖς καὶ αὐτομολίαις, οὐ
“ μέντοι ἱκανόν γε ἔσται ἐπιτειχίζειν τε κωλύειν ἡμᾶς πλεύ-
5 “ σαντας ἐς τὴν ἐκείνων καὶ ἧπερ ἰσχύομεν ταῖς ναυσὶν
“ ἀμύνεσθαι. πλέον γὰρ ἡμεῖς ἔχομεν τοῦ 4
“ κατὰ γῆν ἐκ τοῦ ναυτικοῦ ἐμπειρίας ἢ ἐκεῖνοι
“ ἐκ τοῦ κατ' ἤπειρον ἐς τὰ ναυτικά. τὸ δὲ τῆς θαλάσσης 5
“ ἐπιστήμονας γενέσθαι οὐ ῥᾳδίως αὐτοῖς προσγενήσεται.
10 “ οὐδὲ γὰρ ὑμεῖς μελετῶντες αὐτὸ εὐθὺς ἀπὸ τῶν Μηδικῶν 6
“ ἐξείργασθέ πω· πῶς δὴ ἄνδρες γεωργοὶ καὶ οὐ θαλάσσιοι,
“ καὶ προσέτι οὐδὲ μελετῆσαι ἐασόμενοι διὰ τὸ ὑφ' ἡμῶν
“ πολλαῖς ναυσὶν ἀεὶ ἐφορμεῖσθαι, ἄξιον ἄν τι δρῷεν; πρὸς
“ μὲν γὰρ ὀλίγας ἐφορμούσας κἂν διακινδυνεύσειαν, πλήθει
15 “ τὴν ἀμαθίαν θρασύνοντες· πολλαῖς δὲ εἰργόμενοι ἡσυχά-
“ σουσι καὶ ἐν τῷ μὴ μελετῶντι ἀξυνετώτεροι ἔσονται καὶ
“ δι' αὐτὸ καὶ ὀκνηρότεροι. τὸ δὲ ναυτικὸν τέχνης ἐστὶν 7
“ ὥσπερ καὶ ἄλλο τι, καὶ οὐκ ἐνδέχεται, ὅταν τύχῃ, ἐκ
“ παρέργου μελετᾶσθαι, ἀλλὰ μᾶλλον μηδὲν ἐκείνῳ πάρεργον
20 “ ἄλλο γίγνεσθαι. CXLIII. εἴτε καὶ κινήσαντες τῶν
“ Ὀλυμπιάσιν ἢ Δελφοῖς χρημάτων μισθῷ
“ μείζονι πειρῷντο ἡμῶν ὑπολαβεῖν τοὺς ξένους

They would be unable to equal their naval skill;

nor could they undermine their naval power by tempting their fo-

1. ἧπου F. ἦ που Bekk. δὴ καὶ ἐν K. 4. γε] om. N.V. ante ἱκανὸν ponunt d.i. τε] om. B.h. inferebatur καὶ quod habent C.G.: id omisi cum A.B.E.H.c.h. om. Poppo. Goeller. Bekk. 5. ἐς τὴν] ἐν τῇ C.e. ἰσχύομεν ἐν ταῖς e. 6. ἀμύνασθαι V. γὰρ ὅμως ἡμεῖς ἔχομεν C. γὰρ ἡμεῖς ὅμως ἔχομεν e. τοῦ] τὰ G. 7. κεῖνοι C. 9. ἐπιστημονίας B. προσγεγενήσεται I. 10. αὐτὸ] om. G. ἐπὶ L.O.Q. 11. πω] om. A.B.E.L.O.P. V.g.h. Bekk. ed. 2. πω· πῶς C.G. 13. ἐφορμᾶσθαι E.e. 14. ὀλίγας ἐφορμούσας A.B.E.F.H.g.h. Poppo. Goeller. Bekk. C.G. et vulgo ὀλίγας ναῦς ἐφορμούσας. 15. θαρσύνοντες d. ἡσυχάζουσι g. 16. ἐν τῷ] om. i. ἔσονται post ὀκνηρότεροι ponunt G.L.O.P. καὶ ante δι' om. C. 18. τύχοι f. ὡς ἂν τύχῃ ταῦτα ἐκ παρέργου Aristides pro Rhet. p. 183. Canter. 19. μὴ δὲ C. 20. ἄλλα A.B. νικήσαντες A.B.E.F.P.g. εἴ τε Bekk. 21. ὀλυμπιᾶσιν C.F. H. Ὀλυμπίασιν Poppo. Goeller. Bekk. ὀλυμπιᾶισι E. 22. πειρῶνται K.

18. ἐκ παρέργου] Compare VII. 27, 4. ὁ Ἄγις οὐκ ἐκ παρέργου τὸν πόλεμον ἐποιεῖτο, and also VI. 69, 3. Πάρεργον is “a by-work, or by-job, a thing done “by the by.” Compare Sophocles, Philoctet. 473. ἀλλ' ἐν παρέργῳ θοῦ με.

reign seamen to desert in the hope of higher pay.

" τῶν ναυτῶν, μὴ ὄντων μὲν ἡμῶν ἀντιπάλων,
" ἐσβάντων αὐτῶν τε καὶ τῶν μετοίκων, δεινὸν
" ἂν ἦν· νῦν δὲ τόδε τε ὑπάρχει, καὶ ὅπερ κράτιστον, κυβερ-
" νήτας ἔχομεν πολίτας καὶ τὴν ἄλλην ὑπηρεσίαν πλείους
2 " καὶ ἀμείνους ἢ πᾶσα ἡ ἄλλη Ἑλλάς. καὶ ἐπὶ τῷ κινδύνῳ 5
" οὐδεὶς ἂν δέξαιτο τῶν ξένων τήν τε αὑτοῦ φεύγειν καὶ
" μετὰ τῆς ἥσσονος ἅμα ἐλπίδος, ὀλίγων ἡμερῶν ἕνεκα
3 " μεγάλου μισθοῦ δόσεως, ἐκείνοις ξυναγωνίζεσθαι. Καὶ τὰ
" μὲν Πελοποννησίων ἔμοιγε τοιαῦτα καὶ πα-
" ραπλήσια δοκεῖ εἶναι, τὰ δὲ ἡμέτερα τούτων 10
" τε ὧνπερ ἐκείνοις ἐμεμψάμην ἀπηλλάχθαι
" καὶ ἄλλα οὐκ ἀπὸ τοῦ ἴσου μεγάλα ἔχειν.
4 " ἤν τ' ἐπὶ τὴν χώραν ἡμῶν πεζῇ ἴωσιν, ἡμεῖς
" ἐπὶ τὴν ἐκείνων πλευσούμεθα, καὶ οὐκέτι ἐκ
" τοῦ ὁμοίου ἔσται Πελοποννήσου μέρος τι 15
" τμηθῆναι καὶ τὴν Ἀττικὴν ἅπασαν· οἱ μὲν γὰρ οὐχ
" ἕξουσιν ἄλλην ἀντιλαβεῖν ἀμαχεί, ἡμῖν δέ ἐστι γῆ πολλὴ

Athens then was invulnerable, provided she did not forfeit her advantages by encountering the enemy's superior land force in the open field, from an impatience of seeing Attica laid waste by their invasions;

1. ἡμῖν i. om. h. 5. ἅπασα C.G.L.O.P. ἄλλη] om. G. 8. δώσεως E. συναγωνίζεσθαι C. 9. μὲν περὶ πελοποννησίων H.P.V. τοιαῦτα καὶ παραπλήσια] καὶ παραπλήσια τοιαῦτα A.B.E.F.H.V.g. 11. ὧνπερ] ὧν παρ' K.d. ὧνπερ παρ' b. 13. τὴν] om. L.O.P. πεζὴν L.N.O.e. πεζοὶ G.V. 15. πελοποννήσου μέρος A.B.E.F.H.V.g.h. Poppo. Goeller. Bekk. C.G. et vulgo πελοποννήσου τε μέρος. τι] om. P. 17. ἀμαχὶ d.i.

3. *κυβερνήτας ἔχομεν πολίτας κ. τ. λ.*] Compare Xenophon, or the writer who goes under his name, De Republica Atheniens. I. §. 19. *διὰ τὴν κτῆσιν τὴν ἐν τοῖς ὑπερορίοις καὶ διὰ τὰς ἀρχὰς τὰς εἰς τὴν ὑπερορίαν, λελήθασι μανθάνοντες ἐλαύνειν τῇ κώπῃ αὐτοί τε καὶ οἱ ἀκόλουθοι.* * * * *Καὶ κυβερνῆται ἀγαθοὶ γίνονται δι' ἐμπειρίαν τε τῶν πλόων, καὶ διὰ μελέτην· ἐμελέτησαν δὲ οἱ μὲν πλοῖον κυβερνῶντες, οἱ δὲ ὁλκάδα, οἱ δ' ἐντεῦθεν ἐπὶ τριήρη κατέστησαν. οἱ δὲ πολλοὶ ἐλαύνειν εὐθέως οἷοί τε εἰσβάντες εἰς ναῦς, ἅτε ἐν παντὶ τῷ βίῳ προμεμελετηκότες.*

9. *τοιαῦτα καὶ παραπλήσια*] The same expression is to be found in ch. 22, 4. and VII. 78, 1. It is one of the pleonasms of language in its earlier state, and appears to have grown into a common form of words to express the notion of resemblance in the main. "Such, and "similar to what has been stated, do I "consider to be the state of the Pelo- "ponnesian cause."

11. *ὧνπερ ἐκείνοις ἐμεμψάμην*] "*μέμ-* "*φεσθαι* cum dativo," says Dobree, "vix usurpatur nisi de persona: et "cum notione *querendi* vel *succen-* "*sendi.*" But compare Plato, Crito, p. 50. d. *τούτοις τοῖς νόμοις μέμφῃ τι ὡς οὐ καλῶς ἔχουσιν*; and *ὧνπερ ἐκείνοις ἐμεμψάμην* may be rightly translated, I suppose, "quæ illis vitio dedi."

“ καὶ ἐν νήσοις καὶ κατ᾽ ἤπειρον. μέγα γὰρ τὸ τῆς θαλάσσης 5
“ κράτος. σκέψασθε δέ· εἰ γὰρ ἦμεν νησιῶται, τίνες ἂν 6
“ ἀληπτότεροι ἦσαν; καὶ νῦν χρὴ ὅτι ἐγγύτατα τούτου
“ διανοηθέντας τὴν μὲν γῆν καὶ οἰκίας ἀφεῖναι, τῆς δὲ
5 “ θαλάσσης καὶ πόλεως φυλακὴν ἔχειν, καὶ Πελοποννησίοις
“ ὑπὲρ αὐτῶν ὀργισθέντας πολλῷ πλείοσι μὴ διαμάχεσθαι
“ (κρατήσαντές τε γὰρ αὖθις οὐκ ἐλάσσοσι μαχούμεθα, καὶ
“ ἢν σφαλῶμεν, τὰ τῶν ξυμμάχων, ὅθεν ἰσχύομεν, προσα-
“ πόλλυται· οὐ γὰρ ἡσυχάσουσι μὴ ἱκανῶν ἡμῶν ὄντων ἐπ᾽
10 “ αὐτοὺς στρατεύειν), τήν τε ὀλόφυρσιν μὴ οἰκιῶν καὶ γῆς
“ ποιεῖσθαι, ἀλλὰ τῶν σωμάτων· οὐ γὰρ τάδε τοὺς ἄνδρας,
“ ἀλλ᾽ οἱ ἄνδρες ταῦτα κτῶνται. καὶ εἰ ᾤμην πείσειν ὑμᾶς, 7
“ αὐτοὺς ἂν ἐξελθόντας ἐκέλευον αὐτὰ δῃῶσαι, καὶ δεῖξαι
“ Πελοποννησίοις ὅτι τούτων γε ἕνεκα οὐχ ὑπακούσεσθε.

15 “ CXLIV. Πολλὰ δὲ καὶ ἄλλα ἔχω ἐς ἐλπίδα τοῦ περιέ-
“ σεσθαι, ἢν ἐθέλητε ἀρχήν τε μὴ ἐπικτᾶσθαι ἅμα πολε-
“ μοῦντες καὶ κινδύνους αὐθαιρέτους μὴ προσ-
“ τίθεσθαι· μᾶλλον γὰρ πεφόβημαι τὰς οἰκείας
“ ἡμῶν ἁμαρτίας ἢ τὰς τῶν ἐναντίων διανοίας.

or by attempting schemes of conquest, rather than acting on the defensive.

20 “ ἀλλ᾽ ἐκεῖνα μὲν καὶ ἐν ἄλλῳ λόγῳ ἅμα τοῖς ἔργοις 2
“ δηλωθήσεται· νῦν δὲ τούτοις ἀποκρινάμενοι ἀποπέμψωμεν,
“ Μεγαρέας μὲν ὅτι ἐάσομεν ἀγορᾷ καὶ λιμέσι
“ χρῆσθαι, ἢν καὶ Λακεδαιμόνιοι ξενηλασίας
“ μὴ ποιῶσι μήτε ἡμῶν μήτε τῶν ἡμετέρων

He concludes by urging a temperate but firm refusal to the demands of the Peloponnesians.

1. θαλάττης K.L.O.P.d. 2. εἰ μὲν γὰρ F.H.N.V.c.g. Poppo. 5. πελοποννησίους A.E.F.G.H.K.O.h. 6. ὀργισθεῖσι margo N.V. πλέοσι C.G.P. πλείονι b. μὴ] om. g. 7. τε] om. C.I.K.N.V. 9. μὴ οὐχ ἱκανῶν N.V. ὄντων ἡμῶν L. 10. τὴν γὰρ ὀλόφυρσιν g. 11. ποιεῖσθε G. 12. τάδε G.I.L.O.P.Q.e. ἡμᾶς K. 13. αὐτὴν L.Q. 17. προτίθεσθαι C.e. 21. ἀποπέμψομεν A.B.F. ἀποπέμψωμεν ἃ δεῖ λακεδαιμονίοις ἀποκρίνασθαι e. 22. ἀγοραῖς K. 23. χρήσασθαι L.O.P. καὶ] om. e. 24. μήτε ἡμῶν] om. H.

2. εἰ γὰρ ἦμεν νησιῶται] Compare Xenophon, de Rep. Atheniens. II. §. 14, 15, 16.

3. ὅτι ἐγγύτατα τούτου διανοηθέντας] Compare III. 40, 10. γενόμενοι ὅτι ἐγγύτατα τῇ γνώμῃ τοῦ πάσχειν. τούτου, i. e. τοῦ νησιώτας εἶναι. “Feeling as nearly “as possible as if you were islanders; “entertaining views and feelings as “near as possible to the state of actual “islanders.”

23. ξενηλασίας] De ξενηλασίᾳ Lacedæ-

" ξυμμάχων (οὔτε γὰρ ἐκεῖνο κωλύει ἐν ταῖς σπονδαῖς οὔτε
" τόδε), τὰς δὲ πόλεις ὅτι αὐτονόμους ἀφήσομεν, εἰ καὶ
" αὐτονόμους ἔχοντες ἐσπεισάμεθα, καὶ ὅταν κἀκεῖνοι ταῖς
" αὑτῶν ἀποδῶσι πόλεσι μὴ σφίσι τοῖς Λακεδαιμονίοις
" ἐπιτηδείως αὐτονομεῖσθαι, ἀλλὰ αὐτοῖς ἑκάστοις ὡς βού- 5
" λονται· δίκας δὲ ὅτι ἐθέλομεν δοῦναι κατὰ τὰς ξυνθήκας,
3 " πολέμου δὲ οὐκ ἄρξομεν, ἀρχομένους δὲ ἀμυνούμεθα. ταῦτα
" γὰρ δίκαια καὶ πρέποντα ἅμα τῇδε τῇ πόλει ἀποκρίνασθαι.
4 " εἰδέναι δὲ χρὴ ὅτι ἀνάγκη πολεμεῖν· ἢν δὲ ἑκούσιοι μᾶλλον
" δεχώμεθα, ἧσσον ἐγκεισομένους τοὺς ἐναντίους ἕξομεν· ἔκ 10
" τε τῶν μεγίστων κινδύνων ὅτι καὶ πόλει καὶ ἰδιώτῃ
5 " μέγισται τιμαὶ περιγίγνονται. οἱ γοῦν πατέρες ἡμῶν
" ὑποστάντες Μήδους, καὶ οὐκ ἀπὸ τοσῶνδε ὁρμώμενοι
" ἀλλὰ καὶ τὰ ὑπάρχοντα ἐκλιπόντες, γνώμῃ τε πλείονι ἢ
" τύχῃ καὶ τόλμῃ μείζονι ἢ δυνάμει τόν τε βάρβαρον ἀπεώ- 15
6 " σαντο καὶ ἐς τάδε προήγαγον αὐτά. ὧν οὐ χρὴ λείπεσθαι,
" ἀλλὰ τούς τε ἐχθροὺς παντὶ τρόπῳ ἀμύνεσθαι καὶ τοῖς
" ἐπιγιγνομένοις πειρᾶσθαι αὐτὰ μὴ ἐλάσσω παραδοῦναι."

1. κωλύειν L.O. ἐν] om. Dionysius. 2. τε B.E.F.G.H.K.V.c.g.h.i. Haack. Poppo. Goeller. εἰ δὲ καὶ P. 4. αὐτῶν A..B.E.F.G.H.K.N.V. c.f.g.h. Goell. C. vulgo, et Poppo ἑαυτῶν. ἐπιδῶσι Q. 5. ἐπιτηδείως] om. f. 7. ἀμυνόμεθα A.F. ἀμυνώμεθα B.h. 8. τῇδε] om. c. 9. ἀνάγκῃ F. 14. ἐκλιπόντες A.B.C.E.F.H.I.K.L.N.O.P.V.d.f.g.h.i. Haack. Poppo. Goell. Bekk. G. et vulgo ἐκλείποντες. πλέονι C. πλέον G. 15. ἀπώσαντο e. 17. τε om. V. τρόπῳ παντὶ L.O.P.

moniorum multa congesserunt Meurs. II. Miscellan. Laconic. 9. et Crag. de Republ. Laced. III. 3. Duker. Comp. II. 39, 2. The avowed object of these summary expulsions of aliens, by which at the pleasure of the government all foreigners might be ordered to leave Sparta immediately, and to carry away all their property, was to prevent the introduction of foreign manners. It had also a further object, to prevent the formation of a body of mercantile and wealthy aliens, who in all governments founded, like that of Sparta, on a system of exclusion, naturally strengthened the interest of the excluded commons, and joined them in demanding a more extended communication of political rights.

1. κωλύει] Equidem κωλύει impersonaliter dictum putaverim, uti δεῖ et χρή: ut οὐ κωλύει dici possit pro οὐδὲν κωλύει. Haack. Hermann understands ἐκεῖνο and τόδε as accusatives, and supplies τι as the nominative case to κωλύει. The expression may be literally translated into English, "It forbids "neither the one nor the other in the "treaty." Göller understands κωλύει as impersonal, "neither the one nor "the other is a hinderance in the "treaty."

4. μὴ σφίσι τοῖς Λακεδαιμονίοις ἐπιτηδείως] Compare chapp. 19, 1. 76, 1.

ATHENS. A. C. 432. Olymp. 87. 1.

CXLV. Ὁ μὲν Περικλῆς τοιαῦτα εἶπεν, οἱ δ' Ἀθηναῖοι νομίσαντες ἄριστα σφίσι παραινεῖν αὐτὸν ἐψηφίσαντο ἃ ἐκέλευε, καὶ τοῖς Λακεδαιμονίοις ἀπεκρίναντο τῇ ἐκείνου γνώμῃ, καθ' ἕκαστά τε ὡς ἔφρασε, 5 καὶ τὸ ξύμπαν, οὐδὲν κελευόμενοι ποιήσειν, δίκῃ δὲ κατὰ τὰς ξυνθήκας ἑτοῖμοι εἶναι διαλύεσθαι περὶ τῶν ἐγκλημάτων ἐπὶ ἴσῃ καὶ ὁμοίᾳ. 2 καὶ οἱ μὲν ἀπεχώρησαν ἐπ' οἴκου καὶ οὐκέτι ὕστερον ἐπρεσβεύοντο.

His opinion prevails; and the Peloponnesian ambassadors return home without having their proposals complied with.

CXLVI. Αἰτίαι δὲ αὗται καὶ διαφοραὶ ἐγένοντο ἀμφοτέροις πρὸ τοῦ πολέμου, ἀρξάμεναι εὐθὺς ἀπὸ 10 τῶν ἐν Ἐπιδάμνῳ καὶ Κερκύρᾳ· ἐπεμίγνυντο δὲ ὅμως ἐν αὐταῖς καὶ παρ' ἀλλήλους ἐφοίτων, ἀκηρύκτως μέν, ἀνυπόπτως δὲ οὔ· σπονδῶν γὰρ ξύγχυσις τὰ γιγνόμενα ἦν καὶ πρόφασις 15 τοῦ πολεμεῖν.

During all this period of mutual complaints and discussion, intercourse was still kept up between the countries, but not without suspicion on both sides.

3. τοῖς λακεδαιμονίοις C.G.K.L.N.O.P.V.e. Poppo. Goeller. Bekk. A.B.E.F. et ceteri τοῖς τε λακεδαιμονίοις. 4. τε] om. N.V. ἐφώρασε E. 6. τὰς] om. K. 7. ἐγκλημάτων καὶ ἴσα καὶ ὅμοια c. ὅμοιον d. 11. ἐν] om. e. ἐπεμίγνυτο C. 13. ἀκήρυκτα e. δὲ οὔ] δέον f.

ΘΟΥΚΥΔΙΔΟΥ ΞΥΓΓΡΑΦΗΣ.

B.

I. ἌΡΧΕΤΑΙ δὲ ὁ πόλεμος ἐνθένδε ἤδη Ἀθηναίων καὶ Πελοποννησίων καὶ τῶν ἑκατέροις ξυμμάχων, ἐν ᾧ οὔτε ἐπεμίγνυντο ἔτι ἀκηρυκτὶ παρ' ἀλλήλους καταστάντες τε ξυνεχῶς ἐπολέμουν· γέγραπται δὲ ἑξῆς ὡς ἕκαστα ἐγίγνετο κατὰ θέρος καὶ 5 χειμῶνα.

But from the return of the Lacedæmonian ambassadors all intercourse was broken off unless through the medium of heralds.

II. Τέσσαρα μὲν γὰρ καὶ δέκα ἔτη ἐνέμειναν αἱ τριακοντούτεις σπονδαὶ αἳ ἐγένοντο μετ' Εὐβοίας ἅλωσιν· τῷ δὲ πέμπτῳ καὶ δεκάτῳ ἔτει, ἐπὶ Χρυσίδος ἐν Ἄργει τότε πεντήκοντα δυοῖν δέοντα ἔτη ἱερω- 10 μένης, καὶ Αἰνησίου ἐφόρου ἐν Σπάρτῃ, καὶ

Here then the Peloponnesian war properly begins:
A. C. 431. Ol. 87. 1.
March or April.

Titulo nonnulli carent: C. solum habet *β*. *θουκυδίδου β*. G. *θουκυδίδου συγγραφῆς β*. B. *θουκυδίδου ξυγγραφῆς β*. F.H. *θουκυδίδου ξυγγραφῆς δεύτερον* g. *θουκυδίδου ξυγγραφῆς τὸ δεύτερον* N. *θουκυδίδου ἱστοριῶν ξυγγραφῆς βιβλίον δεύτερον* L. 3. *οὐδὲ* f. *ἔτι*] om. e. *ἀκηρυκτὶ* C.c. Poppo. Goell. Bekk. vulgo *ἀκηρυκτεί*. *ἄλλους* c. 4. *γέγραπται δὲ*] *καὶ γέγραπται* I.L. O.P.e. 7. *τέσσαρα γὰρ καὶ δέκα μὲν* L.O.e. *τέσσαρα καὶ δέκα μὲν* C.P. *αἱ*] om. L.O.P. *τριακοντούτις* A. 8. *ἐγίγνοντο* i.

5. *κατὰ θέρος καὶ χειμῶνα*] Nomine *θέρους* comprehendit ver et æstatem, *χειμῶνος* autumnum et hiemem. Petav. X. de Doctrin. Temp. 28. Sic et alii Græci pariter ac Latini Scriptores annum in duas partes tribuunt. Vid. Serv. et Cerd. ad Virgil. III. Georg. 296. et Gronov. III. Observ. 14. DUKER.

8. *Εὐβοίας ἅλωσιν*] See I. 114, 5. 115.

9. *ἐπὶ Χρυσίδος*] Memorat hanc rursus lib. IV. 133, 2. Apud nonnullos Scriptores perperam est *Χρυσηΐς*, pro *Χρυσίς*. Vid. Leopard. VI. Emendat. 11. De more Argivorum annos per Sacerdotes computandi, quem hic tangit Schol., multa habent, quos in notis ad eum laudat Hudsonus. De characteribus temporis, ad quod initium hujus belli adligat Thucydides, consulendi sunt Scalig. V. de Emend. Temp. p. 410. Petav. X. de Doctrin. Temp. 28. Selden. in Apparat. Chronolog. ad. Veter. Græcorum Epochas p. 238. Mar-

PLATÆA. A.C. 431. Olymp. 87. 1.

Before the Peloponnesians are ready to march, the Thebans attempt to surprise Platæa, a Bœotian town in alliance with Athens. A party of Thebans, favoured by the aristocratical party in Platæa, enter the town by night.

Πυθοδώρου ἔτι δύο μῆνας ἄρχοντος Ἀθηναίοις, μετὰ τὴν ἐν Ποτιδαίᾳ μάχην μηνὶ ἕκτῳ καὶ ἅμα ἦρι ἀρχομένῳ, Θηβαίων ἄνδρες ὀλίγῳ πλείους τριακοσίων (ἡγοῦντο δὲ αὐτῶν βοιωταρχοῦντες Πυθάγγελός τε ὁ Φυλείδου καὶ Διέμπορος ὁ Ὀνητορίδου) ἐσῆλθον περὶ πρῶτον ὕπνον ξὺν ὅπλοις ἐς Πλάταιαν τῆς Βοιωτίας οὖσαν Ἀθηναίων ξυμμαχίδα. ἐπηγάγοντο δὲ καὶ 2 ἀνέῳξαν τὰς πύλας Πλαταιῶν ἄνδρες Ναυκλείδης τε καὶ οἱ μετ' αὐτοῦ, βουλόμενοι ἰδίας ἕνεκα δυνάμεως ἄνδρας τε τῶν πολιτῶν τοὺς σφίσιν ὑπεναντίους διαφθεῖραι καὶ τὴν πόλιν Θηβαίοις προσποιῆσαι. ἔπραξαν δὲ ταῦτα δι' Εὐρυμάχου 3 τοῦ Λεοντιάδου, ἀνδρὸς Θηβαίων δυνατωτάτου· προϊδόντες γὰρ οἱ Θηβαῖοι ὅτι ἔσοιτο ὁ πόλεμος, ἠβούλοντο τὴν Πλάταιαν ἀεὶ σφίσι διάφορον οὖσαν ἔτι ἐν εἰρήνῃ τε καὶ τοῦ πολέμου μήπω φανεροῦ καθεστῶτος προκαταλαβεῖν. ᾗ καὶ 4 ῥᾷον ἔλαθον ἐσελθόντες, φυλακῆς οὐ προκαθεστηκυίας. θέμενοι δὲ ἐς τὴν ἀγορὰν τὰ ὅπλα τοῖς μὲν ἐπαγομένοις οὐκ 5

2. μετὰ δὲ τὴν K.d. 3. ἅμα] om. e. 5. φυλείδου C.F.G.H.I.L.O.V.e. Poppo. Goell. Bekk. φιλίδου K.d. A.B.E. et ceteri φυλίδου. Φυλλίδου Schneiderus. 6. νητορίδου L.O. περὶ τὸν πρῶτον g. 7. ξὺν ὅπλοις om. G. 9. πλαταιῶν A.B.C.E.F.H.N.V. Poppo. Goell. Bekk. om. h. G. et vulgo πλαταιέων. ἄνδρες] om. L.O.P. 11. ἐναντίους e. 13. προϊδότες d. 14. γὰρ] δὲ Q. ἔσεται K. ἐβούλοντο C.V.f. Poppo. Bekk. 15. σφίσι om. G. ἔτι οὖσαν c. 16. μή που b. καθεστηκότος G. 17. ῥᾴδιον F. εἰσελθόντας L.O. 18. ἐπειγομένοις P. ἐπαγαγομένοις C.e.

mor. Arundell. edit. Oxon. et Petit. IV. Eclog. Chronolog. 12. Porro Salmasium, in Exercit. Plin. p. 111. ed. Traj. scribentem Græcos nunquam dicere Ἄρχοντος τοῦ δεῖνα sine præpositione, sed semper cum præpositione ἐπὶ, recte reprehendit Petav. Exercitat. Miscellan. cap. VII. Duker.

3. ἦρι] Totum tempus comprehendit ἀπὸ ἰσημερίης, μέχρι πλειάδων ἐπιτολῆς. Wass.

9. ἀνέῳξαν—ἄνδρες] T. Magister in ἀνέῳγεν. Confer omnino Demosthenem in Neæram p. 1378. R. Wass.

8. *καί τινα ἐλπίδα εἶχον κ. τ. λ.*] Poppo thinks that the apodosis of the sentence is not contained in these words, but is omitted altogether, and must be supplied from the corresponding clause which follows it, *μέχρι μέν τινα ἐλπίδα εἶχον, ἀνασχετὸν ἐποιοῦντο.* But this appears to me unnecessary: *καὶ* answers to the preceding *μέχρι.* "So long as "the army was near Eleusis, the Athe-"nians also entertained some hope," &c. i. e. their hope lasted as long as the Peloponnesians stayed in the Thriasian plain. Compare the passages quoted by Göller, who in his second edition agrees in placing the apodosis in the words *καὶ εἶχον.* II. 93, 3. *ὡς δὲ ἔδοξεν αὐτοῖς, καὶ ἐχώρουν εὐθύς.* and IV. 8, 9. *ὡς δ' ἐδόκει αὐτοῖς ταῦτα, καὶ διεβίβαζον—τοὺς ὁπλίτας.*

10. *Πλειστοάνακτα*] See I. 114, 4. V. 16, 3.

Μηδικὰ, δεινὸν ἐφαίνετο, καὶ ἐδόκει τοῖς τε ἄλλοις καὶ μάλιστα τῇ νεότητι ἐπεξιέναι καὶ μὴ περιορᾶν. 2 κατὰ ξυστάσεις τε γιγνόμενοι ἐν πολλῇ ἔριδι ἦσαν, οἱ μὲν κελεύοντες ἐξιέναι, οἱ δέ τινες οὐκ ἐῶντες. 3 χρησμολόγοι τε ᾖδον 5 χρησμοὺς παντοίους, ὧν ἀκροᾶσθαι ὡς ἕκαστος ὥργητο. 4 οἵ τε Ἀχαρνῆς οἰόμενοι παρὰ σφίσιν αὐτοῖς οὐκ ἐλαχίστην μοῖραν εἶναι Ἀθηναίων, ὡς αὐτῶν ἡ γῆ ἐτέμνετο, ἐνῆγον τὴν ἔξοδον μάλιστα. 5 παντί τε τρόπῳ ἀνηρέθιστο ἡ πόλις, καὶ τὸν Περικλέα ἐν ὀργῇ εἶχον, καὶ ὧν παρῄνεσε πρότερον 10 ἐμέμνηντο οὐδὲν, ἀλλ' ἐκάκιζον ὅτι στρατηγὸς ὢν οὐκ ἐπεξάγοι, αἴτιόν τε σφίσιν ἐνόμιζον πάντων ὧν ἔπασχον.

He persists in his policy of avoiding a battle; and only sends out light parties to check the enemy's 15 stragglers: the Thessalians send aid to Athens on this occasion.

XXII. Περικλῆς δὲ ὁρῶν μὲν αὐτοὺς πρὸς τὸ παρὸν χαλεπαίνοντας καὶ οὐ τὰ ἄριστα φρονοῦντας, πιστεύων δὲ ὀρθῶς γιγνώσκειν περὶ τοῦ μὴ ἐπεξιέναι, ἐκκλησίαν τε οὐκ ἐποίει αὐτῶν οὐδὲ ξύλλογον οὐδένα, τοῦ μὴ ὀργῇ τι μᾶλλον ἢ γνώμῃ ξυνελθόντας ἐξαμαρτεῖν, τήν τε πόλιν ἐφύλασσε καὶ δι' ἡσυχίας μάλιστα ὅσον ἐδύνατο

4. *ἐξιέναι* A.B.E.F.H.K.N.V.c.g.h.i. Haack. Poppo. Goell. Bekk. C.G. et ceteri *ἐπεξιέναι*. 5. *ἠκροᾶτο* C.G.b.e. *ὡς*] om. A.B.C.E.F.V.c.f.g.i. *ὥργητο* A.B.F.H.N.Q.g.h. Haack. Poppo. Goell. Bekk. C.E.G. et ceteri *ὥρμητο*. 7. *ἡ γῆ αὐτῶν* Q. 12. *μὲν*] om. c. 13. *οὐ*] om. g. 18. *ἐδύνατο* A.B.E.F.H.K.V. cum Dionys. Haack. Poppo. Goell. Bekk. C.G. et vulgo *ἠδύνατο*.

5. *ὧν ἀκροᾶσθαι ὡς ἕκαστος ὥργητο*] The construction seems to be, that the finite verb *ὥργηντο* is in sense repeated; that is, "which they were eager to "listen to, as each was eager; which "they were severally eager to listen "to." He adds, *ὡς ἕκαστος ὥργητο*, because different persons ran to listen to different prophecies, each choosing those which encouraged his own previous opinions or feelings.

ὥρμητο] MSS. Clar. Reg. Cass. *ὥργητο*, cujus illud glossema esse patet ex v. *ἀνηρέθιστο*. Herodotus apud Suidam de Thucydide, *ὀργῶσαν ἔχει τὴν ψυχὴν πρὸς τὰ μαθήματα*. Noster IV. 108, 5. *Λακεδαιμονίων ὀργώντων ἔμελλον πειράσεσθαι*. Pindarus Pyth. IX. 76. *Ἔτραπε μείλιχος ὀργὰ Παρφάμεν τοῦτον λόγον*. Vid. et Nem. V. 58. Noster Herodotum sequitur. Sed et III. 82, 3. p. 217. *τὰς ὀργὰς ὁμοιοῖ*: ubi quidam Codd. *ὁρμὰς* male; vide Aristoph. Av. 462. et Schol. Erotianum et Hippocratem, et quæ adducit Hesychius ex Schol. Lysistratæ 1115. Hæ voces confunduntur etiam apud Josephum 1174, 29. *ἀνειληφότων ὀργὴν ἰσχυροτέραν τῶν ὅπλων*. Busb. *ὁρμήν*. WASS.

15. *ἐκκλησίαν—οὐδὲ ξύλλογον*] The first word designates the regular assemblies of the people, "comitia;" the second, any sort of meeting which might have been summoned under these extraordinary circumstances. So [illegible], Gorgias, p. 456. c. *λόγῳ διαγωνίζ[illegible]* *ἐν ἐκκλησίᾳ ἢ ἐν ἄλλῳ τινὶ ξυλλόγῳ*.

ATTICA. A. C. 431. Olymp. 87. 2.

2 εἶχεν. ἱππέας μέντοι ἐξέπεμπεν ἀεὶ τοῦ μὴ προδρόμους ἀπὸ τῆς στρατιᾶς ἐσπίπτοντας ἐς τοὺς ἀγροὺς τοὺς ἐγγὺς τῆς πόλεως κακουργεῖν· καὶ ἱππομαχία τις ἐνεγένετο βραχεῖα ἐν Φρυγίοις τῶν τε Ἀθηναίων τέλει ἑνὶ τῶν ἱππέων καὶ Θεσσαλοῖς μετ' αὐτῶν πρὸς τοὺς Βοιωτῶν ἱππέας, ἐν ᾗ οὐκ ἔλασσον ἔσχον 5 οἱ Ἀθηναῖοι καὶ Θεσσαλοὶ, μέχρι οὗ, προσβοηθησάντων τοῖς Βοιωτοῖς τῶν ὁπλιτῶν τροπὴ ἐγένετο αὐτῶν καὶ ἀπέθανον τῶν Θεσσαλῶν καὶ Ἀθηναίων οὐ πολλοί· ἀνείλοντο μέντοι 3 αὐτοὺς αὐθημερὸν ἀσπόνδους. καὶ οἱ Πελοποννήσιοι τρο-4 παῖον τῇ ὑστεραίᾳ ἔστησαν. ἡ δὲ βοήθεια αὕτη τῶν Θεσ- 10 σαλῶν κατὰ τὸ παλαιὸν ξυμμαχικὸν ἐγένετο τοῖς Ἀθηναίοις· καὶ ἀφίκοντο παρ' αὐτοὺς Λαρισαῖοι, Φαρσάλιοι, [Παράσιοι,] 5 Κρανώνιοι, Πυράσιοι, Γυρτώνιοι, Φεραῖοι. ἡγοῦντο δὲ αὐτῶν ἐκ μὲν Λαρίσης Πολυμήδης καὶ Ἀριστόνους, ἀπὸ τῆς στά-

1. *μέντοι τινὰς ἐξέπεμπεν* Dionysius. 2. *ἐμπίπτοντας* G.I.L.O.P.e. *ἐπιπίπτοντας* Q. et Dionysius. *τοὺς τῆς πόλεως ἐγγὺς* f. *τοὺς ἐγγὺς πόλεως* L.O. 3. *ἐνεγένετο* A.B.C.F.H.h. Poppo. Goell. Bekk. *ἐγίνετο* f. E.G. et vulgo *ἐγένετο.* *ἐν*] om. P. *φρυγίᾳ* g. 8. *οὐ*] *οἱ* C.G.I.L.O.P. 10. *τῶν θεσσ. αὕτη* e. 12. *λαρισαῖοι* F.H.K. Poppo. Goell. Bekk. *λαρίσιοι* E. vulgo *Λαρισσαῖοι.* *Φαρσ.—Πυράσιοι*] om. I. *περάσιοι* B. *παρράσιοι* g. *Παράσιοι* Bekk. Vide Heringam Observ. p. 162. 13. *πυράσιοι* H. Poppo. Goell. vulgo, et Bekk. *Πειράσιοι.* 14. *λαρίσης* E.F.H.K. Bekk. vulgo *λαρίσσης.* *ἀριστείους* K.

12. *Λαρισαῖοι—Φεραῖοι*] Of these places, Larisa, Pharsalia, and Pheræ, are sufficiently known. Cranon is mentioned by Herodotus, VI. 127, 5. and Xenophon. Hellen. IV. 3, 3. Gyrton occurs in the catalogue of the ships, v. 738. The Parasii are wholly unknown, and Poppo, Göller, and Dobree suppose the word to be merely a various reading of the subsequent word *Πυράσιοι.* The Pyrasii, as the reading is now properly corrected, belong to Pyrasus, a sea-port town on the coast of Pthiotis, mentioned by Strabo, IX. 5, 14. p. 435.

14. *ἀπὸ τῆς στάσεως ἑκάτερος*] "Each "from his own faction; each from the "faction to which he belonged." Poppo, in his *Observationes Criticæ*, was inclined to read *ἑκατέρας*, which Göller in his first edition received into the text. But as the substantive with the article, when following a verb in the middle voice, is equivalent in Greek, as well as in French, to the substantive with the pronoun possessive in English; so in the present passage the word *ἑκάτερος* seems so clearly to define and limit the meaning of *ἀπὸ τῆς στάσεως*, that it is not necessary that the word *ἑαυτοῦ*, or *ἰδίας*, should be added. It is asked however how a leader of the oligarchical faction could consent to aid the Athenians against Lacedæmon. But we do not know that the Larisæan factions were simply aristocratical and democratical; they may have been connected with family jealousies, so that to preserve the peace it was necessary to appoint a general from each faction, lest either should think itself unfairly treated.

σεως ἑκάτερος, ἐκ δὲ Φαρσάλου Μένων· ἦσαν δὲ καὶ τῶν ἄλλων κατὰ πόλεις ἄρχοντες.

XXIII. Οἱ δὲ Πελοποννήσιοι, ἐπειδὴ οὐκ ἐπεξῄεσαν αὐτοῖς οἱ Ἀθηναῖοι ἐς μάχην, ἄραντες ἐκ τῶν Ἀχαρνῶν 5 ἐδῄουν τῶν δήμων τινὰς ἄλλους τῶν μεταξὺ Πάρνηθος καὶ Βριλησσοῦ ὄρους. ὄντων δὲ 2 αὐτῶν ἐν τῇ γῇ οἱ Ἀθηναῖοι ἀπέστειλαν τὰς ἑκατὸν ναῦς περὶ Πελοπόννησον ἅσπερ παρεσκευάζοντο, καὶ χιλίους ὁπλίτας ἐπ' αὐτῶν 10 καὶ τοξότας τετρακοσίους· ἐστρατήγει δὲ Καρκῖνός τε ὁ Ξενοτίμου καὶ Πρωτέας ὁ Ἐπικλέους καὶ Σωκράτης ὁ Ἀντιγένους. καὶ οἱ μὲν ἄραντες τῇ παρασκευῇ ταύτῃ 3 περιέπλεον, οἱ δὲ Πελοποννήσιοι χρόνον ἐμμείναντες ἐν τῇ Ἀττικῇ ὅσου εἶχον τὰ ἐπιτήδεια ἀνεχώρησαν διὰ Βοιωτῶν, 15 οὐχ ᾗπερ ἐσέβαλον· παριόντες δὲ Ὠρωπὸν τὴν γῆν τὴν Πειραϊκὴν καλουμένην, ἣν νέμονται Ὠρώπιοι Ἀθηναίων

Meantime the Athenians send out a fleet to retaliate on the coasts of Peloponnesus. The Peloponnesians evacuate Attica, and return home.

1. ἑκάτερος] Obelo notavit Poppo. ἑκατέρας Goell. δὲ] om. f. καὶ ἐκ τῶν L. 3. ἐπεξίασιν F.H.V. ἐπεξίεσαν E. ἐξῆσαν d. 4. οἱ] om. P. ἐς] πρὸς Q. 6. πάρνιθος d.g. πάρνιτος Q. βριλησσοῦ G.K.N. βριλυσσοῦ V. 8. ναῦς εἰς τὰ περὶ L.O. ὥσπερ K. Goell. 10. τετρακοσίους] τε τριακοσίους P. Καρκίνος Bekk. 11. ξενοτόκου Q. καὶ πρωτέας τε ὁ e. 14. ὅσου A.B.C. E.F.H.K.g.h.i. Poppo. Goeller. Bekk. Conf. III. 1, 3. ὅσα V. G. et vulgo ὅσον. ἂν εἶχον h.i. 16. Γραϊκὴν Poppo. Goell.

8. ἅσπερ παρεσκευάζοντο] "The hundred ships which they were getting "ready;" i. e. which they were getting ready when I last mentioned them, c. 17, 4. The article τὰς ἑκατὸν ναῦς at once carries the reader back to the period when they were before mentioned, and to that period the tense of the following verb is adapted, παρεσκευάζοντο. The same meaning might otherwise be expressed by saying, ἃς τότε παρεσκευάζοντο. Compare VII. 31, 3. VIII, 62, 3. 73, 2.

10. Καρκῖνος] Nescio an hic ipse sit Carcinus poeta, quem ridet Aristophanes: nam is habuit filium Xenotimum (Schol. ad Pac. 782. Nub. 1264.) adeo ut forsan ipsius pater fuerit Xenotimus, non Xenocles. DOBREE. Xenotimus, son of Carcinus, is mentioned by Isocrates, Trapeziticus, p. 369. B. which passage is referred to by Prof. Scholefield, the editor of Dobree's Adversaria.

15. τὴν Πειραϊκὴν] Poppo and Göller read Γραϊκὴν, against which there is this argument amongst others, that the Greek historians generally add the participle καλουμένην to the name of a place, when it is significant of its nature or situation. Thus in Herodotus, VII. 188, 4. πρὸς Ἰπνοὺς καλεομένους. Thucyd. II. 55, 1. τὴν Πάραλον γῆν καλουμένην. Πειραϊκὴ is probably a word of the same origin as the port of Athens, Πειραιεύς; and is connected with the expression ἡ πέραν γῆ, which is applied to this same district of Oropus, III. 91, 3. These terms have reference to the op-

4 ὑπήκοοι, ἐδῄωσαν. ἀφικόμενοι δὲ ἐς Πελοπόννησον διελύθησαν κατὰ πόλεις ἕκαστοι.

XXIV. Ἀναχωρησάντων δὲ αὐτῶν οἱ Ἀθηναῖοι φυλακὰς κατεστήσαντο κατὰ γῆν καὶ κατὰ θάλασσαν, ὥσπερ δὴ ἔμελλον διὰ παντὸς τοῦ πολέμου φυλάξειν· 5 καὶ χίλια τάλαντα ἀπὸ τῶν ἐν τῇ ἀκροπόλει χρημάτων ἔδοξεν αὐτοῖς ἐξαίρετα ποιησαμένοις χωρὶς θέσθαι καὶ μὴ ἀναλοῦν, ἀλλ᾽ ἀπὸ τῶν ἄλλων πολεμεῖν· ἢν δέ τις εἴπῃ ἢ ἐπιψηφίσῃ κινεῖν τὰ χρήματα ταῦτα ἐς ἄλλο τι, ἢν μὴ οἱ πολέμιοι νηΐτῃ στρατῷ ἐπιπλέωσι 10 τῇ πόλει καὶ δέῃ ἀμύνασθαι, θάνατον ζημίαν ἐπέθεντο.
2 τριήρεις τε μετ᾽ αὐτῶν ἑκατὸν ἐξαιρέτους ἐποιήσαντο κατὰ τὸν ἐνιαυτὸν ἕκαστον τὰς βελτίστας, καὶ τριηράρχους αὐταῖς, ὧν μὴ χρῆσθαι μηδεμιᾷ ἐς ἄλλο τι ἢ μετὰ τῶν χρημάτων περὶ τοῦ αὐτοῦ κινδύνου, ἢν δέῃ. 15

The Athenians set aside a reserve of money and ships to be used only in the most extreme exigencies.

3. φυλακὰς A.B.C.F.G.H.K.L.N.O. Bekk. nonnulli, inter quos E, φύλακας. 5. διαφυλάξειν c.f. 7. ποιησομένοις P. 9. εἴποι d. ψηφίσηι F. ἐπιψηφίσοι f. 10. ἢν] ἢ K. εἰ e. οἱ] om. K. 11. θάνατον ζημίαν A.B.C.E.F. G.H.K.L.N.O.P. et Parisini omnes: Poppo. Goeller. Bekk. Vulgo θάνατον τὴν ζημίαν. ἀπέθεντο e. 12. ἑκατὸν] om. in litura F. Bekk. ἑκατὸν ἐξαιρέτους A.B.E.F.K.V.c.d.f.g.h.i. Poppo. Goell. Bekk. ἐξαιρέτους, omisso ἑκατὸν, H. vulgo ἐξαιρέτους ἑκατόν. κατὰ τὸν ἐνιαυτὸν ἕκαστον] μετὰ τῶν ναυτῶν I. 13. τὸν] om. L.O.P.Q. ἕκαστον] ἑκατὸν H. et corr. F. om. G.L.O.P. τριηράρχας (ους) G. τριηράρχας L.O.P. 14. ἐς] ἐπ᾽ G.I.L.O.P. τῶν] om. O.

posite coast of Eubœa in the one case, and to that of Peloponnesus, or perhaps merely of Salamis, in the other. The later form was undoubtedly Peræa, which was the well known name of the opposite coast of Asia Minor with respect to Rhodes, and of the opposite side of the Jordan with respect to Judæa. But as περᾶν and πειρᾶν are undoubtedly the same word originally, and as the diphthong form is preserved beyond all dispute in the name of the port of Athens, there is no reason why it should not have been also retained in the old name of the country of Oropus, which Thucydides in another place III. 91, 3. describes in more modern language by the term ἡ πέραν γῆ. See an article on this passage of Thucydides in the first number of the Philological Museum, p. 188.

9. εἴπῃ ἢ ἐπιψηφίσῃ] "Should move, "or put the question." Any member of the assembly might move a resolution or decree; but only the proedri, or more properly the epistates, or that one of the ten proedri who was president for the day, could put the question, or collect the votes of the assembly upon it. Compare I. 87, 1. VI. 14. and Schömann, de Comitiis Atheniens, p. 90.

10. ἢν μὴ οἱ πολ.] Vide Petiti Leges Atticas, p. 382. &c. Huds.

13. καὶ τριηράρχους αὐταῖς] For the duties of the trierarchs, see note on VI. 31, 3.

14. ὧν μὴ χρῆσθαι μηδεμιᾷ] i. e. ἔδοξεν αὐτοῖς μὴ χρῆσθαι. As in the earlier part of the chapter, ἔδοξεν αὐτοῖς χωρὶς θέσθαι.

COASTS OF PELOPONNESUS. A.C. 431. Olymp. 87. 2.

XXV. Οἱ δ' ἐν ταῖς ἑκατὸν ναυσὶ περὶ Πελοπόννησον Ἀθηναῖοι καὶ Κερκυραῖοι μετ' αὐτῶν, πεντήκοντα ναυσὶ προσβεβοηθηκότες, καὶ ἄλλοι τινὲς τῶν ἐκεῖ ξυμμάχων ἄλλα τε ἐκάκουν περιπλέοντες, καὶ 5 ἐς Μεθώνην τῆς Λακωνικῆς ἀποβάντες τῷ τείχει προσέβαλον ὄντι ἀσθενεῖ καὶ ἀνθρώπων οὐκ ἐνόντων. ἔτυχε δὲ περὶ τοὺς χώρους τού- 2 τους Βρασίδας ὁ Τέλλιδος ἀνὴρ Σπαρτιάτης φρουρὰν ἔχων, καὶ αἰσθόμενος ἐβοήθει τοῖς ἐν τῷ χωρίῳ μετὰ ὁπλιτῶν 10 ἑκατόν. διαδραμὼν δὲ τὸ τῶν Ἀθηναίων στρατόπεδον 3 ἐσκεδασμένον κατὰ τὴν χώραν καὶ πρὸς τὸ τεῖχος τετραμμένον ἐσπίπτει ἐς τὴν Μεθώνην, καὶ ὀλίγους τινὰς ἐν τῇ ἐσδρομῇ ἀπολέσας τῶν μεθ' ἑαυτοῦ τήν τε πόλιν περιεποίησε καὶ ἀπὸ τούτου τοῦ τολμήματος πρῶτος τῶν κατὰ τὸν 15 πόλεμον ἐπῃνέθη ἐν Σπάρτῃ. οἱ δὲ Ἀθηναῖοι ἄραντες 4 παρέπλεον, καὶ σχόντες τῆς Ἠλείας ἐς Φειὰν ἐδῄουν τὴν γῆν ἐπὶ δύο ἡμέρας, καὶ προσβοηθήσαντας τῶν ἐκ τῆς κοίλης Ἤλιδος τριακοσίους λογάδας καὶ τῶν αὐτόθεν ἐκ τῆς περιοικίδος Ἠλείων μάχῃ ἐκράτησαν. ἀνέμου δὲ κατιόντος μεγάλου 5

Operations of the Athenian fleet round Peloponnesus. First mention of BRASIDAS, who distinguishes himself in relieving Methone in Laconia.

1. περὶ] om. Q. περὶ τὸν K. 4. περιπλεύσαντες τὴν πελοπόννησον καὶ f. 5. τὴν λακωνικὴν G.L.O.P. τῷ τε τείχει C. 6. προσέβαλλον K. 8. τελητίδος O. 9. μετὰ τῶν ὁπλιτῶν L. 13. ἀπολύσας K. ἀπωλέσας V. τῶν] om. K. αὐτοῦ C.E. 15. πολέμων F. ἐν τῇ σπάρτῃ g. 16. φειὰς Q. 18. τῆς] om. C. 19. καταπιόντος I.

5. Μεθώνην] Diodor. 309. b. recte addit τῆς Λακωνικῆς, quia Μεθώνη et oppidum Thraciæ. Vid. Steph. et Nicetam Choniat. p. 393. 409. WASS.

6. ἀνθρώπων οὐκ ἐνόντων] There being no men in the place; i. e. no regular garrison; none of that portion of the military force of Sparta, which was left at home for the defence of the country when two thirds of it were on foreign service in Attica.

15. ἐπῃνέθη ἐν Σπάρτῃ] That this implies some public tribute of praise is manifest; but by whom bestowed, whether by the kings, or the polemarchs, or the ephori; and whether it was a distinction conferred annually on those who had most signalized themselves, I have not been able to discover.

17. ἐκ τῆς κοίλης Ἤλιδος] "From the "vale of Elis;" or the valley of the Peneus, in which Elis itself was situated. This, as the richest part of the whole territory, was naturally occupied by the conquering Ætolians, when they came in with the Dorians at what is called the return of the Heraclidæ. The neighbourhood of Pheia, on the other hand, was inhabited by the descendants of the older people, who were conquered by the Ætolians, and now formed, as in so many Peloponnesian states, the subordinate class called περιοικοί. Compare note on I. 101, 2.

19. ἀνέμου κατιόντος] "A storm coming "down upon them, or surprising them."

χειμαζόμενοι ἐν ἀλιμένῳ χωρίῳ, οἱ μὲν πολλοὶ ἐπέβησαν ἐπὶ τὰς ναῦς καὶ περιέπλεον τὸν Ἰχθὺν καλούμενον τὴν ἄκραν ἐς τὸν ἐν τῇ Φειᾷ λιμένα, οἱ δὲ Μεσσήνιοι ἐν τούτῳ καὶ ἄλλοι τινὲς οἱ οὐ δυνάμενοι ἐπιβῆναι κατὰ γῆν χωρήσαντες τὴν 6 Φειὰν αἱροῦσι. καὶ ὕστερον αἵ τε νῆες περιπλεύσασαι ἀνα- 5 λαμβάνουσιν αὐτοὺς καὶ ἐξανάγονται ἐκλιπόντες Φειάν, καὶ 7 τῶν Ἠλείων ἡ πολλὴ ἤδη στρατιὰ προσεβεβοηθήκει. παραπλεύσαντες δὲ οἱ Ἀθηναῖοι ἐπὶ ἄλλα χωρία ἐδῄουν.

XXVI. Ὑπὸ δὲ τὸν αὐτὸν χρόνον τοῦτον οἱ Ἀθηναῖοι τριάκοντα ναῦς ἐξέπεμψαν περὶ τὴν Λοκρίδα, καὶ Εὐβοίας 10 ἅμα φυλακήν· ἐστρατήγει δὲ αὐτῶν Κλεόπομπος ὁ Κλεινίου. 2 καὶ ἀποβάσεις ποιησάμενος τῆς τε παραθαλασσίου ἔστιν ἃ ἐδῄωσε καὶ Θρόνιον εἷλεν, ὁμήρους τε ἔλαβεν αὐτῶν, καὶ ἐν Ἀλόπῃ τοὺς βοηθήσαντας Λοκρῶν μάχῃ ἐκράτησεν. 15

Operations of another Athenian fleet on the coast of the Opuntian Locrians.

XXVII. Ἀνέστησαν δὲ καὶ Αἰγινήτας τῷ αὐτῷ θέρει τούτῳ ἐξ Αἰγίνης Ἀθηναῖοι, αὐτούς τε καὶ παῖδας καὶ γυναῖκας, ἐπικαλέσαντες οὐχ ἥκιστα τοῦ πολέμου σφίσιν αἰτίους εἶναι· καὶ τὴν Αἴγιναν ἀσφαλέστερον ἐφαίνετο, τῇ Πελοποννήσῳ ἐπι- 2 κειμένην, αὐτῶν πέμψαντας ἐποίκους ἔχειν. καὶ ἐξέπεμψαν ὕστερον οὐ πολλῷ ἐς αὐτὴν τοὺς

The Æginetæ are expelled from their island by the Athenians, and are settled at Thyrea by the Lacedæmonians. Ægina is coloniz d by Athenian settlers.

1. *χειμαζομένων* e. *ἀλίμενι* c. *ἐπὶ*] *ἐς* d. 2. *Ἰχθῦν* H. Duk. Poppo. Goeller. Vid. Buttmann. Gr. Gr. §. 42. Anm. 3. Not. et §. 50. *Ἰχθὺν* Bekk. 3. *μεσήνιοι* B.G. 4. *τὴν*] om. C.G.L.O.P.e. 6. *ἐξάγονται* g. *ἐκλείποντες* C.G.I.L.P.d.e. 7. *προβεβοηθήκει* d. *περιπλεύσαντες* h. 9. *τὸν αὐτὸν τοῦτον χρόνον* L.O.P. *οἱ*] om. C.G.e. 11. *θεόπομπος* d. 12. *ὑποβάσεις* b. 13. *θαλασσίου* c. *θράνιον* L.O.P. 14. *ἀλόπῃ* A.B.E.F.G.H.I. L.O.V. Haack. Poppo. Goeller. Bekk. *ἀκόπῃ* P. C. et vulgo *ἀλώπῃ*. 17. *οἱ ἀθηναῖοι* e. 18. *ἐπικαλέσαντας* f. 21. *πέμψαντας* A.B.E.G.H.K.g. Gottleber. Haack. Poppo. Goell. Bekk. C.F. et ceteri *πέμψαντες*. 22. *αὐτὴν οὐ πολλῷ ὕστερον* Q.

Κατιόντος seems to be used in a similar sense to that in which *καταλαβεῖν* occurs so frequently. "To surprise, by "darting as it were suddenly down "upon the object." Göller interprets it "ingruente a terra vento," as if alluding to the gusts of wind which sweep down from the mountains, when the coast is mountainous.

21. *ἐποίκους*] "Settlers;" *ἀποίκου*

οἰκήτορας. ἐκπεσοῦσι δὲ τοῖς Αἰγινήταις οἱ Λακεδαιμόνιοι 3 ἔδοσαν Θυρέαν οἰκεῖν καὶ τὴν γῆν νέμεσθαι, κατά τε τὸ Ἀθηναίων διάφορον καὶ ὅτι σφῶν εὐεργέται ἦσαν ὑπὸ τὸν σεισμὸν καὶ τῶν Εἱλώτων τὴν ἐπανάστασιν. ἡ δὲ Θυρεᾶτις 4 5 γῆ μεθορία τῆς Ἀργείας καὶ Λακωνικῆς ἐστιν, ἐπὶ θάλασσαν καθήκουσα. καὶ οἱ μὲν αὐτῶν ἐνταῦθα ᾤκησαν, οἱ δ' ἐσπά- 5 ρησαν κατὰ τὴν ἄλλην Ἑλλάδα.

XXVIII. Τοῦ δ' αὐτοῦ θέρους νουμηνίᾳ κατὰ σελήνην, ὥσπερ καὶ μόνον δοκεῖ εἶναι γίγνεσθαι δυνατόν, ὁ ἥλιος 10 (Eclipse of the sun. A. C. 431. Aug. 3.) ἐξέλιπε μετὰ μεσημβρίαν καὶ πάλιν ἀνεπληρώθη, γενόμενος μηνοειδὴς καὶ ἀστέρων τινῶν ἐκφανέντων.

XXIX. Καὶ ἐν τῷ αὐτῷ θέρει Νυμφόδωρον τὸν Πύθεω, ἄνδρα Ἀβδηρίτην, οὗ εἶχε τὴν ἀδελφὴν Σιτάλκης, δυνάμενον 15 (The Athenians form an alliance with Sitalkes king of the Thracians, and with Perdiccas king of the Macedonians.) παρ' αὐτῷ μέγα οἱ Ἀθηναῖοι πρότερον πολέμιον νομίζοντες πρόξενον ἐποιήσαντο καὶ μετεπέμψαντο, βουλόμενοι Σιτάλκην σφίσι τὸν Τηρέω, Θρᾳκῶν βασιλέα, ξύμμαχον γενέσθαι.

1. ἐκπέμπουσι E. 2. θυραιαν A.B.K.b.g.h. θυρεὰν E. 4. εἰλώτων H.K. θυραιάτις B.K.g.h. 5. θαλάσσης B.g.h. 6. οἱ δ' ἐσπ'] om. O.P. 9. μόνος I. 10. ἐξέλειπε f. 11. φανέντων d. 13. ἐν] om. K.d.f.i. 15. μέγαν C.c.

"emigrants." Men are ἄποικοι with respect to their old home, and ἔποικοι with respect to their new one. This is the simplest and most probable way of stating the distinction between these words: and I am confirmed in it by the authority of Krüger, not. on Dionysius, p. 101.

3. ὑπὸ τὸν σεισμὸν] Compare I. 101, 2.

6. οἱ δ' ἐσπάρησαν κ. τ. λ.] These Eginetan exiles were afterwards collected by Lysander after the battle of Egospotami, and restored to their own country. Xenoph. Hellen. II. 2, 9.

8. νουμηνίᾳ κατὰ σελήνην] That is, the beginning of the natural lunar month; which, owing to the defective calculations of those days, did not exactly correspond with the beginning of the civil lunar month. Before the introduction of the cycle of Meton, A. C. 432. the new moon in the month Scirophorion fell on the thirteenth day of the month, instead of the first. (See Clinton, Fasti Hellenici, Append. p. 304.) And although Meton's calculations were far more accurate than this, yet they were still not so exact but that some variation had arisen between the civil and natural month during the thirty years which elapsed between the introduction of his cycle and the time when Thucydides wrote his History. (See Fasti Hellenici, p. 305.)

16. πρόξενον ἐποιήσαντο] The proxenus among the Greeks very nearly resembled the consuls of modern Europe;

2 ὁ δὲ Τήρης οὗτος ὁ τοῦ Σιτάλκου πατὴρ πρῶτος Ὀδρύσαις τὴν μεγάλην βασιλείαν ἐπὶ πλεῖον τῆς ἄλλης Θρᾴκης ἐποίησε· πολὺ γὰρ μέρος καὶ αὐτόνομόν ἐστι Θρᾳκῶν. 3 Τηρεῖ δὲ τῷ Πρόκνην τὴν Πανδίονος ἀπ' Ἀθηνῶν σχόντι γυναῖκα προσήκει ὁ Τήρης οὗτος οὐδὲν, οὐδὲ τῆς αὐτῆς 5 Θρᾴκης ἐγένοντο, ἀλλ' ὁ μὲν ἐν Δαυλίᾳ τῆς Φωκίδος νῦν καλουμένης γῆς ὁ Τηρεὺς ᾤκει, τότε ὑπὸ Θρᾳκῶν οἰκουμένης· (καὶ τὸ ἔργον τὸ περὶ τὸν Ἴτυν αἱ γυναῖκες ἐν τῇ γῇ ταύτῃ ἔπραξαν· πολλοῖς δὲ καὶ τῶν ποιητῶν ἐν ἀηδόνος 4 μνήμῃ Δαυλιὰς ἡ ὄρνις ἐπωνόμασται· εἰκὸς δὲ καὶ τὸ κῆδος 10 Πανδίονα ξυνάψασθαι τῆς θυγατρὸς διὰ τοσούτου ἐπ' ὠφελείᾳ τῇ πρὸς ἀλλήλους μᾶλλον ἢ διὰ πολλῶν ἡμερῶν

1. πρῶτος] om. d. 2. ἐπὶ πλεῖον A.B.E.H.K.Q.V.c.g.h.i. Poppo. Goell. Bekk. C.F.G. et vulgo ἐπιπλέον. ἄλλης] om. L. 4. δὲ] om. L. τῷ τὴν πρόκνην N. τὴν πρόκνην V. τὴν] τοῦ H. ἀπ'] om. b. σχόντα E. 5. προσήκει A.B.E.F.H.K.N.V.g.h.i. Haack. Poppo. Goeller. Bekk. C.G. et vulgo προσῆκεν. 6. ἐγένετο I. νῦν] om. C.e. 7. τήρης C.e. 9. καὶ ἐκ τῶν g. 10. δὲ] τε C.G. γε e. 11. συνάψασθαι Q. ξυνάψασθαι καὶ g. 12. ὠφελίᾳ Bekk.

except in the circumstance that he discharged his office gratuitously, and that he was always a citizen not of the state to which he acted as proxenus, but of that in which he performed the duties of his office. For example, the Lacedæmonian proxenus at Athens was not a Lacedæmonian, but an Athenian, who, either from some connection with Lacedæmon, or from his attachment to the Spartan people, undertook to shew hospitality to, and to watch over the interests of, all Spartan citizens who might happen to visit Athens. If the state for whom he acted acknowledged him, and had entered his name in their public records as their authorized agent, he was then their *πρόξενος*; but till this was done, and while he acted in that capacity merely from his own choice, he was called *ἐθελοπρόξενος*. Compare III. 70, 1, 4.

2. *ἐπὶ πλεῖον τῆς ἄλλης Θρᾴκης*] Either, "on a larger scale than the rest of "Thrace," or as Göller interprets it, "over a larger portion of the rest of "Thrace."

4. *Τηρεῖ δὲ, κ. τ. λ.*] Vide Meursii Regn. Athen. p. 92. 95. et Berkelii notas ad Steph. Byz. voce *Δαυλίς*. Huds.

7. *τότε ὑπὸ Θρᾳκῶν οἰκουμένης*] Compare Strabo, VII. 7, 1. *Σχεδὸν δέ τι καὶ ἡ σύμπασα Ἑλλὰς κατοικία βαρβάρων ὑπῆρξε τὸ παλαιόν * * * κατανειμαμένων τὰ ἐντὸς ἰσθμοῦ καὶ τὰ ἐκτὸς δέ· γὴν μὲν γὰρ Ἀττικὴν οἱ μετὰ Εὐμόλπου Θρᾷκες ἔσχον, τῆς δὲ Φωκίδος τὴν Δαυλίδα Τηρεύς.* That is to say, that the Hellenian name and language had not yet swallowed up those of the various tribes which, having at successive periods entered Greece from the north by the Hellespont and the coast of Thrace, had settled themselves in different parts of the country.

10. *κῆδος*] *Κῆδος*, pro *ἐπιγαμία*, et *κηδεία*, et *κηδεύματα* apud Platon. et Demosth. Pollux, III. 30. Vid. Hesych. *κηδεσταί*. Dionys. Halic. 718. Wass.

11. *διὰ τοσούτου*] "At such a distance; "with such a distance to get *through* "before he could reach the country."

ἐς Ὀδρύσας ὁδοῦ·) Τήρης δὲ οὔτε τὸ αὐτὸ ὄνομα ἔχων, 5
βασιλεύς τε πρῶτος ἐν κράτει Ὀδρυσῶν ἐγένετο. οὗ δὴ ὄντα 6
τὸν Σιτάλκην οἱ Ἀθηναῖοι ξύμμαχον ἐποιήσαντο, βουλόμενοι
σφίσι τὰ ἐπὶ Θρᾴκης χωρία καὶ Περδίκκαν ξυνεξελεῖν αὐτόν.
5 ἐλθών τε ἐς τὰς Ἀθήνας ὁ Νυμφόδωρος τήν τε τοῦ Σιτάλκου 7
ξυμμαχίαν ἐποίησε καὶ Σάδοκον τὸν υἱὸν αὐτοῦ Ἀθηναῖον,
τόν τε ἐπὶ Θρᾴκης πόλεμον ὑπεδέχετο καταλύσειν· πείσειν
γὰρ Σιτάλκην πέμψειν στρατιὰν Θρᾳκίαν Ἀθηναίοις ἱππέων
τε καὶ πελταστῶν. ξυνεβίβασε δὲ καὶ τὸν Περδίκκαν τοῖς 8
10 Ἀθηναίοις, καὶ Θέρμην αὐτῷ ἔπεισεν ἀποδοῦναι· ξυνεστρά-
τευσέ τ' εὐθὺς Περδίκκας ἐπὶ Χαλκιδέας μετ' Ἀθηναίων καὶ
Φορμίωνος. οὕτω μὲν Σιτάλκης τε ὁ Τήρεω Θρᾳκῶν βασι- 9
λεὺς ξύμμαχος ἐγένετο Ἀθηναίοις καὶ Περδίκκας ὁ Ἀλεξάν-
δρου Μακεδόνων βασιλεύς.

15 XXX. Οἱ δ' ἐν ταῖς ἑκατὸν ναυσὶν Ἀθηναῖοι ἔτι ὄντες

1. ὀδρούσας f. οὐδὲ B. 3. ἐποιοῦντο C.I.L.O.P.e. et corr. G. 4. περδίκαν g. ξυνεξελεῖν G.L.O.V.c.e. Poppo. Goeller. Vulgo et Bekk. ξυνελεῖν. 8. πέμψειν A.B.E.F.H.K.N.V.c.d.f.g.h.i. Haack. Poppo. Goell. Bekk. C.G. et vulgo πέμπειν. θρακείαν C.G. θρακηΐαν L.O. θρακιήαν P. ἀθηναίοις τε ἱππέων τε E. ἱππέων—Ἀθηναίοις] om. C. 9. τε] om. L.O.P. τε καὶ] om. G.e. τοῖς] om. G.L.O.P. 10. "Vocis Θέρμην litteram η corr. E." Bekk. αὐτοῖς L.O.P.Q. δοῦναι g. ξυνεστράτευε C.G.I.e. 12. τε] om. e. 14. μακεδόνος P.

1. οὔτε—ἔχων, βασιλεύς τε—ἐγένετο.] That there is a confusion here in the construction is clear. What is meant is this, "that Teres had neither the "same name with Tereus, nor the "same kingdom; the one having been "king in Phocis, and the other amongst "the Odrysians." This might have been expressed by two verbs, οὔτε—ἔσχεν, βασιλεύς τε—ἐγένετο: or by the participle and verb, omitting the conjunction; οὐδὲ—ἔχων, βασιλεὺς ἐγένετο. But the mixture of these two expressions which Thucydides has adopted can be nothing else than an anacoluthia.

6. Σάδοκον] Historiam hanc tangit Aristoph. Acharn. 145. ubi Schol. Σάδωκον. Wass.

7. τόν τε—καταλύσειν] De Therme ab Atheniensibus capta est supr. lib. I. cap. 61, 1. Duker.

πείσειν γὰρ—πέμψειν] "Usitatum "est Græcis, ubi in principali verbo "futuri significatio inest, etiam infini-"tivum futuri adjungere." Hermann, de Præcep tis quibusdam Atticist. p. xiv. On the whole subject of the tense of the infinitive mood, when following other verbs, see an excellent essay by Lobeck, amongst his *Parerga*, published at the end of his edition of Phrynichus. Parerg. c. VI.

11. Περδίκκας] De illo et Archelao multa Plato in Gorg. quæ Historiarum conditores latent. p. 321. Confer Diod. p. 416. Wass. Et supr. ad I. 57, 1, 2. Duker.

περὶ Πελοπόννησον Σόλλιόν τε Κορινθίων πόλισμα αἱροῦσι καὶ παραδιδόασι Παλαιρεῦσιν Ἀκαρνάνων μόνοις τὴν γῆν καὶ πόλιν νέμεσθαι· καὶ Ἄστακον, ἧς Εὔαρχος ἐτυράννει, λαβόντες κατὰ κράτος καὶ ἐξελάσαντες αὐτὸν τὸ χωρίον ἐς τὴν ξυμ- 5
2 μαχίαν προσεποιήσαντο. ἐπί τε Κεφαλληνίαν τὴν νῆσον
3 προσπλεύσαντες προσηγάγοντο ἄνευ μάχης. κεῖται δὲ ἡ Κεφαλληνία κατὰ Ἀκαρνανίαν καὶ Λευκάδα τετράπολις
4 οὖσα, Παλῆς, Κράνιοι, Σαμαῖοι, Προναῖοι. ὕστερον δ' οὐ πολλῷ ἀνεχώρησαν αἱ νῆες ἐς τὰς Ἀθήνας. 10

Operations of the fleet round Peloponnesus continued. Cephallenia is won over to the alliance of Athens.

XXXI. Περὶ δὲ τὸ φθινόπωρον τοῦ θέρους τούτου Ἀθηναῖοι πανδημεί, αὐτοὶ καὶ οἱ μέτοικοι, ἐσέβαλον ἐς τὴν Μεγαρίδα Περικλέους τοῦ Ξανθίππου στρατηγοῦντος. 2 καὶ οἱ περὶ Πελοπόννησον Ἀθη-

First invasion of the Megarid by the Athenians. Grand junction

1. σόλλιον C.G.I.O.e. cum Stephano de Urb. Haack. Poppo. Goell. Infra III. 95, 1. σόλιον E.F.H.e.g. σόλλον K.Q. βόλλιον d.i. vulgo, et Bekk. Σόλιον. 2. παλαιρεῦσιν A.B.E.F.H.N.V.c.f.g.h. cum Strabone 10. p. 459. Haack. Poppo. Goell. Bekk. C.G. et vulgo παλιρεῦσιν. 4. ἄστακτον P.g. ἄσταχον B. 6. ἐποιήσαντο e. κεφαλληνίαν C.E.F.L. 7. προσπλεύσαντες C.E.F.G. [προσ]πλεύσαντες Poppo. πλεύσαντες A.B. Bekk. Goell. 9. παλῆς A.B.F.K.Q.d.h.i. Poppo. Goell. παλεῖς C.G.H.I.L.N.O.P.V.e.g. παλῆς vel παλεῖς E. vulgo παλλῆς. κρανεῖοι L.O. κραναῖοι I. σάμιοι B.e. προναῖοι G.I.L.O.P.Q.e. Poppo. Goell. προνναῖοι A.B.E.F.H.K.N.V. Bekk. πρόνναιοι c.f.g. vulgo πρόναιοι. 10. πολλῷ χρόνῳ V.

1. Σόλλιον] The name of this place occurs, I believe, only three times in Thucydides; here, and III. 95, 1. and V. 30, 2. and Bekker in his edition of 1832 spells it in each of these three places differently. This is surely to pay greater respect to the MSS. of Thucydides than they deserve, and is in this contrary to Bekker's own judgment, as declared in the preface to his smaller edition of 1821. I have therefore adopted the reading Σόλλιον, and have kept it wherever the word occurs: as it has in its favour some of the MSS. of Thucydides, and the text of Stephanus Byzantinus, which in this place cannot be corrupt, inasmuch as the order of the letters proves its correctness.

4. Ἄστακον] Ad Acheloi ostium in Acarnania ponit Scylax. Vide Livium XXXVIII. 11. Ibi colonia Cephaleniæ, Wass.

9. Παλῆς, Κράνιοι, κ. τ. λ.] These plural names illustrate what was said in a former note, that the earlier πόλεις were societies of men living in the same district, from the several parts of which they afterwards came together, and lived within the same walls. Strabo, VIII. 3, 2. (p. 337.) Σχεδὸν δὲ καὶ τοὺς ἄλλους τόπους τοὺς κατὰ Πελοπόννησον, πλὴν ὀλίγων, οὓς κατέλεξεν ὁ ποιητής, οὐ πόλεις ἀλλὰ χώρας ὀνομάζει, συστήματα δήμων ἔχουσαν ἑκάστην πλείω, ἐξ ὧν ὕστερον αἱ γνωριζόμεναι πόλεις συνῳκίσθησαν.

13. Περικλέους] Diodor. XII. 309. d. Wass.

of the land and sea forces of Athens on this occasion.

ναῖοι ἐν ταῖς ἑκατὸν ναυσὶν (ἔτυχον γὰρ ἤδη ἐν Αἰγίνῃ ὄντες ἐπ' οἴκου ἀνακομιζόμενοι) ὡς ᾔσθοντο τοὺς ἐκ τῆς πόλεως πανστρατιᾷ ἐν Μεγάροις ὄντας, ἔπλευσαν παρ' αὐτοὺς καὶ ξυνεμίχθησαν. στρατόπεδόν τε 3
5 μέγιστον δὴ τοῦτο ἀθρόον Ἀθηναίων ἐγένετο, ἀκμαζούσης ἔτι τῆς πόλεως καὶ οὔπω νενοσηκυίας· μυρίων γὰρ ὁπλιτῶν οὐκ ἐλάσσους ἦσαν αὐτοὶ Ἀθηναῖοι (χωρὶς δὲ αὐτοῖς οἱ ἐν Ποτιδαίᾳ τρισχίλιοι ἦσαν), μέτοικοι δὲ ξυνεσέβαλον οὐκ ἐλάσσους τρισχιλίων ὁπλιτῶν, χωρὶς δὲ ὁ ἄλλος ὅμιλος
10 ψιλῶν οὐκ ὀλίγος. δῃώσαντες δὲ τὰ πολλὰ τῆς γῆς ἀνεχώ- 4 ρησαν. ἐγένοντο δὲ καὶ ἄλλαι ὕστερον ἐν τῷ πολέμῳ κατὰ 5 ἔτος ἕκαστον ἐσβολαὶ Ἀθηναίων ἐς τὴν Μεγαρίδα, καὶ ἱππέων καὶ πανστρατιᾷ, μέχρι οὗ Νίσαια ἑάλω ὑπ' Ἀθηναίων.

15 XXXII. Ἐτειχίσθη δὲ καὶ Ἀταλάντη ὑπ' Ἀθηναίων φρούριον τοῦ θέρους τούτου τελευτῶντος, ἡ ἐπὶ Λοκροῖς τοῖς Ὀπουντίοις νῆσος ἐρήμη πρότερον οὖσα, τοῦ μὴ λῃστὰς ἐκπλέοντας ἐξ Ὀποῦντος καὶ τῆς ἄλλης Λοκρίδος κακουργεῖν τὴν Εὔβοιαν.
20 ταῦτα μὲν ἐν τῷ θέρει τούτῳ μετὰ τὴν Πελοποννησίων ἐκ 2 τῆς Ἀττικῆς ἀναχώρησιν ἐγένετο.

The small island of Atalanta fortified by the Athenians to check the Locrian privateers.

XXXIII. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος Εὔαρχος ὁ Ἀκαρνὰν βουλόμενος ἐς τὴν Ἄστακον κατελθεῖν πείθει

1. ἤδη] om. B.E.F.H.N.Q.V.c.f.g. Poppo. uncis inclusit Haack. 5. ἀθρόων K. ἀθρόον G. 7. αὐτοὶ οἱ ἀθηναῖοι C.G.L.O.e. 8. ξυνέβαλον] I.K.L.O. 10. ὀλίγων N. ὀλίγω K. ὀλίγον V. 11. ἄλλαι A.B.C.E.F.G.H.I.K.N.Q.V. c.d.f.g.h. Haack. Poppo. Goell. Bekk. ceteri ἄλλαι πολλαί. 20. τὴν τῶν πελ. B.F. 22. ἐπιγενομένου V. 23. ἄστακτον P.

7. χωρὶς δὲ αὐτοῖς κ. τ. λ.] He notices the troops that were absent at Potidæa, in order to make his computation here agree with what he had given before, ch. 13, 6. where he had said that the whole disposable force of heavy-armed Athenian citizens amounted to 13,000 men.

16. ἡ ἐπὶ Λοκροῖς νῆσος] "The island "*on* the coast of Locri;" or, as we should more naturally say, "*off* the "coast." Compare Herodot. III. 59, 1. Ὑδρέαν τὴν ἐπὶ Πελοποννήσῳ. VI. 7, 3. ἡ Λάδη, νῆσος ἐπὶ τῇ πόλι τῇ Μιλησίων κειμένη.

A. C. 431, 0. Olymp. 87. 2. Expedition of the Corinthians to Acarnania. They restore Euarchus the exiled tyrant of Astacus; but fail in their attempts to gain over the other towns of Acarnania, and also in an attack upon Cephallenia.

Κορινθίους τεσσαράκοντα ναυσὶ καὶ πεντακοσίοις καὶ χιλίοις ὁπλίταις ἑαυτὸν κατάγειν πλεύσαντας, καὶ αὐτὸς ἐπικούρους τινὰς προσεμισθώσατο· ἦρχον δὲ τῆς στρατιᾶς Εὐφαμίδας τε ὁ Ἀριστωνύμου καὶ Τιμόξενος ὁ 5 2 Τιμοκράτους καὶ Εὔμαχος ὁ Χρύσιδος. καὶ πλεύσαντες κατήγαγον· καὶ τῆς ἄλλης Ἀκαρνανίας τῆς περὶ θάλασσαν ἔστιν ἃ χωρία βουλόμενοι προσποιήσασθαι καὶ πειραθέντες, ὡς οὐκ ἠδύ- 3 ναντο, ἀπέπλεον ἐπ' οἴκου. σχόντες δ' ἐν τῷ παράπλῳ ἐς 10 Κεφαλληνίαν καὶ ἀπόβασιν ποιησάμενοι ἐς τὴν Κρανίων γῆν, ἀπατηθέντες ὑπ' αὐτῶν ἐξ ὁμολογίας τινὸς ἄνδρας τε ἀποβάλλουσι σφῶν αὐτῶν, ἐπιθεμένων ἀπροσδοκήτοις τῶν Κρανίων, καὶ βιαιότερον ἀναγαγόμενοι ἐκομίσθησαν ἐπ' οἴκου. 15

PUBLIC FUNERAL at Athens of the citizens who had fallen in

XXXIV. Ἐν δὲ τῷ αὐτῷ χειμῶνι οἱ Ἀθηναῖοι τῷ πατρίῳ νόμῳ χρώμενοι δημοσίᾳ ταφὰς ἐποιήσαντο τῶν ἐν τῷδε τῷ πολέμῳ πρῶτον ἀποθανόντων τρόπῳ τοιῷδε. 2 τὰ μὲν ὀστᾶ προτίθενται τῶν ἀπογενομένων πρότριτα σκηνὴν ποιήσαντες, καὶ ἐπιφέρει τῷ 20

4. ἤρχοντο C.e. 9. ἐδύναντο G.L.O.d. Bekk. 10. ἀπέπλευσαν L.O.P. ἐπέπλεον d. ἔπλεον e. ἀπέπλευσαν G. (εον) 11. κεφαληνίαν c.e. κραναίων γρ. G. κρανείων L.O.P. κρανίαν Q. κρανωνίων I. 12. ἀπαντηθέντες d. 13. ἀπροσδοκήτοις A.E.F.H.K.Q. et correctus V.c.g h.i. Haack. Poppo. Goeller. Bekk. B.C.G. et vulgo ἀπροσδοκήτως. 14. κρανωνίων C.I.L.O.e. κρανείων corr. G. ἀναγόμενοι B.L.O.P.Q.V. ἀνεκομίσθησαν e. 16. οἱ] om. C.G.L.O.P.e. 17. δημοσίας L.O.P. τὰς ταφὰς N.

16. Ἀθηναῖοι τῷ πατρ.] Vide Petiti Leg. Att. p. 500. 501. HUDS.

20. πρότριτα] Hesych. πρὸ πολλοῦ. Vid. Theophrast. III. 7. Synesium Epist. IV. Suidas πρότριτα τῇ τρίτῃ ἐπάνω ἡμέρᾳ. WASS. De προθέσει mortuorum apud Athenienses in tertium diem ante τὴν ἐκφορὰν add. Interpretes Pollucis, VIII. 146. DUKER. "Three days before the carrying out "the body to the burial;" that is, according to the Greek mode of computation, supposing the burial to take place on the third day of the month, πρότριτα would be on the first day. In ordinary funerals, the body was obliged to be carried out the day after it was laid out, and the funeral took place before sunrise. Compare Demosthenes against Macartatus, p. 1071. Reiske. Cicero de Legibus, II. 26. In private funerals also, orations in praise of the deceased were forbidden. Cicero, ibid.

battle in the first summer of the war.

αὐτοῦ ἕκαστος ἤν τι βούληται. ἐπειδὰν δὲ ἡ 3
ἐκφορὰ ᾖ, λάρνακας κυπαρισσίνας ἄγουσιν
ἅμαξαι, φυλῆς ἑκάστης μίαν· ἔνεστι δὲ τὰ ὀστᾶ ἧς ἕκαστος
ἦν φυλῆς. μία δὲ κλίνη κενὴ φέρεται ἐστρωμένη τῶν ἀφανῶν, 4
5 οἳ ἂν μὴ εὑρεθῶσιν ἐς ἀναίρεσιν. ξυνεκφέρει δὲ ὁ βουλόμενος 5
καὶ ἀστῶν καὶ ξένων, καὶ γυναῖκες πάρεισιν αἱ προσήκουσαι
ἐπὶ τὸν τάφον ὀλοφυρόμεναι. τιθέασιν οὖν ἐς τὸ δημόσιον 6
σῆμα, ὅ ἐστιν ἐπὶ τοῦ καλλίστου προαστείου τῆς πόλεως, καὶ
ἀεὶ ἐν αὐτῷ θάπτουσι τοὺς ἐκ τῶν πολέμων, πλήν γε τοὺς ἐν
10 Μαραθῶνι· ἐκείνων δὲ διαπρεπῆ τὴν ἀρετὴν κρίναντες αὐτοῦ
καὶ τὸν τάφον ἐποίησαν. ἐπειδὰν δὲ κρύψωσι γῇ, ἀνὴρ 7
ᾑρημένος ὑπὸ τῆς πόλεως, ὃς ἂν γνώμῃ τε δοκῇ μὴ ἀξύνετος
εἶναι καὶ ἀξιώσει προήκῃ, λέγει ἐπ' αὐτοῖς ἔπαινον τὸν
πρέποντα· μετὰ δὲ τοῦτο ἀπέρχονται. ὧδε μὲν θάπτουσι· 8
15 καὶ διὰ παντὸς τοῦ πολέμου, ὁπότε ξυμβαίη αὐτοῖς, ἐχρῶντο
τῷ νόμῳ. ἐπὶ δ' οὖν τοῖς πρώτοις τοῖσδε Περικλῆς ὁ 9

1. ἑαυτοῦ d. βούλεται E. δὲ A.B.C.E.F.G.H.K.L.N.O.P.V.b.d.e.g.h.i. Haack. Poppo. Goeller. Bekk. vulgo δὲ καί. 2. κυπαρισσίνους A. κυπαρισίνους V. 3. ἅμαξαι οὖσαι φυλῆς ἑκάστης μία g.h. δὲ A.B.C.E.F.G.H.K. N.V.c.f.g.h.i. Haack. Poppo. Goell. Bekk. ceteri δὲ καί. 5. ξυνεμφέρει Q. 6. ἀστικῶν L.O.P. παρεῖσαν C. παρῆσαν L.O.P. 7. ἐπὶ] κατὰ L. παρὰ G.O.P. 10. δὲ] γὰρ G.L.O.P. τὴν ἀρετὴν διαπρεπῆ L.O.P. 11. δὲ] γὰρ Q. κρύψωσι τῇ γῇ B.g.h. γῆν E. 12. ὃς] ἀξιώματι ὃς E. δοκεῖ B.Q.g.h. 13. ἀξιώσει A.B.C.E.F.G.H.I.K.N.V.c.d.e.f.g.h.i. Poppo. Goell. Bekk. conf. I. 69, 1. II. 65, 8. VI. 54, 3. vulgo ἀξιώματι. προήκει F.H.K.d.g. προσήκει A.B.E.Q.c.h.i. 14. πρέποντα] προσήκοντα G.L.O.P.Q. ἀπέρχεται C.e. 15. ξυμβαίνει G.I. 16. ante τῷ deletas duas F. ἐπὶ] ἐπεὶ C.

2. *λάρνακας κυπ.*] Hunc locum respicit et illustrat Theodor. Therapeut. 8. *καὶ ὁ Θουκυδίδης τῶν ἐν τῷ Πελοποννησιακῷ πολέμῳ τετελευτηκότων διηγεῖται τὸ γέρας· καὶ ὅπως μὲν τὰ εὑρηθέντα σώματα τῶν προσηκόντων ἕκαστος ἠξίου τάφου. ἡλίκην δὲ τοῖς ἥκιστα εὑρηθεῖσιν ἐμηχανῶντο τιμήν, κυπαριττίνας μὲν κατασκευάζοντες λάρνακας*, &c. Vide Gallæi Comment. in Orac. Sybill. pag. 100. HUDS.

8. *ἐπὶ τοῦ καλλίστου προαστείου*] In Ceramico extra Urbem. Vide Meurs. de Popul. Att. in Κεραμεικός. Petit. Leg. Attic. p. 495. et Palmer. Exercitat. p. 48. DUKER. The Ceramicus without the walls. Cicero de Legibus, II. 26. "Amplitudines sepulchrorum quas "in Ceramico videmus." With regard to the word *προαστεῖον*, see note on IV. 69, 2.

11. *ἀνὴρ ᾑρημένος ὑπὸ τῆς πόλεως*] "Nec de mortui laude ab alio, nisi si "qui publice ad eam rem constitutus "esset, dici licebat." Cicero de Legibus, II. 26.

10 Ξανθίππου ᾑρέθη λέγειν. καὶ ἐπειδὴ καιρὸς ἐλάμβανε, προελθὼν ἀπὸ τοῦ σήματος ἐπὶ βῆμα ὑψηλὸν πεποιημένον, ὅπως ἀκούοιτο ὡς ἐπὶ πλεῖστον τοῦ ὁμίλου, ἔλεγε τοιάδε.

XXXV. "ΟΙ μὲν πολλοὶ τῶν ἐνθάδε εἰρηκότων ἤδη "ἐπαινοῦσι τὸν προσθέντα τῷ νόμῳ τὸν λόγον τόνδε, ὡς 5

1. καιρὸς C.E.F.G. καιρὸν A.B.N.g.h. Bekk. 3. ἐπὶ τὸ πλεῖστον. ἐλέγετο E. 4. μὲν οὖν πολλὰ C.G.e. εἰρηκότων ἤδη A.B.E.F.H.V.g.h. Poppo. Goell. Bekk. C. et ceteri ἤδη εἰρηκότων. ἤδη om. Canon. 48. et pr. G.

1. ἐπειδὴ καιρὸς ἐλάμβανε] Bekker, on the authority of some few MSS., has altered καιρὸς to καιρὸν, referring to the argument of the "Philippus" of Isocrates, where the expression διὸ καὶ καιρὸν ἔσχε occurs. Göller retains καιρὸν in the text, but his note is in favour of καιρός; and he confirms it by the expression in Dionysius, Ant. Rom. X. p. 2141. 4. ἐπεὶ δὲ κατελάμβανεν ὁ τῶν ἀρχαιρεσιῶν καιρός. Poppo also reads καιρὸς, which I have no doubt is the true reading. The sense is not, "when "he got an opportunity," but rather, "when the occasion came;" or literally, "when the season came upon him."

[Göller in his second edition reads καιρός. Dobree prefers καιρὸν, referring to Demosthen. I. Olynth. p. 16. and II. Philippic. p. 70. Reiske. The last passage is, πείσεσθαί τι κακὸν προσδοκῶν (ὁ Φίλιππος,) ἂν καιρὸν λάβητε. But a man is said, I think, καιρὸν λαμβάνειν, when he gets an opportunity for doing something that he was wishing to do. This was not the case with Pericles, but rather καιρὸς ἐλάμβανεν αὐτὸν, that is, "the time came upon him, when the "speech was to be spoken, whether he "liked to do it or no." Compare also Dion Cassius XLIV. 19. when speaking of Cæsar's assassination. ἐπεί τε ὁ καιρὸς ἐλάμβανε προσῆλθέ τις αὐτῷ.]

4. οἱ μὲν—αὐτόν.] Pericles, in Orat. quam ἐπιτάφιον λόγον vocat, ita infit: τὴν νεότητα ἐκ τῆς πόλεως ἀνῃρῆσθαι, ὥσπερ τὸ ἔαρ ἐκ τοῦ ἐνιαυτοῦ εἰ ἐξαιρεθείη. Aristot. Rhet. I. 7, 34. 720. unde patet nostrum et hic et alibi oratorum mentem et sensus, non autem verba, repræsentare. Ipsum audiamus I. 22, 1.: Καὶ ὅσα μὲν λόγῳ εἶπον ἕκαστοι, ἢ μέλλοντες πολεμήσειν, ἢ ἐν αὐτῷ ἤδη ὄντες, χαλεπὸν τὴν ἀκρίβειαν αὐτὴν τῶν λεχθέντων διαμνημονεῦσαι ἦν, ἐμοί τε ὧν αὐτὸς ἤκουσα, καὶ τοῖς ἄλλοθέν ποθεν ἐμοὶ ἀπαγγέλλουσιν· ὡς δ' ἂν ἐδόκουν ἐμοὶ ἕκαστοι περὶ τῶν ἀεὶ παρόντων τὰ δέοντα μάλιστα εἰπεῖν, ἐχομένῳ ὅτι ἐγγύτατα τῆς ξυμπάσης γνώμης τῶν ἀληθῶς λεχθέντων, οὕτως εἴρηται. Cæterum hæc Pericles ex Herodoto sublegit VII. 162. Ἀμείβετο Γέλων—ἀγγέλλοντες τῇ Ἑλλάδι, ὅτι ἐκ τοῦ ἐνιαυτοῦ τὸ ἔαρ αὐτῇ ἐξαραίρηται. Periclem nihil præter plebiscita scriptum reliquisse affirmat Plutarchus; et Schol. in Hermogenem, p. 21. ita laudat ἀπὸ τοῦ Ἐπιταφίου Θουκυδίδου, nec aliter Theon. Wass.

5. τὸν προσθέντα τῷ ν.] Sic Dionys. Halic. p. 291. ed. Sylburg. ὀψὲ γάρ ποτε, Ἀθηναῖοι προσέθεσαν τὸν ἐπιτάφιον ἔπαινον τῷ νόμῳ &c. Hujus legis auctor multis (ut et Scholiastæ nostro) visus est Solon: quem Laërtius testatur modis omnibus favisse virorum fortium, et qui pro patria occubuissent, memoriæ. At Diodorus Sic. XI. testatur, ludos funebres Athenis primum fuisse actos in memoriam eorum, qui bello Persico fortiter pugnantes obierant: quo etiam tempore lege cautum ait, ut de laudibus eorum, quos resp. censuisset publice sepeliendos, concionem oratores, quibus id munus a civitate mandaretur, haberent. Quod et orationes funebres, quæ exstant apud Demosthenem et Lysiam, docent. Vid. Stephani Notas in Dionys. p. 23.—Huds.

5. ὡς καλὸν] Vertunt quasi legeretur καλὸν ὄν. Sed forsan delendum αὐτόν. Dobree.

[If any alteration were required, I should propose inserting ὂν after καλὸν, supposing that it may have dropped out, as often happens, from the recurrence of the same syllable in the preceding word.]

FUNERAL ORATION OF PERICLES. (35—46.)

Although in his own judgment all words in honour of the dead might well have been forborne; for either through the fault of the speaker, or the partiality or jealousy of the hearers, it would be hard for any speech on such an occasion to give satisfaction; yet still, as the law has so willed it, he will endeavour to satisfy its call.

" καλὸν ἐπὶ τοῖς ἐκ τῶν πολέμων θαπτομένοις
" ἀγορεύεσθαι αὐτόν. ἐμοὶ δ' ἀρκοῦν ἂν ἐδόκει 2
" εἶναι ἀνδρῶν ἀγαθῶν ἔργῳ γενομένων ἔργῳ
" καὶ δηλοῦσθαι τὰς τιμάς, οἷα καὶ νῦν περὶ
5 " τὸν τάφον τόνδε δημοσίᾳ παρασκευασθέντα
" ὁρᾶτε, καὶ μὴ ἐν ἑνὶ ἀνδρὶ πολλῶν ἀρετὰς
" κινδυνεύεσθαι εὖ τε καὶ χεῖρον εἰπόντι πι-
" στευθῆναι. χαλεπὸν γὰρ τὸ μετρίως εἰπεῖν 3
" ἐν ᾧ μόλις καὶ ἡ δόκησις τῆς ἀληθείας
10 " βεβαιοῦται. ὅ τε γὰρ ξυνειδὼς καὶ εὔνους 4
" ἀκροατὴς τάχ' ἄν τι ἐνδεεστέρως πρὸς ἃ
" βούλεταί τε καὶ ἐπίσταται νομίσειε δηλοῦ-
" σθαι, ὅ τε ἄπειρος ἔστιν ἃ καὶ πλεονάζεσθαι, διὰ φθόνον,
" εἴ τι ὑπὲρ τὴν ἑαυτοῦ φύσιν ἀκούοι. μέχρι γὰρ τοῦδε 5
15 " ἀνεκτοὶ οἱ ἔπαινοί εἰσι περὶ ἑτέρων λεγόμενοι, ἐς ὅσον ἂν
" καὶ αὐτὸς ἕκαστος οἴηται ἱκανὸς εἶναι δρᾶσαί τι ὧν ἤκουσε·

1. ἐπὶ] om. N.V. τῶν] om. d. πόλεων A.F.g. 2. ἀρκοῦν ἂν A.C.E.F.G.H.K.L.O.P.Q.V.e.g.h.i. Haack. Poppo. Goell. Bekk. B. et vulgo ἂν ἀρκοῦν. 4. καὶ δηλοῦσθαι] δηλοῦσθαι καὶ e. δηλοῦσθαι K. 5. τόνδε] om. O.P. 6. ὁρᾶται V. ἐν] om. C.G.L.O.P. 9. ἐν] om. pr. G. 11. ἂν ἐνδεεστέρως O. ἄν τι καὶ ἐνδεεστέρως f. 12. νομίσοι L.O.P. 13. ὁ δὲ G.O. 14. αὐτοῦ C.G.L.O.P.e. Can. 48. 15. εἰσι] om. g. 16. οἴεται, omisso antea ἄν, i.

6. *καὶ μὴ ἐν ἑνὶ ἀνδρὶ κ. τ. λ.*] Haack has, I think, interpreted these words rightly: "Neque in uno viro multorum virtutes periclitari debere, ut earum fides a meliore vel deteriore oratione pendeat." The words *εὖ τε καὶ χεῖρον εἰπόντι πιστευθῆναι* appear to me to be merely a sort of explanation of the term *κινδυνεύεσθαι*. "The virtues "of many were perilled in one indivi- "dual, for him to be believed both if "he spoke well and if he spoke ill." The impression of the merits of the dead depending on the judgment and eloquence of the orator, their virtues might properly be said to be perilled in his person.

8. *χαλεπὸν γὰρ τὸ μετρίως εἰπεῖν κ.τ.λ.*] "For it is hard to speak with exact "propriety on a subject where, besides "its other difficulties, it is hard to con- "vince the hearers that what you say "to them is the truth." *Δόκησιν ἀληθείας βεβαιοῦν* is exactly, as Göller interprets it, "certam persuasionem ex- "citare, verum esse aliquid." Compare III. 43, 1. *τῆς οὐ βεβαίου δοκήσεως τῶν κερδῶν*, "Your ill-grounded impression "that we are bribed." So here; "It "is hard to impress our hearers con- "vincingly with the truth of what we "are saying." He then adds at the end of the chapter, *χρὴ—πειρᾶσθαι—τῆς ἑκάστου βουλήσεώς τε καὶ δόξης τυχεῖν*; that is, "I must endeavour to gain "your belief of the truth of what I "say, as well as to answer your wishes, "although it be difficult to convince "you."

9. *ἡ δόκησις τῆς ἀλ.*] Laudat, et scholia describit Suidas in *δόκησις ἀληθ.* Duker.

" τῷ δὲ ὑπερβάλλοντι αὐτῶν φθονοῦντες ἤδη καὶ ἀπιστοῦ-
6 " σιν. ἐπειδὴ δὲ τοῖς πάλαι οὕτως ἐδοκιμάσθη ταῦτα καλῶς
" ἔχειν, χρὴ καὶ ἐμὲ ἑπόμενον τῷ νόμῳ πειρᾶσθαι ὑμῶν τῆς
" ἑκάστου βουλήσεώς τε καὶ δόξης τυχεῖν ὡς ἐπὶ πλεῖστον.
" XXXVI. ἄρξομαι δὲ ἀπὸ τῶν προγόνων πρῶτον· δίκαιον 5
" γὰρ αὐτοῖς καὶ πρέπον δὲ ἅμα ἐν τῷ τοιῷδε τὴν τιμὴν
" ταύτην τῆς μνήμης δίδοσθαι. τὴν γὰρ χώραν
" ἀεὶ οἱ αὐτοὶ οἰκοῦντες διαδοχῇ τῶν ἐπιγιγνο-
" μένων μέχρι τοῦδε ἐλευθέραν δι' ἀρετὴν
" παρέδοσαν. καὶ ἐκεῖνοί τε ἄξιοι ἐπαίνου καὶ 10
" ἔτι μᾶλλον οἱ πατέρες ἡμῶν· κτησάμενοι
" γὰρ πρὸς οἷς ἐδέξαντο, ὅσην ἔχομεν ἀρχὴν,
" οὐκ ἀπόνως ἡμῖν τοῖς νῦν προσκατέλιπον.
" τὰ δὲ πλείω αὐτῆς αὐτοὶ ἡμεῖς οἵδε οἱ νῦν
" ἔτι ὄντες μάλιστα ἐν τῇ καθεστηκυίᾳ ἡλικίᾳ 15
" ἐπηυξήσαμεν, καὶ τὴν πόλιν τοῖς πᾶσι
" παρεσκευάσαμεν καὶ ἐς πόλεμον καὶ ἐς εἰρή-

2 First then he briefly notices their ancestors, and their own immediate fathers, the founders of their empire and their glory; 3 in whose path their sons have worthily followed. Yet he will not repeat now the well known tale of their victories in war, 4 but will rather develope those internal principles of their polity to which their greatness alike in peace and war was to be ascribed.

1. τὸ δὲ ὑπερβάλλον codd. nonnulli. Dionys. t. VI. p. 798. αὐτὸν A.B.C.G. H.I.K.L.O.Q.b.c. et corr. F. αὐτῶν Dionys. 3. καὶ ἐμὲ] om. K. 4. ἐπιτοπλεῖστον L. 6. δὲ] om. K. 7. ταύτης L.O.d.e.h.i. et omisso τῆς I. 8. οἱ αὐτοὶ ἀεὶ C.G.L.O.P.e. Can. 48. 11. κτισάμενοι E. 14. πλείω A.E.F.G.H.K. Q.V.c.f.g.h.i. Haack. Poppo. Goeller. Bekk. B.C. et ceteri πλέω. αὐτοὶ ἡμεῖς] om. K. 15. μάλιστα] om. O. 16. ἀπηυξήσαμεν B. ἀπευξήσαμεν A. 17. alteram ἐς om. M.

1. τῷ δὲ ὑπερβάλλοντι αὐτῶν] The scholiast understands αὐτῶν of ἐπαίνων; Göller explains it, " Iis autem quæ ipsorum vires exsuperant, invident." Poppo takes αὐτῶν as neuter, and makes it refer to the preceding words ἃ ἂν ἕκαστος οἴηται ἱκανὸς εἶναι δρᾶσαι. " What goes beyond that which each conceives himself able to accomplish."

5. ἀπὸ τῶν προγόνων] Confer Demosth. in Orat. Funeb. pag. 152.—Wass.

6. καὶ πρέπον δὲ] " Et decorum etiam." " It is just and fitting too at the same time." Compare I. 132, 2. καὶ ἦν δὲ οὕτως. VII. 56, 3. καὶ ἦν δὲ ἄξιος ὁ ἀγών. Herodot. IV. 105, 4. καὶ ὀμνύουσι δὲ λέγοντες. Xenophon. Anabas. I. 1, 2. καὶ στρατηγὸν δὲ ἀπέδειξεν. In this same sense we have the expression καὶ ταῦτα μέντοι, as in Herodotus, I. 96, 2. VI. 61, 4. 137, 5. and Æschylus, Prometh. 957. Schütz.

8. διαδοχῇ τῶν ἐπιγιγνομένων] Göller joins these words with οἰκοῦντες, as a Latin ablative case: " inhabiting in or with a succession of posterity." Others take them as a Latin dative, and join them with παρέδοσαν.

15. ἐν τῇ καθεστηκυίᾳ ἡλικίᾳ] " Who are even yet for the most part in the vigour of life." Literally, " in the settled or set time of life," when the system has in a manner reached its perfection, and rests from the work of

"νην αὐταρκεστάτην. ὧν ἐγὼ τὰ μὲν κατὰ πολέμους ἔργα, 5
"οἷς ἕκαστα ἐκτήθη, ἢ εἴ τι αὐτοὶ ἢ οἱ πατέρες ἡμῶν
"βάρβαρον ἢ Ἕλληνα πόλεμον ἐπιόντα προθύμως ἠμυνά-
"μεθα, μακρηγορεῖν ἐν εἰδόσιν οὐ βουλόμενος ἐάσω· ἀπὸ
5 "δὲ οἵας τε ἐπιτηδεύσεως ἤλθομεν ἐπ' αὐτὰ καὶ μεθ' οἵας
"πολιτείας καὶ τρόπων ἐξ οἵων μεγάλα ἐγένετο, ταῦτα
"δηλώσας πρῶτον εἶμι καὶ ἐπὶ τὸν τῶνδε ἔπαινον, νομίζων
"ἐπί τε τῷ παρόντι οὐκ ἂν ἀπρεπῆ λεχθῆναι αὐτά, καὶ τὸν
"πάντα ὅμιλον καὶ ἀστῶν καὶ ξένων ξύμφορον εἶναι αὐτῶν
10 "ἐπακοῦσαι. XXXVII. Χρώμεθα γὰρ πολιτείᾳ οὐ ζηλούσῃ
"τοὺς τῶν πέλας νόμους, παράδειγμα δὲ
"μᾶλλον αὐτοὶ ὄντες τινὶ ἢ μιμούμενοι ἑτέ-
"ρους. καὶ ὄνομα μὲν διὰ τὸ μὴ ἐς ὀλίγους 2
"ἀλλ' ἐς πλείονας οἰκεῖν δημοκρατία κέκληται·
15 "μέτεστι δὲ κατὰ μὲν τοὺς νόμους πρὸς τὰ

Those principles are, freedom, equality of rights, and a liberal spirit: no privileged castes engross all honors, no degraded ones are deprived of the benefits of equal

2. ἐκτήθη ἕκαστα e. 3. ἠμυνόμεθα G.e. 5. ἦλθον B.F.H.N.V.h. Poppo. 6. ἐξ οἵων] om. g. μεγάλων A.B.h. 9. ξύμφονον d. ἐπακοῦσαι αὐτῶν C.G.L.O.P.e. 48. 12. μᾶλλον αὐτοὶ A.B.C.E.F.G.H.K.L.O.P.Q.V.c.d.e.f. g.h.i. Haack. Poppo. Goell. Bekk. vulgo αὐτοὶ μᾶλλον. τινὶ A.B.E.F.H.K. N.V.c.g. Haack. Poppo. Goeller. Bekk. C.G. et ceteri τισίν. ἑτέρους μιμούμενοι V. ἑτέρους] καὶ ἑτέρους i. 13. μὴ] om. pr. G. 14. πλέονας G.e. οἰκεῖν G. (ἢ) ἥκεῖν Q. ἥκειν L.O.N. ἥκειν 48. cum schol. ἐρχέσθαι τὴν ἀρχήν.

growth. In this sense Polybius applies the term to the sea in a calm, θάλασσα γαληνὴ καὶ καθεστηκυῖα. XXII. 14, 10. and Herodotus to the gradual subsiding of disorder, ἐπεὶ κατέστη ὁ θόρυβος. III. 80, 1.

3. βάρβαρον ἢ Ἕ. π.] Agnoscit Th. Mag. in βαρβαρικός. Wass.

Ἕλληνα πόλεμον] The use of the word Ἑλλὰς as an adjective with feminine substantives is well known; but Ἕλλην as a masculine adjective is very rare. Göller compares Σκύθην ἐς οἶμον in Æschyl. Prometh. 2. There seems to be no reasonable doubt as to the genuineness of the present text.

14. ἐς πλείονας οἰκεῖν] Compare for the sentiment VI. 39. Herodot. III. 80. Οἰκεῖν denotes not merely the physically inhabiting, but the act of disposing and directing the concerns of our daily life in the place of our ordinary habitation; in the same sense as the term "life" and "to live" expresses not only physical existence, but the manner in which we act in that existence. Οἰκεῖν ἐς πλείονας then signifies, to form institutions and to direct our views for the benefit of the mass of the community. Compare I. 17, 1. and Herodot. IV. 179, 3. and Xenophon, Hellenic. IV. 8, 5. Τῆμνος, καὶ Αἰγαὶ, καὶ ἄλλα γε χωρία δύνανται οἰκεῖν.

δημοκρατία] Vid. VI. 89, 4. Æschylum Suppl. 706. Demosth. pag. 155. Eurip. Phœniss. 540. Suppl. 405. Platonem Menex. p. 519. A. Wass.

15. μέτεστι—ἴσον] Thom. Mag. in μέλει. Duker.

ATHENS. A.C. 431, 0. Olymp. 87. 2.

law; no intolerance requires that every one's manners and habits should be conformed to its own model. Yet liberty is not license: and they who fear no tyranny, and are subject to no arbi- 3 trary restraint, are deeply influenced by the fear of the laws, and submit willingly to the restraint of the principles of justice and generosity.

" ἴδια διάφορα πᾶσι τὸ ἴσον, κατὰ δὲ τὴν
" ἀξίωσιν, ὡς ἕκαστος ἔν τῳ εὐδοκιμεῖ, οὐκ
" ἀπὸ μέρους τὸ πλεῖον ἐς τὰ κοινὰ ἢ ἀπ'
" ἀρετῆς προτιμᾶται, οὐδ' αὖ κατὰ πενίαν,
" ἔχων δέ τι ἀγαθὸν δρᾶσαι τὴν πόλιν, ἀξιώ- 5
" ματος ἀφανείᾳ κεκώλυται. ἐλευθέρως δὲ τά
" τε πρὸς τὸ κοινὸν πολιτεύομεν καὶ ἐς τὴν
" πρὸς ἀλλήλους τῶν καθ' ἡμέραν ἐπιτηδευ-
" μάτων ὑποψίαν, οὐ δι' ὀργῆς τὸν πέλας, εἰ
" καθ' ἡδονήν τι δρᾷ, ἔχοντες, οὐδὲ ἀζημίους 10

2. τινι K.c.d.i. τῷ F.g. et pr. E. cujus in margine manu recenti ἔν τινι, διὸ ἐγκλίνεται. 3. τὰ πλέω C.G.L.O.P.d. ἀπ'] om. d.i. 5. τε καὶ ἀγαθὸν g. Post ἀξιώματος deletas tres F. 6. ἀφανίᾳ K.M.b. cum Dionysio. 7. πολιτευόμενοι L.O. 48. 9. τῶν A.B.N. εἰ] οἱ M. 10. δρᾷν A.B.M.N.h.

4. *οὐκ ὀλοφύρομαι μᾶλλον κ. τ. λ.*] "I "do not bewail their fate, but am ra-"ther going to comfort them." There seems no reason why this transition from the present tense to the future should be noticed as remarkable. It was evident, from what he had been saying, that Pericles was at that instant not bewailing or condoling with the parents; although the particular points of comfort that he was going to urge were not yet mentioned. He therefore correctly says, *οὐκ ὀλοφύρομαι ἀλλὰ παραμυθήσομαι.* The sense of what follows I believe to be this; "For they "know that their condition from their "birth has been subject to manifold "misfortunes; but that their lot may "be truly regarded as fortunate, whose "portion has been most full of honour, "such as is their death, such as is "your sorrow; and the duration of "whose life has been commensurate "with that of their happiness." The abstract term *τὸ εὐτυχὲς* is defined by the concrete *οἳ ἂν—λάχωσιν*, a confusion between two modes of expression, *τούτους δὲ εὐτυχεῖς εἶναι, οἳ ἂν—λάχωσιν*, and *τὸ δ' εὐτυχὲς, τὸ τῆς εὐπρεπεστάτης λαχεῖν.* Compare c. 62, 4. *καταφρόνησις δὲ, ὃς ἂν κ. τ. λ.* III. 45, 7. *ἀδύνατον—ὅστις οἴεται.* III. 56, 8. *τὸ ξυμφέρον μὴ ἄλλο τι, ἢ ὅταν—ἔχωσι.* V. 16, 1. VI. 14. VII. 68, 1. &c. Xenophon, Hellenic. II. 3, 51. *προστάτου ἔργον εἶναι, ὃς ἂν—μὴ ἐπιτρέπῃ.* The words *οἷς ἐνευδαιμονῆσαί τε—ξυνεμετρήθη*, are obscure from their affected point and brevity. He means that they are truly fortunate whose life does not outlast their happiness; or in his own strange phraseology, "whose life has been so exactly "measured, that they are happy in it, "and seeing the end of it at the same "moment. That even at the moment "of ending it, their happiness still lasts "out, and they are yet happy in it." The sentiment is common enough, but it would not be easy to find another instance of such a far-fetched method of expressing it. Elmsley has collected a number of passages in which are verbs similarly compounded with *ἐν*, in his note on the 508th line of the Bacchæ of Euripides: *ἐνδυστυχῆσαι, ἐνιππεῦσαι, ἐναποπατεῖν,* &c.

ATHENS. A. C. 431, 0. Olymp. 87. 2.

Yet they may hope for new ties and new affections; or if their age denies this hope, then let the thought of the happy past console the short space of life that yet remains to them; and let its glory, the best solace of old age, be their comfort.

" στάτης λάχωσιν, ὥσπερ οἵδε μὲν νῦν τελευ-
" τῆς, ὑμεῖς δὲ λύπης, καὶ οἷς ἐνευδαιμονῆσαί
" τε ὁ βίος ὁμοίως καὶ ἐντελευτῆσαι ξυνεμε-
3 " τρήθη. χαλεπὸν μὲν οὖν οἶδα πείθειν ὄν, ὧν
" καὶ πολλάκις ἕξετε ὑπομνήματα ἐν ἄλλων 5
" εὐτυχίαις, αἷς ποτὲ καὶ αὐτοὶ ἠγάλλεσθε·
" καὶ λύπη οὐχ ὧν ἄν τις μὴ πειρασάμενος
" ἀγαθῶν στερίσκηται, ἀλλ' οὗ ἂν ἐθὰς γενό-
4 " μενος ἀφαιρεθῇ. καρτερεῖν δὲ χρὴ καὶ ἄλλων παίδων
" ἐλπίδι, οἷς ἔτι ἡλικία τέκνωσιν ποιεῖσθαι· ἰδίᾳ γάρ τε τῶν 10
" οὐκ ὄντων λήθη οἱ ἐπιγιγνόμενοί τισιν ἔσονται, καὶ τῇ
" πόλει διχόθεν, ἔκ τε τοῦ μὴ ἐρημοῦσθαι καὶ ἀσφαλείᾳ,
" ξυνοίσει· οὐ γὰρ οἷόν τε ἴσον τι ἢ δίκαιον βουλεύεσθαι οἳ
" ἂν μὴ καὶ παῖδας ἐκ τοῦ ὁμοίου παραβαλλόμενοι κινδυ-
5 " νεύωσιν. ὅσοι δ' αὖ παρηβήκατε, τόν τε πλέονα κέρδος ὃν 15
" εὐτυχεῖτε βίον ἡγεῖσθε καὶ τόνδε βραχὺν ἔσεσθαι, καὶ τῇ
6 " τῶνδε εὐκλείᾳ κουφίζεσθε. τὸ γὰρ φιλότιμον ἀγήρων
" μόνον, καὶ οὐκ ἐν τῷ ἀχρείῳ τῆς ἡλικίας τὸ κερδαίνειν,
" ὥσπερ τινές φασι, μᾶλλον τέρπει, ἀλλὰ τὸ τιμᾶσθαι.

1. νῦν] om. L.O.V. ante μὲν ponit K. 2. οἷς] ἐν οἷς nonnulli. 3. τελευτῆσαι g. Reiskius ἐνευτελευτῆσαι. 7. μὴ] om. c. πειρασόμενος A.B. C.E.F.H.I.K.L.M.G.V.c.h. 48. et pr. G. 9. ἀφαιρεθῇ C.F.G.I.L.O. 47. 48. Poppo. Goell. Bekk. A.B.E. et vulgo ἀφαιρεθείη. χρὴ] om. g. 10. ἔτι] ἔστι I. ἡλικίαν C. ἡλια E. γάρ τε A.B.C.E.F.G.H.K.L.O.V.c.d.e.f.g.h.i. 47. 48. Poppo. Goell. ceteri τε γὰρ. 12. τε] om. g. ἀσφάλεια F. 13. ξυνοίσει A.B.C.F.G.H.I.K.N.P.Q.V.c.d.e.f.g.h.i. Parm. 47. 48. Haack. Poppo. Goell. Bekk. E. et vulgo ξυνοίσειν. τι] τε A.B.E.F.H.V. 14. μὴ post ἂν ponunt H.g. post καὶ A.B.E.F.V.c.f. 14. παραλαμβανόμενοι c. κινδυνεύουσιν C.e. κινδυνεύσωσιν L.M. 15. πλέονα C.L.O.P. ὃν A.B.E.F.G.H. Parm. Haack. Poppo. Goell. Bekk. ἂν g. C. et vulgo ὄν. 16. τῇ] om. g. 17. τῶνδε] τοῦδε c. ἀγήρω I.P.e.

4. πείθειν] Confer Lysiam, p. 520. Wass.

11. τῇ πόλει ἀσφαλείᾳ ξυνοίσει, οὐ γὰρ οἷόν τε κ. τ. λ.] A large family of children will add to the security of the state, by making the parents have a greater stake in its welfare. Compare I. 91, 6. οὐ γὰρ οἷόν τ' εἶναι μὴ ἀπὸ ἀντιπάλου παρασκευῆς, ὅμοιόν τι ἢ ἴσον ἐς τὸ κοινὸν βουλεύεσθαι.

17. ἀγήρων] Ad senes ἀγήρων eleganter, quomodo Æschylus Agam. ἡβᾷ, utitur. Ἀεὶ γὰρ ἡβᾷ τοῖς γέρουσιν εὖ μαθεῖν. 593. Vid. Valerium Flaccum, I. 77. Confer. Demosth. p. 156. c.—Wass.

ATHENS. A.C. 431, 0. Olymp. 87. 2.

"XLV. παισὶ δ' αὖ ὅσοι τῶνδε πάρεστε ἢ ἀδελφοῖς ὁρῶ
"μέγαν τὸν ἀγῶνα· τὸν γὰρ οὐκ ὄντα ἅπας εἴωθεν ἐπαινεῖν,
"καὶ μόλις ἂν καθ' ὑπερβολὴν ἀρετῆς οὐχ
"ὁμοῖοι ἀλλ' ὀλίγῳ χείρους κριθείητε. φθόνος 2
5 "γὰρ τοῖς ζῶσι πρὸς τὸ ἀντίπαλον, τὸ δὲ μὴ
"ἐμποδὼν ἀνανταγωνίστῳ εὐνοίᾳ τετίμηται.
"εἰ δέ με δεῖ καὶ γυναικείας τι ἀρετῆς, ὅσαι 3
"νῦν ἐν χηρείᾳ ἔσονται, μνησθῆναι, βραχείᾳ
"παραινέσει ἅπαν σημανῶ. τῆς τε γὰρ ὑπαρ- 4
10 "χούσης φύσεως μὴ χείροσι γενέσθαι ὑμῖν
"μεγάλη ἡ δόξα, καὶ ἧς ἂν ἐπ' ἐλάχιστον
"ἀρετῆς πέρι ἢ ψόγου ἐν τοῖς ἄρσεσι κλέος ᾖ.

For the children and brothers of the dead—let them know how hardly they must strive to equal the fame of those whom no jealousy is now anxious to depreciate. For their wives—let them maintain the peculiar glory of their sex, and fly from the breath of public praise almost as much as from that of public censure.

"XLVI. Εἴρηται καὶ ἐμοὶ λόγῳ κατὰ τὸν νόμον ὅσα εἶχον
"πρόσφορα, καὶ ἔργῳ οἱ θαπτόμενοι τὰ μὲν ἤδη κεκόσμην-
15 "ται, τὰ δὲ αὐτῶν τοὺς παῖδας τὸ ἀπὸ τοῦδε
"δημοσίᾳ ἡ πόλις μέχρι ἥβης θρέψει, ὠφέ-
"λιμον στέφανον τοῖσδέ τε καὶ τοῖς λειπο-
"μένοις τῶν τοιῶνδε ἀγώνων προτιθεῖσα·

The tribute of words is now paid; so will that of deeds be, when the children now left orphans shall have been brought up to

2. πᾶς C.I.L.O.P.e. 47. 48. 4. ὁμοῖοι Bekk. κωλυθείητε K. 5. τὸ ἀντ.] τὸν ἀντ. A.C.E. 47. 48. 6. ἐμποδῶν A.E.F. 7. τι post ἀρετῆς V. 9. τε] om. i. 10. χείρωσι V. 12. κλέος] om. 48. 13. κατὰ—ἔργῳ] om. A.H.h. in margine ponit F. 14. καὶ ἔργῳ] om. F. 15. τὸ] τὰ A.B.F.H.N.V. 16. μέχρι] om. b. 18. προστιθεῖσα C.G.I.c.f.

7. *εἰ δέ με δεῖ καὶ γυναικείας τι ἀρετῆς κ. τ. λ.*] The antecedent to *ὅσαι* is the word *γυναικῶν*, which is equivalent in meaning to *γυναικείας*. "If I am to "say any thing on the chief excellence "of women, such as those who will "now be in widowhood," &c. By *τῆς ὑπαρχούσης φύσεως* it seems to be implied that women were not called upon to be for ever striving to surpass one another and themselves by some extraordinary display of heroism; it was their praise rather to live up to the natural excellence of their sex, its modesty and affectionateness, than to aspire to go beyond it. *Τῆς ὑπαρχούσης φύσεως* is, "the nature which you ordinarily "have already." In the concluding line of the chapter, *ἧς ἄν*, I believe, refers to *γυναικὸς*, and *ἧς ἂν—κλέος ᾖ* is the concrete, used instead of the abstract *τὸ κλέος εἶναι*, exactly as *οἳ ἂν λάχωσιν*, in the last chapter, was used instead of *τὸ λαχεῖν*. *Ὑμῖν μεγάλη ἡ δόξα* is the same in meaning as *καὶ ἐκείνη δὲ εὐδοκιμεῖ*, to which the following words, *ἧς ἂν—κλέος ᾖ*, would properly be referred. "And her's too is "a great glory, whose name is little "talked of either for good or for evil." Or, "And it is also a great glory to "you to have your name little talked "of," &c.

ATHENS. A. C. 431, 0. Olymp. 87. 2.

manhood under the care of their country;

2 a reward wise as well as liberal; for encouragement is the parent of merit.

"ἆθλα γὰρ οἷς κεῖται ἀρετῆς μέγιστα, τοῖς "δὲ καὶ ἄνδρες ἄριστοι πολιτεύουσι. νῦν "δὲ ἀπολοφυράμενοι ὃν προσήκει ἕκαστος "ἄπιτε."

XLVII. Τοιόσδε μὲν ὁ τάφος ἐγένετο ἐν τῷ χειμῶνι 5 τούτῳ· καὶ διελθόντος αὐτοῦ πρῶτον ἔτος τοῦ πολέμου

2 SECOND YEAR OF THE WAR.
The Peloponnesians again invade Attica. The plague breaks out in Athens.

τοῦδε ἐτελεύτα. Τοῦ δὲ θέρους εὐθὺς ἀρχομένου Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι, τὰ δύο μέρη, ὥσπερ καὶ τὸ πρῶτον, ἐσέβαλον ἐς τὴν Ἀττικήν· ἡγεῖτο δὲ Ἀρχίδαμος ὁ Ζευξιδάμου 10 3 Λακεδαιμονίων βασιλεύς. καὶ καθεζόμενοι ἐδῄουν τὴν γῆν. 4 καὶ ὄντων αὐτῶν οὐ πολλάς πω ἡμέρας ἐν τῇ Ἀττικῇ, ἡ νόσος πρῶτον ἤρξατο γενέσθαι τοῖς Ἀθηναίοις, λεγόμενον μὲν καὶ πρότερον πολλαχόσε ἐγκατασκῆψαι καὶ περὶ Λῆμνον

1. τοῖς δὲ Poppo. Goeller. Bekk. vulgo τοῖσδε. 3. ἕκαστος A.B.E.F.H. K.L.N.O.P.V.c.f.g.h.i. Poppo. Goeller. Bekk. C.G. et ceteri ἑκάστῳ. 4. ἀποχωρεῖτε A.E.F.H.K.N.V.c.f.g.h.i. Poppo. Goell. 6. τῷ πολέμῳ τῷδε P. τοῦ πολέμου τούτου C.e. τῷ πολέμῳ τούτῳ G. 7. τοῦδε ἐτελεύτα] om. b. δὲ] γὰρ C.g.h. 9. τὸ πρότερον Q. 10. εὐξιδάμου I. om. C.e. 13. γίνεσθαι H.L.O.P. et corr. F.

1. *τοῖς δὲ*] So it should be written, and not *τοῖσδε*, the conjunction *δὲ* being here, as in so many other places, used in the apodosis. Compare III. 98, 1. where *οἱ δὲ ἀντεῖχον*, which is the reading of the best MSS. has been properly restored by Bekker, instead of the old reading *οἵδε*. Compare also Herodotus, I. 13, 2. *συνέβησαν—ἢν μὲν δὴ τὸ χρηστήριον ἀνέλῃ μιν βασιλέα εἶναι Λυδῶν, τὸν δὲ βασιλεύειν*, where the old editions read *τόνδε*; but the MS. marked F by Schweighæuser, reads *τὸν δέ*.

2. *νῦν δὲ ἀπολοφυράμενοι—ἄπιτε*] "But now, having performed each of "you to his relations all due rites of "lamentation, depart." He does not mean that they were to bewail their friends, and then depart; for the funeral oration was the concluding part of the whole ceremony. (See ch. 34, 7.) Compare also the last sentences of the funeral oration ascribed to Demosthenes, and of the Menexenus of Plato. I have not altered the reading *ἄπιτε*, although the best MSS. read *ἀποχωρεῖτε*; because it is possible that *ἀποχωρεῖτε* may have been a marginal gloss; but it is more probable that *ἄπιτε* was inserted as the more common expression, (compare Demosth. and Plato Menexenus,) and that Thucydides wrote *ἀποχωρεῖτε*.

9. *ὥσπερ καὶ τὸ πρῶτον*] See ch. 10.

13. *λεγόμενον μὲν καὶ πρότερον κ. τ. λ.*] "*Λεγόμενον* est nominativus absolutus "(*quum dicatur*), ut *εἰρημένον*, I. 140, 5. Poppo, Prolegom. I. p. 105. Others explain the neuter gender of *λεγόμενον* by referring it, with the Scholiast, to *νόσημα*, a word of similar sense to *νόσος*, or to the sense generally, rather than to any particular word. "The "plague broke out, *a thing* which is "said to have often visited other coun-"tries," &c.

καὶ ἐν ἄλλοις χωρίοις, οὐ μέντοι τοσοῦτός γε λοιμὸς οὐδὲ φθορὰ οὕτως ἀνθρώπων οὐδαμοῦ ἐμνημονεύετο γενέσθαι. οὔτε γὰρ ἰατροὶ ἤρκουν τὸ πρῶτον θεραπεύοντες ἀγνοίᾳ, ἀλλ' 3 αὐτοὶ μάλιστα ἔθνησκον ὅσῳ καὶ μάλιστα προσῄεσαν, οὔτε 5 ἄλλη ἀνθρωπεία τέχνη οὐδεμία· ὅσα τε πρὸς ἱεροῖς ἱκέτευσαν ἢ μαντείαις καὶ τοῖς τοιούτοις ἐχρήσαντο, πάντα ἀνωφελῆ ἦν, τελευτῶντές τε αὐτῶν ἀπέστησαν ὑπὸ τοῦ κακοῦ νικώμενοι. XLVIII. ἤρξατο δὲ τὸ μὲν πρῶτον, ὡς λέγεται, ἐξ Αἰθιοπίας τῆς ὑπὲρ Αἰγύπτου, ἔπειτα δὲ καὶ ἐς 10 Αἴγυπτον καὶ Λιβύην κατέβη καὶ ἐς τὴν βασιλέως γῆν τὴν πολλήν. ἐς δὲ τὴν Ἀθηναίων 2 πόλιν ἐξαπιναίως ἐνέπεσε, καὶ τὸ πρῶτον ἐν τῷ Πειραιεῖ ἥψατο τῶν ἀνθρώπων, ὥστε καὶ ἐλέχθη ὑπ' αὐτῶν ὡς οἱ Πελοποννήσιοι φάρ-15 μακα ἐσβεβλήκοιεν ἐς τὰ φρέατα· κρῆναι γὰρ οὔπω ἦσαν αὐτόθι. ὕστερον δὲ καὶ ἐς τὴν ἄνω πόλιν ἀφίκετο, καὶ 3 ἔθνησκον πολλῷ μᾶλλον ἤδη. λεγέτω μὲν οὖν περὶ αὐτοῦ 4 ὡς ἕκαστος γιγνώσκει καὶ ἰατρὸς καὶ ἰδιώτης, ἀφ' ὅτου εἰκὸς ἦν γενέσθαι αὐτό, καὶ τὰς αἰτίας ἅστινας νομίζει τοσαύτης

It was said to have been brought from Africa and Egypt; and first appeared in Piræus. Thucydides proceeds to describe its symptoms, both from his own experience, and from his observation of it in others.

1. γε] om. c. γε τοσοῦτός γε g. λιμὸς K.Q. οὐδὲ—γενέσθαι] om. Q. 3. τὸ πρότερον e. 4. μάλιστα] μᾶλλον L.O. 5. ἄλλη] om. e. τέχνη ἀνθρ. e. πρὸς τοῖς ἱεροῖς K. 6. μαντείαις A.B.C.K.N.V. et pr. F.G.h. Goell. Bekk. E. corr. F.G. et vulgo μαντείοις. 8. ἤρξατο δὲ τὸ κακὸν ἐξ αἰθιοπίας Demetr. Phal. p. 30. ed. Oxon. τὸ μὲν πρῶτον] om. d. τὸ solum om. c. 9. αἴγυπτον O. καὶ post δὲ om. K. 10. καὶ ἐς λιβύην K. 17. οὖν] om. L. 19. ἅστινας] om. P. νομίζῃ K.

1. οὐδὲ φθορὰ οὕτως κ. τ. λ.] Οὕτως is here the predicate. Οὕτως γενέσθαι, "To have happened to such a degree." Compare Matthiæ, Gr. Gr. §. 604. Jelf, 375, 3.

5. πρὸς ἱεροῖς] Vid. Laërt. in Epimenide, pag. 71. Wass.

6. μαντείαις] So Bekker and Göller read instead of μαντείοις. But Poppo observes that Thucydides uses μαντεῖον in the same sense as μαντεία; that is, not only to express the place where the prophecies were delivered, but the prophecies themselves. And this is true; but the sense required here seems not so much to be "prophecies," as "prophesyings;" and this would be expressed by μαντεία, rather than by μαντεῖον.

15. ἐς τὰ φρέατα] "Into the reservoirs "or tanks made to catch the rain-water;" in which sense the word is used again in the next chapter. So also Herodotus, II. 108, 4. and Demosthenes against Polycles, p. 1225. Reiske.

19. καὶ τὰς αἰτίας—σχεῖν] "The causes "which, where the change from health "to universal sickness was so great, "were sufficient to have had the power

μεταβολῆς ἱκανὰς εἶναι—δύναμιν ἐς τὸ μεταστῆσαι σχεῖν· ἐγὼ δὲ οἷόν τε ἐγίγνετο λέξω, καὶ ἀφ' ὧν ἄν τις σκοπῶν, εἴ ποτε καὶ αὖθις ἐπιπέσοι, μάλιστ' ἂν ἔχοι τι προειδὼς μὴ ἀγνοεῖν, ταῦτα δηλώσω αὐτός τε νοσήσας καὶ αὐτὸς ἰδὼν ἄλλους πάσχοντας. XLIX. Τὸ μὲν γὰρ ἔτος, ὡς ὡμολο- 5 γεῖτο, ἐκ πάντων μάλιστα δὴ ἐκεῖνο ἄνοσον ἐς τὰς ἄλλας ἀσθενείας ἐτύγχανεν ὄν· εἰ δέ τις καὶ προέκαμνέ τι, ἐς τοῦτο πάντα ἀπεκρίθη. τοὺς δ' ἄλλους ἀπ' οὐδεμιᾶς προφάσεως ἀλλ' ἐξαίφνης ὑγιεῖς ὄντας πρῶτον μὲν τῆς κεφαλῆς 10 θέρμαι ἰσχυραὶ καὶ τῶν ὀφθαλμῶν ἐρυθήματα καὶ φλόγωσις ἐλάμβανε, καὶ τὰ ἐντός, ἥ τε

The disorder first attacked the head; and then gradually spread over the whole system. The crisis generally 2 took place in seven or nine days. Many however were carried off by the subsequent exhaustion. Those who recovered their health,

1. δυνάμεις i. ἐς] om. i. μεταστῆσαν c. ἔχειν I.c. 2. δὲ] τε F.H. τε] τι F.H.d. cum Tusano. ἐγένετο V. εἴπητε K. 3. ἔχῃ F. ἔχει K. 5. γὰρ] δὴ Demetrius: qui mox ὡμολόγητο. 10. πρῶται Q. μὲν ἐκ τῆς g.h. 11. ἐρυθρήματα h. 12. τε] om. c.

"to create such a change." The needless multiplication of words in this passage has been often noticed; but τοσαύτης μεταβολῆς must be taken closely with ἅστινας, the genitive here as in so many other instances corresponding to the English ablative, "which in so "great a change:" literally, "which "belonging to or having to do with so "great a change," &c. He means to say, that "as the effect produced was so "tremendous, where can we find causes "which will not appear inadequate to "have produced it."

8. ἐς τοῦτο πάντα ἀπεκρίθη] "All "disorders seemed to be shut out from "their own proper nature, and all to "be turned into the plague." Verbs compounded with ἀπὸ, and followed by an accusative case of their object, with the preposition ἐς, seem to have a sort of pregnant sense, and to imply the leaving other things, and the turning to this one object. Thus ἀποβλέπειν ἐς πατέρων θήκας, III. 58, 4. is literally, "to draw off one's eyes from other ob"jects in order to turn them to the "tombs of our fathers." So ἀποβαίνειν ἐς μουναρχίην, Herodot. III. 82, 6. "To "end, or have its issue, in monarchy:" i. e. "to turn from all other things to "monarchy." The English expression, "a determination of blood to the "head," or, "the humours determin"ing to one point," appears very nearly to correspond with the passage in the text. Mr. Bloomfield quotes a similar expression from Agathias, II. 3. p. 70. ed. Niebuhr. ἅπαντα (πάθη) εἰς ὄλεθρον ἀπεκρίνετο.

9. προφάσεως] Ita loquitur Hippocrates Progn. p. 150. et Pseudo-Diocles Epist. οὐδὲ μιᾶς Ar. C. Dissolutione Attica, ut alibi. Wass. "With no osten"sible cause; with nothing to account "for it."

11. θέρμαι ἰσχυραὶ] i. e. πυρετὸς, ut Tim. Lex. voc. Plat. p. 101. explicat. Τὸ θέρμα pro febri ex Aristoph. citat Pollux, IV. 186. cf. eruditiss. Ruhnquen. Huc etiam pertinet Phrynichi observatio, p. 146. Θέρμα οὕτως ὁ Μένανδρος διὰ τοῦ α, ἀλλ' οὔτε Θουκυδίδης, οὔθ' ἡ ἀρχαία κωμῳδία, οὔτε Πλάτων· θέρμη δέ. v. Intt. ed. Paui. Lucretius, lib. I. 1143. *Principio caput incensum fervore gerebant Et duplices oculos suffusa luce rubenteis. Sudabant etiam fauces intrinsecus atro Sanguine, et ulceribus vocis via septa coibat, Atque animi interpres manabat lingua cruore.* Gottl.

in many instances lost their hands, feet, or their sight, and sometimes their memory, so that they had no knowledge of themselves or of others.

φάρυγξ καὶ ἡ γλῶσσα, εὐθὺς αἱματώδη ἦν καὶ πνεῦμα ἄτοπον καὶ δυσῶδες ἠφίει· ἔπειτα ἐξ αὐτῶν πταρμὸς καὶ βράγχος ἐπεγίγνετο, καὶ ἐν οὐ πολλῷ χρόνῳ κατέβαινεν ἐς τὰ στήθη ὁ 5 πόνος μετὰ βηχὸς ἰσχυροῦ· καὶ ὁπότε ἐς τὴν καρδίαν στηρίξαι, ἀνέστρεφέ τε αὐτὴν καὶ ἀποκαθάρσεις χολῆς πᾶσαι ὅσαι ὑπὸ ἰατρῶν ὠνομασμέναι εἰσὶν ἐπῄεσαν, καὶ αὗται μετὰ ταλαιπωρίας μεγάλης. λύγξ τε τοῖς πλείοσιν 3 ἐνέπιπτε κενή, σπασμὸν ἐνδιδοῦσα ἰσχυρόν, τοῖς μὲν μετὰ

1. φάρυξ A.B.C.F. αἱματώδης Q.V.g. 2. ὑφίει Q. 3. ἐγίγνετο A.B.h. 4. χρόνῳ] om. A. 6. ἐστήριξε Galen. Progn. 3. 7. πᾶσαι] om. P. 8. αὐταὶ L.O. τοῖς πλείοσι] ante κενή ponit c. 9. ἐνέπεσε A.B.E.F.H.V. c.d.f.g.h. Haack. Poppo. Goell.

2. ἄτοπον καὶ δυσῶδες] "Monstrous "and fetid;" i.e. "fetid to a monstrous "and almost preternatural degree." Compare ἄνευ δαπάνης καὶ πολιορκίας, II. 77, 2. "Without cost and a block-"ade;" i.e. "without incurring the cost "of a blockade."

5. καὶ ὁπότε—ἐπῄεσαν] Descripsit Nemesius, cap. XX. de Natur. Hom. ubi in edit. Plant. est εἰς τὴν καρδ. et πᾶσαι ὁπόσαι ἀπὸ ἰατρῶν. Καρδία, ut idem Nemes. hic est *os ventriculi*: συνήθως οἱ παλαιοὶ, inquit, καρδίαν καὶ τὸ στόμα τῆς γαστρὸς καλοῦσιν, ὡς Ἱπποκράτης καὶ Θουκυδίδης· de quo plura vid. apud Foes. ad Hippocrat. II. Epidem. 2. et Gataker. II. Adversar. Miscellan. 16. Interpres Latinus hic *cor* vertit, forte sequutus Lucretium, qui VI. 1149. hæc ita effert: *Inde ubi per fauces pectus complerat, et ipsum Morbida vis in* cor *mæstum confluxerat ægris.* Victorius XXVII. Var. Lect. 17. eo nomine reprehendit Lucretium, quasi qui hanc significationem vocis καρδία, qua Thucydides ea utitur, ignoraverit. Sed Lambinus ad Lucret. et Hieron. Mercurial. I. Var. Lect. 1. putant Lucretium potius imitatione Græcorum, et eadem significatione, *cor* dixisse, qua illi καρδίαν. Hoc benignius est, et mihi verius videtur. Στηρίξαι Gataker. passive, vel reciproce sumi scribit: Steph. in Thes. neutraliter, pro *steterat, constiterat*, ut in verbis Homeri Od. μ'. 434. et Dioscoridis, VI. 1. (Alexipharmacor. cap. 1.) Sed non dubito, quin hæc omnia explenda sint accusativo suppresso, hic ἑαυτὸν, vel ἑαυτὸ, nempe ὁ πόνος, vel τὸ κακὸν, in Homero ἐμαυτὸν, et in Dioscoride ἑαυτό. DUKER.

ὁπότε στηρίξαι] Compare for this use of the optative, ὅσον χρόνον ἡ νόσος ἀκμάζοι, and Matthiæ, Gr. Gr. §. 521. Jelf, 843. *b*. στηρίξαι, like κατέσκηπτε towards the end of the chapter, is an instance of what is so common in every language, a transitive verb used intransitively. So we should say in English, "When the disorder fixed on the "stomach." Like κατασκήπτω also it denotes the action of a body striking a resisting object with violence, and so being arrested in its rapid motion. Thus the lightning, when spending itself on the object which it strikes, is said σκήπτειν, or σκήπτεσθαι: so rolling stones from a mountain, when they are brought up or stopped in their course; as ἐς τὸ ἐνέσκηψαν (οἱ λίθοι) διὰ τῶν βαρβάρων φερόμενοι. Herod. VIII. 39, 2. Thus also στηρίζειν is used by Euripides, Bacchæ, 1081.

πρὸς οὐρανὸν
καὶ γαῖαν ἐστήριζε φῶς σεμνοῦ πυρός.

8. λύγξ τε ἐνέπιπτε κενή] Λύγξ is what we call a hiccough, (compare Plato, Sympos. p. 185.) but here it seems to be almost approaching to what is called "retching;" and λύγξ κενή is that ineffectual retching, consequent upon

4 ταῦτα λωφήσαντα, τοῖς δὲ καὶ πολλῷ ὕστερον. καὶ τὸ μὲν ἔξωθεν ἁπτομένῳ σῶμα οὔτ' ἄγαν θερμὸν ἦν οὔτε χλωρὸν, ἀλλ' ὑπέρυθρον, πελιτνὸν, φλυκταίναις μικραῖς καὶ ἕλκεσιν ἐξηνθηκός· τὰ δὲ ἐντὸς οὕτως ἐκάετο ὥστε μήτε τῶν πάνυ λεπτῶν ἱματίων καὶ σινδόνων τὰς ἐπιβολὰς μήτ' ἄλλο τι ἢ 5 †γυμνοὶ† ἀνέχεσθαι, ἥδιστά τε ἂν ἐς ὕδωρ ψυχρὸν σφᾶς 5 αὐτοὺς ῥίπτειν. καὶ πολλοὶ τοῦτο τῶν ἠμελημένων ἀνθρώπων

1. καὶ post δὲ om. L.P. τῷ C. 2. οὔτε vel οὔτ' C.E.G.I.L.O.P.e. A.B.F. et vulgo οὐκ. 3. πελιτνὸν Ælius Dionysius cum Photio, Haack. Goell. et in edit. minor. Bekk. probante Poppone, sed hic vulgatam codicum πελιδνὸν in textu conservavit. 4. ἐκάετο A.B.E.F.H.Q.V.c. ἐκήετο O. C.G. vulgo, et Poppo, ἐκαίετο. 5. σινδονίων Galenus. μηδ' C.G.e. Bekk. 6. γυμνοὶ C.G.I. K.V.d.e. Bekk. cum Galeno ceteri γυμνόν. γυμνὸν Poppo. Haack. Goell. 7. ἀνθρώπων] om. N.V.

exhaustion, when nothing is actually brought off the stomach. Several of the recent editors read ἐνέπεσε. But although the aorist occurs twice, in ἔδρασαν and ἠγνόησαν, in describing subordinate circumstances of the disorder, yet each separate symptom or stage in its progress is given in the imperfect tense. ἐλάμβανε, ἦν, ηφίει, ἐπεγίγνετο, κατέβαινεν, ἀνέστρεφε, ἐπῄεσαν, ἐκάετο, &c.

1. λωφήσαντα] "λωφήσαντα cum "ταῦτα jungendum videtur, non cum "σπασμόν—alias potius fuisset λω-"φῶντα." DOBREE. The proposed interpretation is doubtful; for if the retching and convulsions followed the disorder of the stomach "at a long "interval," what was the intermediate state of the patient? But the remark as to the tense is just, and is certainly in favour of the reading ἐνέπεσε just before. Poppo explains it as equivalent to ὃς ἐλώφησε.

2. ἁπτομένῳ] Servat Lucret. *tepidum manibus proponere tactum*. Confer Aretaeum, p. 28, 30. Avicen. II. vol. 78. a. Hippocr. §. II. 117. WASS.

3. πελιτνὸν] πελιτνὸν ex Thucyd. adnotasse Ælium Dionysium scribit Eustath. in Il. I. 735. DUKER. Conf. Phot. Lex. p. 299. et Pierson. ad Moer. p. 325. BEKK.

5. ἄλλο τι ἢ †γυμνοὶ† ἀνέχεσθαι] Poppo retains the old reading γυμνὸν, and refers it to τὸ σῶμα. But I cannot think that this is correct Greek. If we retain γυμνὸν, I should prefer Dobree's method of explaining it, γυμνὸν ὄντα ἀνέχεσθαι, referring the description to a single patient. But Dobree adds, "Videndum quoque an recte Galenus "γυμνοὶ, i. e. ὄντες." And this would be an expression like πάσχοντες ἠνείχοντο, I. 77, 6. ἀνέχεσθαι γῆν τεμνομένην ὁρῶντας, II. 74, 1. and others of the same kind, V. 69, 1. VI. 16, 4. And if it be said that we should expect rather the accusative case, γυμνοὺς, it may be observed, that in point of meaning τὰ ἐντὸς οὕτως ἐκάετο is the same as τὰ ἐντὸς οὕτως ἐκάοντο, scil. οἱ κάμνοντες, so that the persons to whom ἀνέχεσθαι refers are virtually the nominative case to the principal verb in the sentence, under which circumstances ὥστε is joined to a nominative case. See Hermann's notes on Viger, note 353.

7. τοῦτο—ἔδρασαν ἐς φρέατα] "And "many did this into tanks or reservoirs." So the Greek words may be translated literally into English: "did this" is of course equivalent to what he had said before, "threw themselves:" and therefore the same construction follows ἔδρασαν τοῦτο, which would have followed ἔρριψαν ἑαυτούς. For the meaning of φρέατα, which signifies tanks or reservoirs, and not wells, see the note on chap. 48, 2.

καὶ ἔδρασαν ἐς φρέατα, τῇ δίψῃ ἀπαύστῳ ξυνεχόμενοι· καὶ ἐν τῷ ὁμοίῳ καθειστήκει τό τε πλέον καὶ ἔλασσον ποτόν. καὶ ἡ ἀπορία τοῦ μὴ ἡσυχάζειν καὶ ἡ ἀγρυπνία ἐπέκειτο διὰ 6 παντός. καὶ τὸ σῶμα, ὅσον περ χρόνον καὶ ἡ νόσος ἀκμάζοι, 7 5 οὐκ ἐμαραίνετο ἀλλ' ἀντεῖχε παρὰ δόξαν τῇ ταλαιπωρίᾳ, ὥστε ἢ διεφθείροντο οἱ πλεῖστοι ἐναταῖοι καὶ ἑβδομαῖοι ὑπὸ τοῦ ἐντὸς καύματος, ἔτι ἔχοντές τι δυνάμεως, ἢ εἰ διαφύγοιεν, ἐπικατιόντος τοῦ νοσήματος ἐς τὴν κοιλίαν καὶ ἑλκώσεώς τε αὐτῇ ἰσχυρᾶς ἐγγιγνομένης καὶ διαρροίας ἅμα ἀκράτου ἐπι-10 πιπτούσης οἱ πολλοὶ ὕστερον δι' αὐτὴν ἀσθενείᾳ ἀπεφθείροντο. διεξῄει γὰρ διὰ παντὸς τοῦ σώματος ἄνωθεν ἀρξά- 8 μενον τὸ ἐν τῇ κεφαλῇ πρῶτον ἱδρυθὲν κακὸν, καὶ εἴ τις ἐκ τῶν μεγίστων περιγένοιτο, τῶν γε ἀκρωτηρίων ἀντίληψις

1. εἰς τὰ φρέατα g. τῇ δίψῃ ἀπαύστῳ A.B.C.E.F.G.H.I.K.L.O.P.V.b.c.e. f.g.h. Haack. Poppo. Goell. Bekk. vulgo ἀπαύστῳ τῇ δίψῃ. συνεχόμενοι B.h. 3. τοῦ] τὸ C. 4. καὶ τὸ] τὸ δὲ Lex. Seg. p. 125, 30. ὅσονπερ Bekk. ἀκμάζει L.O.Q. 6. πλείους A.F.H.N.V.g.h. Haack. Poppo. ἐνναταῖοι B.F.G. 8. τοῦ νοσήματος] om. Q. ἐς] ἐπὶ e. ἐκκαύσεως L.O.P.Q. τε] om. c.f. 9. αὐτῆς] c. ἐγγενομένης c. γενομένης d.i. ἀκρατοῦς γρ. A. ἐμπιπτούσης K.i. 10. διὰ τὴν ἀσθένειαν C.I.L.N.O.P.Q.e. ἀπεφθείροντο A.B.E. F.G.H.K.N.V.c.f.g.h.i. Haack. Poppo. Goell. Bekk. C. et vulgo διεφθείροντο. 11. διεξῄει] καὶ διεξῄει I.N.O.P. 12. ἱδρυνθὲν E. 13. γε] τε L.O.P. c. ἀντίληψιν h.

3. ἡ ἀπορία τοῦ μὴ ἡσυχάζειν] The words τοῦ μὴ ἡσυχάζειν should be taken apparently as the genitive case explanatory of the preceding word ἡ ἀπορία: "A feeling of not knowing "what to do with themselves, inasmuch "as they could not rest; the misery of "restlessness." Compare VII. 42, 2. πέρας—τοῦ ἀπαλλαγῆναι τοῦ κινδύνου, and the note on the passage; and Hippocrates de Morbo Sacro, prope init. κατὰ τὴν ἀπορίην τοῦ μὴ γινώσκειν. Also compare Matthiæ, Gr. Gr. §. 321.

9. διαρροίας ἀκράτου] It has been doubted whether ἀκράτου is used here in a technical sense, as describing the nature of the diarrhœa, or merely signifies, "vehement, excessive," like ἄκρατος ἐλευθερία in Appian, VI. 95. I think, however, that it is here used in a technical sense, as we read in Hippocrates Prædict. I. §. 111. αἱ ἄκρητοι τελευτῶσαι καθάρσιες, παροξυντικαί: and again, §. 50. τὰ τελευτῶντα ὑποχωρήματα εἰς ἀφρώδεα, ἄκρητα, παροξυντικά. The word is explained by Galen, ἄκρητοι ὑποχωρήσεις, αἱ ἄμικτοι ὑγρότητος ὑδατώδους, αὐτὸν μόνον ἔχουσαι εἰλικρινῆ ὑπερχόμενον κάτω χυμὸν, εἴτε τὸν τῆς ξανθῆς χολῆς, εἴτε τὸν τῆς μελαίνης. There is more to the same purpose in a note on the words αἱ ἐς ἀκρητέστερα τελευταὶ, Hippocrat. De Morbis Vulgaribus, II. §. 2. ed. Foes. Francofurt. 1624.

13. τῶν γε ἀκρωτηρίων ἀντίληψις αὐτοῦ] Göller refers αὐτοῦ to κακὸν, "Its seizing "upon the extremities;" and he compares III. 12, 2. τὴν ἐκείνων μέλλησιν τῶν ἐς ἡμᾶς δεινῶν. Ἐπεσήμαινε is, "left its "mark," as Mr. Bloomfield translates it; i.e. "marked the man as having "had the disorder." The word is applied to the mark or signature of the

ATHENS. A. C. 430. Olymp. 87. 3.

αὐτοῦ ἐπεσήμαινε· κατέσκηπτε γὰρ ἐς αἰδοῖα καὶ ἐς ἄκρας χεῖρας καὶ πόδας, καὶ πολλοὶ στερισκόμενοι τούτων διέ-9 φευγον, εἰσὶ δ' οἳ καὶ τῶν ὀφθαλμῶν. τοὺς δὲ καὶ λήθη ἐλάμβανε παραυτίκα ἀναστάντας τῶν πάντων ὁμοίως, καὶ ἠγνόησαν σφᾶς τε αὐτοὺς καὶ τοὺς ἐπιτηδείους. L. γενόμενον 5 γὰρ κρεῖσσον λόγου τὸ εἶδος τῆς νόσου τά τε ἄλλα χαλεπωτέρως ἢ κατὰ τὴν ἀνθρωπείαν φύσιν προσέπιπτεν ἑκάστῳ, καὶ ἐν τῷδε ἐδήλωσε μάλιστα ἄλλο τι ὂν ἢ τῶν ξυντρόφων τι· τὰ γὰρ ὄρνεα καὶ τετράποδα ὅσα ἀνθρώπων ἅπτεται, 10 πολλῶν ἀτάφων γιγνομένων ἢ οὐ προσῄει ἢ γευσάμενα 2 διεφθείρετο. τεκμήριον δέ· τῶν μὲν τοιούτων ὀρνίθων ἐπίλειψις σαφὴς ἐγένετο, καὶ οὐχ ἑωρῶντο οὔτε ἄλλως οὔτε

No animals of prey would touch the bodies of persons who had died of this disorder; or if they did, they were poisoned by it.

1. γὰρ A.B.E.F.G.H.K.L.c.g.i. Haack. Poppo. Goell. Bekk. C. et vulgo γὰρ καί. ἐς A.B.E.F.G.H.K.L.N.O.P.V.b.c.g. Haack. Poppo. Goell. Bekk. C. et ceteri ἐς τά. 2. διέφυγον g. 3. τοῖς C. 4. ἐλάβετο C. τῶν] om. C.I.L.O.P. 5. τε αὐτοὺς] om. g. 8. ἐν] om. g. τῷ K. 10. καὶ τὰ τετράποδα L.g. 11. γενομένων C.G.I.L.O.e. προσήκει b. γευσάμενοι B. 12. διεφθείροντο d.

auditors of the public accounts at Athens, by which they signified that the account had been duly passed. See Demosth. Coron. p. 310. Reiske. Mr. Bloomfield well quotes from Hippocrates De Morbo Sacro, p. 306. ed. Foes. οὐ γὰρ ἔτι ἐπίληπτον γίνεται ἢν ἅπαξ ἐπισημανθῇ: to which he might have added the words which occur a few lines before; περιγίνεται (τὰ παιδία) ἐπίσημα ἐόντα· ἢ γὰρ στόμα παρασπᾶται, ἢ ὀφθαλμὸς, ἢ αὐχὴν, ἢ χείρ.

1. ἐς ἄκρας χεῖρας καὶ πόδας] "On "the fingers and toes." And two lines below, παραυτίκα ἀναστάντας seems to be rightly understood by Mr. Bloomfield as indicating that the effect was only temporary. "They suffered a total "loss of memory when they first re-"covered from the disorder;" as if afterwards their memory returned to them.

7. χαλεπωτέρως ἢ κατὰ τὴν ἀνθρωπείαν φύσιν] "More grievous than human "nature could well endure:" literally, "more grievously than in proportion "to human nature." See Matthiæ, Gr. Gr. §. 449. Jelf, 783. *i*.

12. τεκμήριον δέ· τῶν μὲν τοιούτων κ. τ. λ.] I have placed a colon after the words τεκμήριον δὲ, because if τεκμήριον were the predicate of the whole proposition, the common practice of the Greek language would require that the article should be prefixed to the subject ἐπίλειψις. But the colon after τεκμήριον δὲ occurs again in a similar manner, II. 39, 3. τεκμήριον δέ· οὔτε γὰρ Λακεδαιμόνιοι κ. τ. λ. So also I. 11, 2. δῆλον δέ· τὸ γὰρ ἔρυμα κ. τ. λ.

13. οὔτε ἄλλως] This use of ἄλλως to signify "elsewhere" seems to confirm what has been said in the note, I. 77, 3. on the word ὁπωσοῦν, namely, that it has in that place very nearly the same meaning as ὁτιοῦν. Is it not natural that such little inaccuracies should sometimes occur in writers who lived before the great number of written compositions had given exactness to their language; and is it not like the expression in Sophocles, βῆναι κεῖθεν ὅθεν περ ἥκει, Œdip. Colon 1227. where κεῖθεν is a confusion of words for κεῖσε?

περὶ τοιοῦτον οὐδέν· οἱ δὲ κύνες μᾶλλον αἴσθησιν παρεῖχον τοῦ ἀποβαίνοντος διὰ τὸ ξυνδιαιτᾶσθαι.

LI. Τὸ μὲν οὖν νόσημα, πολλὰ καὶ ἄλλα παραλιπόντι ἀτοπίας, ὡς ἑκάστῳ ἐτύγχανέ τι διαφερόντως ἑτέρῳ πρὸς ἕτερον γιγνόμενον, τοιοῦτον ἦν ἐπὶ πᾶν τὴν ἰδέαν. καὶ ἄλλο παρελύπει κατ' ἐκεῖνον τὸν 2 χρόνον οὐδὲν τῶν εἰωθότων· ὃ δὲ καὶ γένοιτο, ἐς τοῦτο ἐτελεύτα. ἔθνησκον δὲ οἱ μὲν ἀμελείᾳ, 3 οἱ δὲ καὶ πάνυ θεραπευόμενοι. ἕν τε οὐδὲ ἓν 4 κατέστη ἴαμα ὡς εἰπεῖν ὅ τι χρῆν προσφέροντας ὠφελεῖν· τὸ γάρ τῳ ξυνενεγκὸν ἄλλον τοῦτο ἔβλαπτε. σῶμά τε αὔταρκες ὂν οὐδὲν 5 διεφάνη πρὸς αὐτὸ ἰσχύος πέρι ἢ ἀσθενείας, ἀλλὰ πάντα ξυνῄρει καὶ τὰ πάσῃ διαίτῃ θεραπευόμενα. δεινότατον δὲ παντὸς ἦν τοῦ κακοῦ 6 ἥ τε ἀθυμία ὁπότε τις αἴσθοιτο κάμνων (πρὸς γὰρ τὸ ἀνέλπιστον εὐθὺς τραπόμενοι τῇ γνώμῃ πολλῷ μᾶλλον προΐεντο σφᾶς αὐτοὺς καὶ οὐκ ἀντεῖχον), καὶ ὅτι ἕτερος ἀφ' ἑτέρου θεραπείας ἀναπιμπλάμενοι ὥσπερ τὰ

No specific was found for it; no constitution seemed to escape it. It was accompanied by a distressing depression of spirits; and the virulence of the contagion caused a general panic. Those whose heroic virtue led them still to visit the sick, when their own friends had deserted them, fell the most certain sacrifice. The only alleviation of the general misery was, that they who had once recovered were not liable to a second attack of the disorder.

3. παραλείποντι C.G.d.i. 6. καὶ ἄλλο—ἐτελεύτα] Hæc omittit Levesquius, interpretamentum arbitratus illorum quæ ab initio c. 49. leguntur. Bekker. 7. ὃ] οἱ B. 9. οὐδὲ ἓν E.F.G.K.L.N.O.Q.V. Bekker. οὐδὲ A.B.P.g. C. et vulgo οὐδέν. ἐγκατέστη A.B.P. ἐν κατέστη g. 10. ἴαμα] ἅμα C. χρὴ] C.G.I.L.O.d.e.i. προφέροντας K. 13. διεφθάρη, omisso οὐδὲν, K. 14. ξυνῄρει πάντα L.O.P. 18. οὐκάτεῖχον B. 19. ἑτέρας A. θεραπείας] νόσου e. θεραπείας G.

10. ὅ τι χρῆν προσφέροντας ὠφελεῖν] Compare Hippocrates, De Morbo Sacro, p. 301, l. ult. ed. Foes. μὴ ἔχειν ὅ τι προσενέγκαντες ὠφελήσουσιν.

13. ἰσχύος πέρι ἢ ἀσθενείας] "As far "as strength or weakness were con- "cerned, all constitutions fell alike the "victims of the disorder;" that is, none was so strong as to resist it, none was so weak, as not to afford it a hold upon it. "All the prevailing disorders have "attacked me," said Nelson writing from Corsica in 1794, "but I have not "strength enough for them to fasten "on." Southey's Life of Nelson, vol. I. p. 118.

19. ἀναπιμπλάμενοι] This is a favourite term of Plato to express defilement or pollution, from the notion of a body overloaded or surfeited with food, and so becoming disordered and unsound. Ἀναπλήσας. ἀναπληρώσας. ὁ δὲ Πλάτων ἀντὶ τοῦ μολύνας. Suidas. Thus Thucydides seems to use it as signifying, "becoming fully charged with infec- "tion," ἀναπιμπλάμενοι τῆς νόσου, as opposed to καθαροὶ ὄντες. See Ruhnken's note on Timæus, Lexic. Platonic.

πρόβατα ἔθνησκον· καὶ τὸν πλεῖστον φθόρον τοῦτο ἐνεποίει. 7 εἴτε γὰρ μὴ θέλοιεν δεδιότες ἀλλήλοις προσιέναι, ἀπώλλυντο ἔρημοι, καὶ οἰκίαι πολλαὶ ἐκενώθησαν ἀπορίᾳ τοῦ θεραπεύσοντος· εἴτε προσίοιεν, διεφθείροντο, καὶ μάλιστα οἱ ἀρετῆς τι μεταποιούμενοι· αἰσχύνῃ γὰρ ἠφείδουν σφῶν αὐτῶν, 5 ἐσιόντες παρὰ τοὺς φίλους, ἐπεὶ καὶ τὰς ὀλοφύρσεις τῶν ἀπογιγνομένων τελευτῶντες καὶ οἱ οἰκεῖοι ἐξέκαμνον, ὑπὸ τοῦ 8 πολλοῦ κακοῦ νικώμενοι. ἐπὶ πλέον δὲ ὅμως οἱ διαπεφευγότες τόν τε θνήσκοντα καὶ τὸν πονούμενον ᾠκτίζοντο διὰ τὸ προειδέναι τε καὶ αὐτοὶ ἤδη ἐν τῷ θαρσαλέῳ εἶναι· δὶς γὰρ 10 9 τὸν αὐτὸν, ὥστε καὶ κτείνειν, οὐκ ἐπελάμβανε. καὶ ἐμακαρί-

3. ἐρῆμοι Bekk. 6. τοὺς] om. I. 7. οἱ] om. g. ἐξέκαμον E.F.H.V.g.h. τοῦ] om. N.V. 8. κακοῦ νικώμενοι] om. C.e. διαφυγόντες i. 10. καὶ ante αὐτοὶ om. C.

ἀνάπλεως. He compares the expression in Livy, IV. 30. "Vulgatique contactu "in homines morbi, et primo in agrestes "ingruerant servitiaque: urbs deinde "*impletur*."

5. μεταποιούμενοι] Suidas in μεταποιεῖσθαι. μάλισθ' οἱ ἀρ. μετ. pro ἀντιποιούμενοι. Plato Polit. ἥκιστα βασιλικῆς ΜΕΤΑΠΟΙΟΥΜΕΝΟΥΣ τέχνης. Hesych. μετασκευάζεται, φροντίζει. Dion. Halicarn. Antiq. VI. 91. Πόλιν αὐτῶν ἐξ ἐφόδου ἀντιλαμβάνεται, ἐπιβαλλομένων μὲν τῶν ἐν αὐτῇ ΜΕΤΑΠΟΙΕΙΣΘΑΙ τινος ΑΡΕΤΗΣ. Wass. Tangit hunc locum Plutarch. περὶ πολυφιλίας in fin. Duk. Compare also Xenophon, Anabas. IV. 7, 12. οὗτοι ἀντεποιοῦντο ἀρετῆς.

6. ἐπεὶ καὶ τὰς ὀλοφύρσεις κ. τ. λ.] It is uncertain whether these words should be translated, "were tired out "with lamenting for the dying," or, "with the bemoanings of the dying." The latter meaning has this in its favour, that the lamentations of friends would be rather for the dead than for the dying: and the bemoanings of the sick and dying are mentioned again in VII. 75, 4. as one of the most distressing circumstances of the retreat of the Athenians from their lines before Syracuse. πρὸς ὀλοφυρμὸν τραπόμενοι ἐς ἀπορίαν (τοὺς οἰκείους) καθίστασαν. On the other hand ἐκκάμνειν and ἀποκάμνειν are generally used to express "being "tired out with what we are doing our"selves," and not "with what another "is doing." See Sophocl. Œd. Col. 1773—6. Dindorf. πάνθ' ὁπόσ' ἂν μέλλω πράσσειν—οὐ δεῖ μ' ἀποκάμνειν, and Xenoph. Hellen. VII. 5, 19. which passage is quoted by Poppo. And ὀλοφύρσεις might certainly be made for a dying friend, as well as for one actually dead, if we understand not the formal lamentations which were a part of the funeral ceremony, but the mere natural expression of sympathy and sorrow.

8. ὅμως] "Still, whatever were the "particular instances of intrepid hu"manity, visiting the sick and dying "without any consideration for its own "safety, yet the sufferers met with the "liveliest compassion and the greatest "attention from those who had them"selves had the plague, and had re"covered from it." Such I conceive to be the sense of the conjunction ὅμως, intimating that even the most humane, while risking their own lives by their kindness, were less free and unhesitating in their charitable work than those, who, from having once experienced the disorder, were relieved from all personal apprehension for the future, while they were best able to appreciate the misery of the sufferers.

ζοντό τε ὑπὸ τῶν ἄλλων, καὶ αὐτοὶ τῷ παραχρῆμα περιχαρεῖ καὶ ἐς τὸν ἔπειτα χρόνον ἐλπίδος τι εἶχον κούφης μηδ' ἂν ὑπ' ἄλλου νοσήματός ποτε ἔτι διαφθαρῆναι.

LII. Ἐπίεσε δ' αὐτοὺς μᾶλλον πρὸς τῷ ὑπάρχοντι πόνῳ 5 καὶ ἡ ξυγκομιδὴ ἐκ τῶν ἀγρῶν ἐς τὸ ἄστυ, καὶ οὐχ ἧσσον τοὺς ἐπελθόντας. οἰκιῶν γὰρ οὐχ ὑπαρχουσῶν, 2 ἀλλ' ἐν καλύβαις πνιγηραῖς ὥρᾳ ἔτους διαιτωμένων ὁ φθόρος ἐγίγνετο οὐδενὶ κόσμῳ, ἀλλὰ καὶ νεκροὶ ἐπ' ἀλλήλοις ἀποθνήσκοντες 10 ἔκειντο, καὶ ἐν ταῖς ὁδοῖς ἐκαλινδοῦντο καὶ περὶ τὰς κρήνας ἁπάσας ἡμιθνῆτες τοῦ ὕδατος ἐπιθυμίᾳ. τά τε ἱερὰ ἐν οἷς ἐσκήνηντο νεκρῶν πλέα ἦν, αὐτοῦ 3 ἐναποθνησκόντων· ὑπερβιαζομένου γὰρ τοῦ κακοῦ οἱ ἄνθρωποι οὐκ ἔχοντες ὅ τι γένωνται, ἐς ὀλιγωρίαν ἐτράποντο 15 καὶ ἱερῶν καὶ ὁσίων ὁμοίως. νόμοι τε πάντες συνεταράχθησαν 4 οἷς ἐχρῶντο πρότερον περὶ τὰς ταφάς, ἔθαπτον δὲ

The crowded state of the city aggravated the evil; and all other considerations yielding to the horrors of their situation, they disregarded not only the ceremonies of religion and the decencies of burial,

1. τὸ παραχρῆμα A.E. 3. ἔτι διαφθ.] ἐπιδιαφθ. C. 7. ἔτους] θέρους Q. cum Galeno (π. ἐπιφορᾶς πυρετῶν 1, 5.) 8. ἐγένετο B.g.h. 9. ἀλλήλους c. θνήσκοντες G.L.O.P. 11. τοῦ A.B.C.E.F.K.c.g.h. Poppo. Goell. Bekk. G. et ceteri τῇ τοῦ. 12. ἐσκήνουν L.O. ἐσκήνωντο H.V. ἐσκήνηντο (ων) G. 14. γένοιντο A.B.g.h. γένηνται E. 15. ὁσιῶν F. ξυνεταράχθησαν C.K.

7. ὥρᾳ ἔτους] "The season or best "time of the year;" understood generally of the summer, as in this passage, and in Pollux, I. §. 60. and in Galen, De Alim. Facult. 2. p. 319. as quoted by Mr. Bloomfield, ὥραν ἔτους ὀνομάζουσιν οἱ Ἕλληνες ἐκεῖνον τὸν καιρὸν ἐν ᾧ μεσοῦντι τὴν τοῦ κυνὸς ἐπιτολὴν γίγνεσθαι συμβαίνει· χρόνος δ' ἐστὶ οὗτος ἡμέρων τεσσαράκοντα. But sometimes also of the spring, as the most beautiful season. So the word "prime" in English applies sometimes to early youth, but generally to the ripest manhood.

14. οὐκ ἔχοντες ὅ τι γένωνται] "Not "knowing what to have recourse to." Mr. Bloomfield. Ὅ τι γένοιντο, which is the reading of some manuscripts, would signify, "not knowing what "might happen to them." See Hermann, De Regulis Syntacticis, Appendix to Viger; and the example there quoted from Herodotus, I. 53, 2. εἰ στρατεύηται ἐπὶ Πέρσας—καὶ εἴ τινα στρατὸν προσθέοιτο φίλον; "Whether he should or "ought to march against the Persians, "and whether he could gain the aid of "any auxiliary army." The words in Æschylus, Prometh. 913. Schütz. οὐδ' ἔχω τίς ἂν γενοίμαν, have accordingly this meaning, "nor do I know in that "case what might happen to me." Whereas in Thucydides, V. 65, 5. the subjunctive is rightly used, οὐκ εἶχον ὅ τι εἰκάσωσιν, "Did not know what to "make of it; or, what they ought to "guess about it."

15. ἱερῶν καὶ ὁσίων] See the note on I. 71, 7.

ATHENS. A.C. 430. Olymp. 87. 3.

5 ὡς ἕκαστος ἐδύνατο. καὶ πολλοὶ ἐς ἀναισχύντους θήκας ἐτράποντο σπάνει τῶν ἐπιτηδείων διὰ τὸ συχνοὺς ἤδη προτεθνάναι σφίσιν· ἐπὶ πυρὰς γὰρ ἀλλοτρίας φθάσαντες τοὺς νήσαντας οἱ μὲν ἐπιθέντες τὸν ἑαυτῶν νεκρὸν ὑφῆπτον, οἱ δὲ καιομένου ἄλλου ἄνωθεν ἐπιβαλόντες ὃν φέροιεν ἀπῄεσαν. 5

LIII. πρῶτόν τε ἦρξε καὶ ἐς τἆλλα τῇ πόλει ἐπὶ πλέον 2 ἀνομίας τὸ νόσημα. ῥᾷον γὰρ ἐτόλμα τις ἃ πρότερον ἀπεκρύπτετο μὴ καθ' ἡδονὴν ποιεῖν, ἀγχίστροφον τὴν μεταβολὴν ὁρῶντες τῶν τ' εὐδαιμόνων καὶ αἰφνιδίως θνησκόντων καὶ τῶν οὐδὲν πρότερον κεκτημένων εὐθὺς δὲ τἀκείνων ἐχόντων. 10

but every law divine and human, acting upon the maxim, "Let us eat and "drink, for to-mor-"row we die."

3 ὥστε ταχείας τὰς ἐπαυρέσεις καὶ πρὸς τὸ τερπνὸν ἠξίουν ποιεῖσθαι, ἐφήμερα τά τε σώματα καὶ τὰ χρήματα ὁμοίως 4 ἡγούμενοι. καὶ τὸ μὲν προσταλαιπωρεῖν τῷ δόξαντι καλῷ

1. ἐδύνατο A.B.C.E.F.G.H.K.L.O.V.g. Haack. Poppo. Goell. Bekk. ceteri ἠδύνατο. 2. ἐτρέποντο L.O. συχνῶς O.P. προστεθνάναι G.d.e. 4. νοσήσαντας O.P.b. ἑαυτὸν F. 5. ἐπιβαλόντες ἄνωθεν G.L.O.P.e. ἐπιβάλλοντες ἄνωθεν C. ἄνωθεν ἐπιβάλλοντες d. 6. ἐπὶ πλέον τῇ πόλει Q.e. 8. ἀπέκρυπτε τὸ A.E.N. ἀπέκρυπτε τῷ F.H.Q. ἐκρύπτετο K. 11. τὰ ἐκείνων E.F. 12. ἐπαυρήσεις L.O.Q. 13. τε τὰ C. καὶ χρήματα K. 14. τὸ] τῶι vel τοῦ pr. F. προταλαιπωρεῖν C.E.K.i.

1. ἐς ἀναισχύντους θήκας] "Had re-"course to shameless burials of their "dead." Θήκη, which is properly "the "place where the dead are deposited," is used incorrectly for the act of disposing of the dead in whatever manner; as ταφὴ and τάφος are sometimes confused, or as θάπτω is applied even to the burning of a dead body, as well as to the burying it. Διὰ τὸ συχνοὺς ἤδη προτεθνάναι σφίσιν: "Because they had "had so many friends die already." Ὃν φέροιεν: "Which they happened "to be carrying." For this sense of the optative see Matthiæ, §. 527. Jelf, 831. and the note on Thucyd. I. 50, 1. ἃς καταδύσειαν.

3. τοὺς νήσαντας] Aristoph. Lysistr. 269. πυρὰν νήσαντες. Lucian. de Mort. Peregr. p. 560. πυρὰν ὅτι μεγίστην νήσας. Et sic alii: quod Atticorum esse docet Thom. Magist. Νῆσαι πυρὰν λέγουσιν, οὐ συναγαγεῖν, οὐδὲ συνθεῖναι. Νῆσαι autem est σωρεῦσαι. Schol. parv. Homeri ad Od. ο'. 321. Πῦρ τ' εὖ νηῆσαι, exponit ξῦλα σωρεῦσαι, ἕνεκεν τοῦ πῦρ ποιῆσαι. DUKER.

8. ἀπεκρύπτετο μὴ καθ' ἡδονὴν ποιεῖν] Compare V. 25, 3. ἐπὶ ἓξ ἔτη—ἀπέσχοντο μὴ ἐπὶ τὴν ἑκατέρων γῆν στρατεῦσαι. The infinitive here, as in the words already noticed, τοῦ μὴ ἡσυχάζειν, is explanatory of the preceding verb. Vid. an legend. cum MSS. ἀπέκρυπτέ τῳ, vel ἀπεκρύπτετό τῳ et de vocum positione vid. Demosth. fals. legat. p. 377. 13. Reiske. De phrasi ipsa sup. c. 37, 3. [εἰ καθ' ἡδονήν τι δρᾷ.] DOBREE. Surely neither of these corrections is admissible. Jacobs, as quoted by Poppo, refers to Lysias, Areopag. p. 276. περὶ ὧν ἀποκρυπτόμεθα μηδένα εἰδέναι.

14. τὸ μὲν προσταλαιπωρεῖν—πρόθυμος ἦν] For other examples of this use of the article with the infinitive mood, where the simple infinitive might seem

οὐδεὶς πρόθυμος ἦν, ἄδηλον νομίζων εἰ πρὶν ἐπ' αὐτὸ ἐλθεῖν διαφθαρήσεται· ὅ τι δὲ ἤδη τε ἡδὺ καὶ πανταχόθεν τὸ ἐς αὐτὸ κερδαλέον, τοῦτο καὶ καλὸν καὶ χρήσιμον κατέστη. θεῶν δὲ φόβος ἢ ἀνθρώπων νόμος οὐδεὶς ἀπεῖργε, τὸ μὲν 5 5 κρίνοντες ἐν ὁμοίῳ καὶ σέβειν καὶ μὴ ἐκ τοῦ πάντας ὁρᾶν ἐν ἴσῳ ἀπολλυμένους, τῶν δὲ ἁμαρτημάτων οὐδεὶς ἐλπίζων μέχρι τοῦ δίκην γενέσθαι βιοὺς ἂν τὴν τιμωρίαν ἀντιδοῦναι, πολὺ δὲ μείζω τὴν ἤδη κατεψηφισμένην σφῶν ἐπικρεμασθῆναι, ἣν πρὶν ἐμπεσεῖν εἰκὸς εἶναι τοῦ βίου τι 10 ἀπολαῦσαι.

LIV. Τοιούτῳ μὲν πάθει οἱ Ἀθηναῖοι περιπεσόντες ἐπιέζοντο, ἀνθρώπων τε ἔνδον θνησκόντων καὶ γῆς ἔξω δῃουμένης. ἐν δὲ τῷ κακῷ, οἷα εἰκὸς, ἀνεμνήσθησαν 2 καὶ τοῦδε τοῦ ἔπους, φάσκοντες οἱ 15 πρεσβύτεροι πάλαι ᾄδεσθαι,

ἥξει Δωριακὸς πόλεμος, καὶ λοιμὸς ἅμ' αὐτῷ.

ἐγένετο μὲν οὖν ἔρις τοῖς ἀνθρώποις μὴ λοιμὸν 3 ὠνομάσθαι ἐν τῷ ἔπει ὑπὸ τῶν παλαιῶν ἀλλὰ

The plague reminded the Athenians of an old prophecy of which the reading had been formerly disputed, whether it was λοιμὸς or λιμός: but now every one decided in favour of λοιμός. The

1. αὐτῷ I.G. ἔλθῃ F.H.N.Q.V. 2. ἤδη A.C.E.F.H.Q.V.e.h. Haack. Poppo. Goell. Bekk. ἤδη B. G. et ceteri ᾔδει. καὶ] om. C.G.L.O.P. τὸ] τε G.K.L.N.O.P.e. τε τὸ C. 3. αὐτὸ A.B.C.E.F.G.H.I.K.L.N.O.P.c.d.e. Haack. Poppo. Goell. Bekk. vulgo αὐτόν. καὶ post τοῦτο om. C.G.L.O.P.e. 4. τὸν μὲν E. 5. ἐν ἴσῳ ὁρᾶν V. 7. τὴν τιμωρίαν βιοὺς ἂν C.L.O.Q. et omisso articulo G.P. et, qui βίου habere dicitur, e. 11. μέντοι Q. 12. γῆς] τῆς C. 13. δὲ om. E. 16. δωρικὸς K.P.Q.e. 18. ἐν τῷ ἔπει] om. G.L.O. ἐν τῷ ἔπειτα A.B. ἔπει, omissis ἐν τῷ, e.

more natural, see Matthiæ, Gr. Gr. §. 542. obs. 2. Jelf, 670. προσταλαιπωρεῖν τῷ καλῷ is "To endure toil and sorrow "in waiting upon, or devoting oneself to, "duty." In the next line the words πρὶν ἐπ' αὐτὸ ἐλθεῖν are meant to distinguish the pursuit of virtue from the attainment of it. A long course of virtuous habits was necessary, before τὸ καλὸν could be acquired; that is, before a man could love goodness for its own sake, and could appreciate its intrinsic beauty and excellence. It was feared then that the plague would cut short their virtuous efforts, before they had yet attained to the full habit of virtue. Τὸ ἐς αὐτὸ κερδαλέον: "What served the ends of "his pleasure, what ministered to it." Ἐς αὐτὸ is ἐς τὸ ἡδύ. But Poppo and Göller take the article with ἐς αὐτὸ not with κερδαλέον. τὸ ἐς αὐτό, scil. τὸ ἡδύ, "so far as pleasure was concerned."

4. τὸ μὲν κρίνοντες κ. τ. λ.] Τὸ μὲν non valet *partim*, sed pendet e σεβεῖν et refertur ad τὸ θεῖον quod inest in θεῶν φόβος. Poppo. Prolegom. I. p. 112.

plague hardly touched Peloponnesus at all, but confined itself to Attica and to whatever other places were most thickly peopled.

λιμὸν, ἐνίκησε δὲ ἐπὶ τοῦ παρόντος εἰκότως λοιμὸν εἰρῆσθαι· οἱ γὰρ ἄνθρωποι πρὸς ἃ 4 ἔπασχον τὴν μνήμην ἐποιοῦντο. ἢν δέ γε οἶμαί ποτε ἄλλος πόλεμος καταλάβῃ Δωρικὸς τοῦδε ὕστερος καὶ ξυμβῇ γενέσθαι λιμὸν, κατὰ τὸ εἰκὸς οὕτως 5 5 ᾄσονται. μνήμη δὲ ἐγένετο καὶ τοῦ Λακεδαιμονίων χρηστηρίου τοῖς εἰδόσιν, ὅτε ἐπερωτῶσιν αὐτοῖς τὸν θεὸν εἰ χρὴ πολεμεῖν ἀνεῖλε κατὰ κράτος πολεμοῦσι νίκην ἔσεσθαι, καὶ 6 αὐτὸς ἔφη ξυλλήψεσθαι. περὶ μὲν οὖν τοῦ χρηστηρίου τὰ 7 γιγνόμενα ἤκαζον ὁμοῖα εἶναι. ἐσβεβληκότων δὲ τῶν Πελο- 10 ποννησίων ἡ νόσος ἤρξατο εὐθύς· καὶ ἐς μὲν Πελοπόννησον οὐκ ἐσῆλθεν, ὅ τι ἄξιον καὶ εἰπεῖν, ἐπενείματο δὲ Ἀθήνας μὲν μάλιστα, ἔπειτα δὲ καὶ τῶν ἄλλων χωρίων τὰ πολυαν- 8 θρωπότατα. ταῦτα μὲν τὰ κατὰ τὴν νόσον γενόμενα.

LV. Οἱ δὲ Πελοποννήσιοι ἐπειδὴ ἔτεμον τὸ πεδίον, 15 παρῆλθον ἐς τὴν Πάραλον γῆν καλουμένην μέχρι Λαυρίου

1. ἐπὶ] ὑπὸ g. εἰκότως] om. c.f. 2. οἱ μὲν γὰρ L. 4. πόλεμός ποτε ἄλλος K. καταλάβοι f. δωριακὸς C.I. 5. ὕστερον P. 9. οὖν] om. g. 10. ἤκαζον C. Poppo. Goell. Bekk. A.B.E.F.G. et vulgo εἴκαζον. εἶναι ὅμοια g. 12. ἄξιον καὶ A.B.C.E.F.H.K.N.Q.V.c.e.g.h.i. Haack. Poppo. Goell. Bekk. G. et vulgo καὶ ἄξιον. 14. τὴν νόσον] πελοπόννησσον K. γινόμενα C.e. 15. ἔτεμνον C. πεδίον] χωρίον C.O.P.i. 16. λαυρείου A.B.g. λαυρίου ὄρους V.

10. ἤκαζον] Though only one MS. in this place reads ἤκαζον, yet it is the reading of all the best MSS. in the other passage in Thucydides where the word occurs, VI. 92, 4. where the grammarians tell us that this was the proper Attic form. See Etymolog. Magn. p. 166. in Ἀτρείδῃσι. οἱ Ἀθηναῖοι τῆς ει διφθόγγου τὸ ἓν φωνῆεν τρέπουσιν, οἷον, εἰκάζω, ἤκαζον.

12. ὅ τι ἄξιον καὶ εἰπεῖν] Compare IV. 48. ὅ τι καὶ ἀξιόλογον, which in point of signification is exactly equivalent. "In any degree worth as much "as speaking of; worth *even* speaking "of." See Kühner's Gr. Gr. §. 728. 2. Jelf. 760.

16. τὴν Πάραλον γῆν καλουμένην] This, as appears from the description, included the extreme point, the Cornwall, of Attica; being applied equally to the coast looking towards Eubœa, as to that looking towards Peloponnesus. It is said to have formed one of the general divisions of Attica in the earliest times: and the πάραλοι are mentioned as one of the parties opposed to the landed aristocracy of the plain in the civil contests which existed in the time of Pisistratus. See Herodotus I. 59, 4. The term πάραλος may be compared to the Italian Riviera; which is applied to the two narrow strips of the Genoese territory, to the eastward and westward of Genoa, confined between the ridge of the Apennines and the Mediterranean. "Riviera di Levante," and "Riviera di "Ponente."

The Peloponnesians ravage the south eastern coast of Attica.

οὗ τὰ ἀργύρεια μέταλλά ἐστιν Ἀθηναίοις. καὶ πρῶτον μὲν ἔτεμον ταύτην ᾗ πρὸς Πελο- 2 πόννησον ὁρᾷ, ἔπειτα δὲ τὴν πρὸς Εὔβοιάν τε καὶ Ἄνδρον τετραμμένην. Περικλῆς δὲ στρατηγὸς ὢν καὶ 3
5 τότε περὶ μὲν τοῦ μὴ ἐπεξιέναι τοὺς Ἀθηναίους τὴν αὐτὴν γνώμην εἶχεν ὥσπερ καὶ ἐν τῇ προτέρᾳ ἐσβολῇ· LVI. ἔτι

Meantime the Athenians again retaliate by sending a fleet to harass the coasts of Peloponnesus.

δ' αὐτῶν ἐν τῷ πεδίῳ ὄντων, πρὶν ἐς τὴν παραλίαν γῆν ἐλθεῖν, ἑκατὸν νεῶν ἐπίπλουν τῇ Πελοποννήσῳ παρεσκευάζετο, καὶ ἐπειδὴ
10 ἑτοῖμα ἦν, ἀνήγετο. ἦγε δ' ἐπὶ τῶν νεῶν 2 ὁπλίτας Ἀθηναίων τετρακισχιλίους, καὶ ἱππέας τριακοσίους ἐν ναυσὶν ἱππαγωγοῖς πρῶτον τότε ἐκ τῶν παλαιῶν νεῶν ποιηθείσαις· ξυνεστρατεύοντο δὲ καὶ Χῖοι καὶ Λέσβιοι πεντήκοντα ναυσίν. ὅτε δὲ ἀνήγετο ἡ στρατιὰ αὕτη Ἀθηναίων, 3
15 Πελοποννησίους κατέλιπον τῆς Ἀττικῆς ὄντας ἐν τῇ παραλίᾳ. ἀφικόμενοι δὲ ἐς Ἐπίδαυρον τῆς Πελοποννήσου ἔτεμον 4 τῆς γῆς τὴν πολλήν, καὶ πρὸς τὴν πόλιν προσβαλόντες ἐς ἐλπίδα μὲν ἦλθον τοῦ ἑλεῖν, οὐ μέντοι προεχώρησέ γε. ἀναγαγόμενοι δὲ ἐκ τῆς Ἐπιδαύρου ἔτεμον τήν τε Τροιζηνίδα 5
20 γῆν καὶ τὴν Ἁλιάδα καὶ τὴν Ἑρμιονίδα· ἔστι δὲ πάντα ταῦτα ἐπιθαλάσσια τῆς Πελοποννήσου. ἄραντες δὲ ἀπ' 6 αὐτῶν ἀφίκοντο ἐς Πρασιὰς τῆς Λακωνικῆς πόλισμα ἐπιθαλάσσιον, καὶ τῆς τε γῆς ἔτεμον καὶ αὐτὸ τὸ πόλισμα εἷλον καὶ ἐπόρθησαν. ταῦτα δὲ ποιήσαντες ἐπ' οἴκου 7

1. ὅρους οὗ f. ὅρος οὗ d.i. ἀργύρια C.E.Q.V.d.e.g.i. 2. ηἷ B.C.G.c. Goell. Dobræus, Bekk. ἦν P. A.E.F. et vulgo ᾗ. 3. τήν τε πρὸς B. 4. δὲ] τε C. καὶ] τῶν ἀθηναίων N.V. 5. μὴ] om. K.g.h. ἐξιέναι c. 8. παραλίαν] περαίαν P.c.f. γῆν] om. C.i. ἐπίπλουν ἐν τῇ g. 11. τετρακισχιλίων P. 12. τότε πρῶτον g. νεῶν] om. b. et corr. G. 13. Χεῖοι c. 14. δὴ c. 15. ἐν τῇ] om. c. 17. ἐσβαλόντες N.V. προσβάλλοντες C. 18. μὲν] om. L.O.P. 19. ἀναγόμενοι C.G.L.O.P.f.g. 20. καὶ ἀλιάδα C.e. τὴν Ἑρμ.] τὴν om. C.e. ἑρμηονίδα Q.d. πάντα] om. G.L.O.P. post ταῦτα ponunt C.e. 22. ἀφίκοντες I.

9. ἐπειδὴ ἑτοῖμα ἦν] "When *things* were ready." Comp. II. 98, 2.

8 ἀνεχώρησαν. τοὺς δὲ Πελοποννησίους οὐκέτι κατέλαβον ἐν τῇ Ἀττικῇ ὄντας ἀλλ' ἀνακεχωρηκότας.

LVII. Ὅσον δὲ χρόνον οἵ τε Πελοποννήσιοι ἦσαν ἐν τῇ γῇ τῇ Ἀθηναίων καὶ οἱ Ἀθηναῖοι ἐστράτευον ἐπὶ τῶν νεῶν, ἡ νόσος ἔν τε τῇ στρατιᾷ τοὺς Ἀθηναίους 5 ἔφθειρε καὶ ἐν τῇ πόλει, ὥστε καὶ ἐλέχθη τοὺς Πελοποννησίους δείσαντας τὸ νόσημα, ὡς ἐπυνθάνοντο τῶν αὐτομόλων ὅτι ἐν τῇ πόλει εἴη καὶ θάπτοντας ἅμα ᾐσθάνοντο, θᾶσσον ἐκ 2 τῆς γῆς ἐξελθεῖν. τῇ δὲ ἐσβολῇ ταύτῃ πλεῖστόν τε χρόνον 10 ἔμειναν καὶ τὴν γῆν πᾶσαν ἔτεμον· ἡμέρας γὰρ τεσσαράκοντα μάλιστα ἐν τῇ γῇ τῇ Ἀττικῇ ἐγένοντο.

The Peloponnesians evacuate Attica after having remained forty days in it: the longest period of any of their invasions throughout the war.

LVIII. Τοῦ δ' αὐτοῦ θέρους Ἅγνων ὁ Νικίου καὶ Κλεόπομπος ὁ Κλεινίου ξυστράτηγοι ὄντες Περικλέους, λαβόντες τὴν στρατιὰν ᾗπερ ἐκεῖνος ἐχρήσατο, ἐστράτευσαν 15 εὐθὺς ἐπὶ Χαλκιδέας τοὺς ἐπὶ Θρᾴκης καὶ Ποτίδαιαν ἔτι πολιορκουμένην, ἀφικόμενοι δὲ μηχανάς τε τῇ Ποτιδαίᾳ προσέφερον καὶ 2 παντὶ τρόπῳ ἐπειρῶντο ἑλεῖν. προὐχώρει δὲ αὐτοῖς οὔτε ἡ αἵρεσις τῆς πόλεως οὔτε τἄλλα 20 τῆς παρασκευῆς ἀξίως· ἐπιγενομένη γὰρ ἡ νόσος ἐνταῦθα δὴ πάνυ ἐπίεσε τοὺς Ἀθηναίους, φθείρουσα τὴν στρατιάν, ὥστε

Some reinforcements sent from Athens to the army besieging Potidæa carry the plague with them, and after losing a great many men are obliged to return home.

1. *ἀνεχώρουν* d.i. 3. *δὲ*] *τε* K.c.f. *δέ τε* A.B.F.H.g.h. *οἱ Πελοπ.* A.B. E.F.H.K.V.c.d.f.g.h.i. Poppo. *ἦσαν*] om. d. 4. *τῇ ἀθ.* B.C.E.F.G.H.K. c.d.f.g.h.i. Poppo. Goell. Bekk. *τῇ τῶν ἀθ.* I. A. et ceteri *τῶν ἀθ.* 6. *ἐπίχθη* P. 9. *καὶ θάπτοντας*] *καθάπτοντας* d.e. *θᾶττον* C.L.O.P.e. *ἐκ*] om. L.O.P. 11. *ἔμειναν* A.B.G.g. *ἐνέμειναν* C.E.F. *ἅπασαν* Q. 13. *λεόπομπος* c. 14. *ξυνστράτηγοι* C.K.c. 16. *τοὺς ἐν τῇ θρᾴκῃ* G.L.O. *τῆς ἐπιθρακης* c. 17. *ἔτι* om. G. 18. *τε*] om. d. 19. *προυχ.* Bekk. 20. *ἄλλα* e. 21. *ἀξίου* P.V. *γὰρ*] *δὲ* L. 22. *πάνυ* om. F.

9. *θάπτοντας ἅμα ᾐσθάνοντο*] I understand this of the flame and smoke of the funeral piles; for *θάπτειν* is applied generally to any manner of performing the last rites, whether by interment or by burning. See Herodot. V. 8, 1. *ἔπειτα δὲ θάπτουσι, κατακαύσαντες ἢ ἄλλως γῇ κρύψαντες.* On which Wesseling observes, "Igne sepeliunt, *θάπτουσι πυρὶ*, "ut in Ælian. de Natur. Animal. X. 22." Compare the use of the word *θηκὴ* in ch. 52, 5.

13. *Ἅγνων*] *Ἀθηναίους δεδαπανηκότας εἰς τὴν πολιορκίαν* ait Diodorus, p. 310. d. *πλείω τῶν χιλίων ταλάντων.* v. Nostrum, II. 70, 2. WASS.

καὶ τοὺς προτέρους στρατιώτας νοσῆσαι τῶν Ἀθηναίων ἀπὸ
τῆς ξὺν Ἅγνωνι στρατιᾶς, ἐν τῷ πρὸ τοῦ χρόνῳ ὑγιαίνοντας.
Φορμίων δὲ καὶ οἱ ἑξακόσιοι καὶ χίλιοι οὐκέτι ἦσαν περὶ 3
Χαλκιδέας. ὁ μὲν οὖν Ἅγνων ταῖς ναυσὶν ἀνεχώρησεν ἐς 4
5 τὰς Ἀθήνας, ἀπὸ τετρακισχιλίων ὁπλιτῶν χιλίους καὶ πεν-
τήκοντα τῇ νόσῳ ἀπολέσας ἐν τεσσαράκοντα μάλιστα
ἡμέραις· οἱ δὲ πρότεροι στρατιῶται κατὰ χώραν μένοντες
ἐπολιόρκουν τὴν Ποτίδαιαν.

LIX. Μετὰ δὲ τὴν δευτέραν ἐσβολὴν τῶν Πελοποννησίων
10 οἱ Ἀθηναῖοι, ὡς ἥ τε γῆ αὐτῶν ἐτέτμητο τὸ δεύτερον καὶ ἡ
νόσος ἐπέκειτο ἅμα καὶ ὁ πόλεμος, ἠλλοίωντο
τὰς γνώμας, καὶ τὸν μὲν Περικλέα ἐν αἰτίᾳ
εἶχον ὡς πείσαντα σφᾶς πολεμεῖν καὶ δι'
ἐκεῖνον ταῖς ξυμφοραῖς περιπεπτωκότες, πρὸς
15 δὲ τοὺς Λακεδαιμονίους ὥρμηντο ξυγχωρεῖν.
καὶ πρέσβεις τινὰς πέμψαντες ὡς αὐτοὺς 2
ἄπρακτοι ἐγένοντο. πανταχόθεν τε τῇ γνώμῃ 3
ἄποροι καθεστῶτες ἐνέκειντο τῷ Περικλεῖ. ὁ 4
δὲ ὁρῶν αὐτοὺς πρὸς τὰ παρόντα χαλεπαί-
20 νοντας καὶ πάντα ποιοῦντας ἅπερ αὐτὸς ἤλπιζε, ξύλλογον
ποιήσας (ἔτι δ' ἐστρατήγει) ἐβούλετο θαρσῦναί τε καὶ
ἀπαγαγὼν τὸ ὀργιζόμενον τῆς γνώμης πρὸς τὸ ἠπιώτερον
καὶ ἀδεέστερον καταστῆσαι. παρελθὼν δὲ ἔλεξε τοιάδε. 5

The Athenian people irritated and depressed by their sufferings, attempt in vain to obtain peace from Lacedæmon, and are violent in their outcries against Pericles. He calls an assembly of the people, and addresses them in a speech calculated at once to soothe and to encourage them.

LX. "ΚΑΙ προσδεχομένῳ μοι τὰ τῆς ὀργῆς ὑμῶν ἐς ἐμὲ
25 "γεγένηται (αἰσθάνομαι γὰρ τὰς αἰτίας), καὶ ἐκκλησίαν

1. καὶ πρὸς τοὺς i. νοῆσαι C. 2. σὺν B.F.H.K.V.c.h.i. 3. καὶ] om. P. 4. ἀνεχώρησε ταῖς ναυσὶν ἐς C.G.L.O.P.e. 10. αὐτοῦ c. 12. μὲν] om. Dionysius. 14. περιπεπτωκότας f. 16. πρέσβεις αὖ τινας d.i. ὡς] πρὸς Dionysius. 17. ἐγίνοντο Q. δὲ C.G.e. 18. καθεστηκότες C.G.I.e. 23. παρελθὼν δὲ A.B.C.E.F.G.H.K.L.N.O.P.Q.V.c.g.i. cum Tusano. Haack. Poppo. Goell. Bekk. vulgo καὶ παρελθών. 24. μοι om. G. ἐς] εὖ K. et recens E. omisso pronomine. ἐμὲ A.B.C.F.H.N.O.g.h. cum Dionysio, p. 923. Haack. Poppo. Goeller. Bekk. vulgo με. 25. αἰσθόμενος L.O. ἐκκλησίας i.

7. οἱ δὲ πρότεροι στρατιῶται] Nempe οἱ μετὰ Ἀρχεστράτου, I. 57, 4. καὶ οἱ μετὰ Καλλίου, I. 61, 1. et seqq. Haack.

ATHENS. A.C. 430. Olymp. 87. 3.

SPEECH OF PERICLES. (60—64.)

2 He defends himself generally for preferring the interest of the nation to a consideration of the sufferings of individuals: and asserts his own various 3 claims to their confidence; which he had done nothing justly to forfeit.

" τούτου ἕνεκα ξυνήγαγον ὅπως ὑπομνήσω " καὶ μέμψωμαι εἴ τι μὴ ὀρθῶς ἢ ἐμοὶ χαλε- " παίνετε ἢ ταῖς ξυμφοραῖς εἴκετε. ἐγὼ γὰρ " ἡγοῦμαι πόλιν πλείω ξύμπασαν ὀρθουμένην " ὠφελεῖν τοὺς ἰδιώτας, ἢ καθ' ἕκαστον τῶν 5 " πολιτῶν εὐπραγοῦσαν ἀθρόαν δὲ σφαλλο- " μένην. καλῶς μὲν γὰρ φερόμενος ἀνὴρ τὸ " καθ' ἑαυτὸν διαφθειρομένης τῆς πατρίδος " οὐδὲν ἧσσον ξυναπόλλυται, κακοτυχῶν δὲ 4 " ἐν εὐτυχούσῃ πολλῷ μᾶλλον διασῴζεται. ὁπότε οὖν πόλις 10 " μὲν τὰς ἰδίας ξυμφορὰς οἵα τε φέρειν, εἷς δὲ ἕκαστος τὰς " ἐκείνης ἀδύνατος, πῶς οὐ χρὴ πάντας ἀμύνειν αὐτῇ, καὶ μὴ " ὃ νῦν ὑμεῖς δρᾶτε, ταῖς κατ' οἶκον κακοπραγίαις ἐκπε- " πληγμένοι τοῦ κοινοῦ τῆς σωτηρίας ἀφίεσθε, καὶ ἐμέ τε " τὸν παραινέσαντα πολεμεῖν καὶ ὑμᾶς αὐτοὺς οἳ ξυνέγνωτε 15 5 " δι' αἰτίας ἔχετε. καίτοι ἐμοὶ τοιούτῳ ἀνδρὶ ὀργίζεσθε ὃς " οὐδενὸς οἴομαι ἥσσων εἶναι γνῶναί τε τὰ δέοντα καὶ " ἑρμηνεῦσαι ταῦτα, φιλόπολίς τε καὶ χρημάτων κρείσσων.

2. μέμψωμαι A.B.C.E.G. μέμψομαι F.K. Bekk. εἴ τι] ὅτι b.c. 3. ἢ ταῖς] εἰ ταῖς B.h. 4. πλείω A.B.E.F.G.H.K.N.V.d.g.h.i. cum Dionys. Haack. Poppo. Goell. Bekk. om. c. C. et ceteri πλέω. 7. τὸ] om. g. 11. δὲ ὢν E. 12. ἐκείνης] ἰδίας G. 13. πραγίαις P. εὐπραγίαις G. 14. ἐφίεσθε L.O.P. ἐφίεσθαι e. ἀφίεσθαι M.d.f.g. ἐμέ τε τὸν A.B.E.F.H.K.N.V.c.h. Haack. Poppo. Goeller. Bekk. C.G. et ceteri ἐμὲ τόν. 15. ὁ C. 17. οἴομαι ἥσσων A.B.E.H.K.Q.V.c.f.g.h.i. cum Dionys. Haack. Poppo. Goell. Bekk. C.F.G. et vulgo ἥσσων οἴομαι.

2. *μέμψωμαι*] I have here ventured to differ from Bekker, and have retained *μέμψωμαι* still in the text, as Göller has also done in his second edition. Bekker himself reads, VIII. 109. *πορεύεσθαι διενοεῖτο—ὅπως μέμψηταί τε —καὶ—ἀπολογήσηται*, and if the aorist subjunctive is right in one of these cases, it must surely be so in the other. Wherever *ὅπως* can be in any degree brought to bear the sense of "how" as after *ὁρᾶν, πράσσειν, σκοπεῖν, παρασκευάζεσθαι*, or any similar verbs, I should insert the future indicative instead of the aorist subjunctive without scruple. See the note on I. 82, 5. *ὁρᾶτε ὅπως μὴ πράξομεν*. But where the sense is simply "in order that," "with a "view to," the condemnation of the aorist form should be, I think, much less decisive.

4. *ἡγοῦμαι*] Huc spectat Hierocles apud Stobæum, p. 229. 20. Wass.

9. *κακοτυχῶν*] Agnoscit Pollux, III. 99. Κακοτυχὴς Euripides. Wass.

" ὅ τε γὰρ γνοὺς καὶ μὴ σαφῶς διδάξας ἐν ἴσῳ καὶ εἰ μὴ 6
" ἐνεθυμήθη· ὅ τ' ἔχων ἀμφότερα, τῇ δὲ πόλει δύσνους, οὐκ
" ἂν ὁμοίως τι οἰκείως φράζοι· προσόντος δὲ καὶ τοῦδε,
" χρήμασι δὲ νικωμένου, τὰ ξύμπαντα τούτου ἑνὸς ἂν
5 " πωλοῖτο. ὥστ' εἴ μοι καὶ μέσως ἡγούμενοι μᾶλλον ἑτέρων 7
" προσεῖναι αὐτὰ πολεμεῖν ἐπείσθητε, οὐκ ἂν εἰκότως νῦν
" τοῦ γε ἀδικεῖν αἰτίαν φεροίμην. LXI. καὶ γὰρ οἷς μὲν
" αἵρεσις γεγένηται τἆλλα εὐτυχοῦσι, πολλὴ
" ἄνοια πολεμῆσαι· εἰ δ' ἀναγκαῖον ἦν ἢ
10 " εἴξαντας εὐθὺς τοῖς πέλας ὑπακοῦσαι ἢ
" κινδυνεύσαντας περιγενέσθαι, ὁ φυγὼν τὸν
" κίνδυνον τοῦ ὑποστάντος μεμπτότερος. καὶ 2
" ἐγὼ μὲν ὁ αὐτός εἰμι καὶ οὐκ ἐξίσταμαι·
" ὑμεῖς δὲ μεταβάλλετε, ἐπειδὴ ξυνέβη ὑμῖν
15 " πεισθῆναι μὲν ἀκεραίοις μεταμέλειν δὲ κα-
" κουμένοις, καὶ τὸν ἐμὸν λόγον ἐν τῷ ὑμετέρῳ
" ἀσθενεῖ τῆς γνώμης μὴ ὀρθὸν φαίνεσθαι, διότι τὸ μὲν
" λυποῦν ἔχει ἤδη τὴν αἴσθησιν ἑκάστῳ, τῆς δὲ ὠφελίας
" ἄπεστιν ἔτι ἡ δήλωσις ἅπασι, καὶ μεταβολῆς μεγάλης, καὶ
20 " ταύτης ἐξ ὀλίγου, ἐμπεσούσης, ταπεινὴ ὑμῶν ἡ διάνοια
" ἐγκαρτερεῖν ἃ ἔγνωτε. δουλοῖ γὰρ φρόνημα τὸ αἰφνίδιον 3

They should not allow their resolutions to be the sport of circumstances; nor be changed by the shock of sudden and unlooked-for calamity; but forgetting their domestic sufferings, and remembering only the claims of their country, they should do nothing to compromise her great name.

1. καὶ εἰ A.B.C.E.F.G.H.V.c.e.f.g. Haack. Poppo. Goell. Bekk. εἰ om. K. vulgo εἰ καὶ. 2. δὲ] om. i. 3. τι] τὰ d.i. τοῦδε] τοῦ K. 5. πολοῖτο Q. ἀπολοῖτο g. 7. τοῦ γε A.B.C.E.F.G.H.K.L.O.V.c.d.e.g.h.i. Haack. Poppo. Goell. Bekk. vulgo γε τοῦ. 9. ἢ om. G. 12. κἀγὼ d.i. 13. ὁ] om. P. 14. μεταβέβλησθε F. 15. μεταβαλεῖν G.I.L.O.P. μεταμελεῖν E. 19. ἔτι] ἤδη g. ἅπασι] om. C.G.I.e. 21. ἐγκρατεῖν O. τὸ ἀπροσδ. καὶ αἰφν. c.f. τὸ αἰφν. καὶ τὸ ἀπροσδ. Dionysius.

1. ὅ τε γὰρ γνοὺς κ. τ. λ.] Compare Aristotle, Rhetoric, II. 1, 3. τοῦ μὲν οὖν αὐτοὺς εἶναι πιστοὺς τοὺς λέγοντας, τρία ἐστὶ τὰ αἴτια· ἔστι δὲ ταῦτα, φρόνησις, καὶ ἀρετὴ, καὶ εὔνοια. * * * ἢ γὰρ δι' ἀφροσύνην οὐκ ὀρθῶς δοξάζουσιν· ἢ δοξάζοντες ὀρθῶς διὰ μοχθηρίαν οὐ τὰ δοκοῦντα λέγουσιν· ἢ φρόνιμοι μὲν καὶ ἐπιεικεῖς εἰσὶν, ἀλλ' οὐκ εὖνοι· διόπερ ἐνδέχεται μὴ τὰ βέλτιστα συμβουλεύειν γιγνώσκοντας. Compare also Xenophon? de Repub. Atheniens. I. §. 7.

18. ἔχει ἤδη τὴν αἴσθησιν ἑκάστῳ] Compare the note on ch. 41, 3.

20. ταπεινὴ — ἐγκαρτερεῖν] Compare ὀλίγαι ἀμύνειν, I. 50, 6. and Matthiæ, Gr. Gr. §. 448. obs. 6. Jelf. 863. obs. 2.

" καὶ ἀπροσδόκητον καὶ τὸ πλείστῳ παραλόγῳ ξυμβαῖνον·
" ὃ ὑμῖν πρὸς τοῖς ἄλλοις οὐχ ἥκιστα καὶ κατὰ τὴν νόσον
4 " γεγένηται. ὅμως δὲ πόλιν μεγάλην οἰκοῦντας καὶ ἐν ἤθεσιν
" ἀντιπάλοις αὐτῇ τεθραμμένους χρεὼν καὶ ξυμφοραῖς ταῖς
" μεγίσταις ἐθέλειν ὑφίστασθαι καὶ τὴν ἀξίωσιν μὴ ἀφα- 5
" νίζειν (ἐν ἴσῳ γὰρ οἱ ἄνθρωποι δικαιοῦσι τῆς τε ὑπαρ-
" χούσης δόξης αἰτιᾶσθαι ὅστις μαλακίᾳ ἐλλείπει καὶ τῆς
" μὴ προσηκούσης μισεῖν τὸν θρασύτητι ὀρεγόμενον), ἀπαλ-
" γήσαντας δὲ τὰ ἴδια τοῦ κοινοῦ τῆς σωτηρίας ἀντιλαμβά-
" νεσθαι. LXII. τὸν δὲ πόνον τὸν κατὰ τὸν πόλεμον, μὴ 10
" γένηταί τε πολὺς καὶ οὐδὲν μᾶλλον περιγε-
" νώμεθα, ἀρκείτω μὲν ὑμῖν καὶ ἐκεῖνα ἐν οἷς
" ἄλλοτε πολλάκις γε δὴ ἀπέδειξα οὐκ ὀρθῶς
" αὐτὸν ὑποπτευόμενον, δηλώσω δὲ καὶ τόδε,
" ὅ μοι δοκεῖτε οὔτ᾽ αὐτοὶ πώποτε ἐνθυμηθῆναι 15
" ὑπάρχον ὑμῖν μεγέθους πέρι ἐς τὴν ἀρχὴν,
" οὔτ᾽ ἐγὼ ἐν τοῖς πρὶν λόγοις οὐδ᾽ ἂν νῦν

Their public prospects are most encouraging. The sovereignty of the sea is theirs; and the mere loss of their country-houses and the ravage of their lands was unworthy their serious regret. Victory would abun-

1. τῷ πλείστῳ F. συμβαῖνον f. 2. ἡμῖν A.B.C.E.G.K.L.O.c.d.e.h. Poppo. 4. καὶ ξυμφορὰς τὰς μεγίστας K.f. καὶ τὰς ξυμφορὰς Dionysius. 7. εἴ τις L. ὅστις ἂν Dionysius, qui mox ἐλλείπῃ. 9. δὲ χρεὼν τὰ c. 11. τε] om. c.f. 17. πρὶν λόγοις] πρόσθεν λόγοις f. προλόγοις c.

4. *ξυμφοραῖς—ὑφίστασθαι*] Compare Matthiæ, §. 393. Jelf, 601. 1. and Thucyd. VII. 66, 2. *ὑποστάντες τῷ ναυτικῷ*, where *ὑφίστασθαι* again governs a dative. It governs an accusative, IV. 59, 2. 127, 2. I. 144, 5.

6. *τῆς ὑπαρχούσης δόξης*] "His pro-"per and natural character or reputa-"tion." Compare ch. 45, 4. *τῆς ὑπαρχούσης φύσεως*.

8. *ἀπαλγήσαντας*] Agnoscit Suidas h.v. Cæterum *ἀπολοφύρομαι* Xenophon, Ἑλλήν. I. 1, 27. Wass. Accusativos in principio sequentis periodi, *τὸν δὲ πόνον*, Portus recte interpretatur *περὶ τοῦ πόνου*. Plura hujus generis suppeditabunt Stolberg. cap. IX. de Solœcism. et Barbarismis &c. Perizon. ad Ælian. II. 13. et Interpretes Actor. Apostol. ad X. 36. Duker.

10. *τὸν δὲ πόνον—μὴ γένηταί τε πολὺς κ. τ. λ.*] "But for your efforts and suf-"ferings in the war, lest you should "fear that they may be very great, and "after all may lead to no happy issue." &c. See "Annotationes in Sophoclis "Electram," vers. 4. and the passages there quoted, in the Museum Criticum, I. p. 62. also Matthiæ Gr. Gr. §. 426. *Οὐκ ὀρθῶς αὐτὸν ὑποπτευόμενον*, i. e. *τὸν πόνον*, "that you are wrong in looking "upon them so anxiously and fear-"fully."

17. *οὔτ᾽ ἐγὼ ἐν τοῖς πρὶν λόγοις*] Not certainly *ἐνεθυμήθην*, but *ἐχρησάμην*; so that I have put a comma after *λόγοις* instead of a colon. The sense is, "Whose existence neither have you "yourselves apparently ever been aware "of; nor have I in any of my former "speeches brought it forward, nor "would I even now," &c.

ATHENS. A. C. 430. Olymp. 87. 3.

dantly recompense such trifling losses: and victory was theirs, if they exerted that high and confident spirit which they were so well entitled to bear.

" ἐχρησάμην κομπωδεστέραν ἔχοντι τὴν προσ-
" ποίησιν, εἰ μὴ καταπεπληγμένους ὑμᾶς παρὰ
" τὸ εἰκὸς ἑώρων. οἴεσθε μὲν γὰρ τῶν ξυμ- 2
" μάχων μόνον ἄρχειν, ἐγὼ δὲ ἀποφαίνω δύο
5 " μερῶν τῶν ἐς χρῆσιν φανερῶν, γῆς καὶ
" θαλάσσης, τοῦ ἑτέρου ὑμᾶς παντὸς κυριωτάτους ὄντας,
" ἐφ' ὅσον τε νῦν νέμεσθε καὶ ἢν ἐπὶ πλέον βουληθῆτε· καὶ
" οὐκ ἔστιν ὅστις τῇ ὑπαρχούσῃ παρασκευῇ τοῦ ναυτικοῦ
" πλέοντας ὑμᾶς οὔτε βασιλεὺς κωλύσει οὔτε ἄλλο οὐδὲν
10 " ἔθνος τῶν ἐν τῷ παρόντι. ὥστε οὐ κατὰ τὴν τῶν οἰκιῶν 3
" καὶ τῆς γῆς χρείαν, ὧν μεγάλων νομίζετε ἐστερῆσθαι,
" αὕτη ἡ δύναμις φαίνεται· οὐδ' εἰκὸς χαλεπῶς φέρειν αὐτῶν
" μᾶλλον ἢ οὐ κηπίον καὶ ἐγκαλλώπισμα πλούτου πρὸς
" ταύτην νομίσαντας ὀλιγωρῆσαι, καὶ γνῶναι ἐλευθερίαν
15 " μέν, ἣν ἀντιλαμβανόμενοι αὐτῆς διασώσωμεν, ῥᾳδίως
" ταῦτα ἀναληψομένην, ἄλλων δ' ὑπακούσασι καὶ τὰ προσ-

1. κομποδεστέραν V. τὴν] om. L.O. 4. μόνων K. et corr. E. 5. φανερῶς P. 7. νέμεσθαι F. ἢν] om. B.h. πλεῖον E.F.H.K.i. 9. κωλύσει post παρόντι ponunt C.G.e. ἄλλο] om. c. 10. ἔθνος ἀνθρώπων τῶν C.G.I.L.O.P.e. 12. αὐτὴ A.E.I.L.O. αὐτῶν] inter versus g. 13. ἢ] καὶ K. οὐκ ἤπιον A.E.F.I.K.M.P.V.g.h. καὶ ἐν ἐγκαλλ. K. 16. τὰ] καὶ F.P. om. L.O. προσεκτημένα A.B.C.E.F.H.g. Bekk. Goell. προεκτημένα K. προκεκτημένα G.I.L.O.M.e. προσκεκτημένα P. Poppo.

5. *τῶν ἐς χρῆσιν φανερῶν*] "Ad usum "patentium: of the two parts of the "world, visible and obvious for man's "use," &c. i. e. which lay before him as if inviting him to make use of them.

9. *οὔτε βασιλεὺς*] "The king," *κατ' ἐξοχήν*. i. e. the king of Persia. "There "exists no power to check the career "of your navy, neither the king, nor "any other nation now in the world." *Οὐ κατὰ τὴν τῶν οἰκιῶν χρείαν*, "Far "from being *on a level with* the benefits "which you derive from your houses." Compare VII. 75, 4. *μείζω ἢ κατὰ δάκρυα πεπονθότας*, and Matthiæ, Gr. Gr. §. 581. b. Jelf, 783. *i.*

13. *μᾶλλον ἢ οὐ*] This same expression occurs again, III. 36, 3. Herodot. IV. 118, 5. V. 94, 3. VII. 16, 8. and Demosthenes, advers. Timoth. p. 1198. l. 14. p. 1200. l. 12. advers. Polyclem, p. 1226. l. 23. ed. Reiske. According to Hermann, (notes on Viger, note 265.) a negative must always precede *μᾶλλον*, so that the form is *οὐ μᾶλλον ἢ οὐ*, a question being equivalent to a negative, as in Demosth. adv. Timoth. *τί ἔδει—ἀποδοῦναι μᾶλλον ἢ οὐ—ὑποθεῖναι*; But this explanation will not suit the passage in Thucyd. III. 36, 3. as Hermann himself confesses. It seems to be no more than an instance of that multiplication of negatives which appears to be natural in all languages, as it is still preserved among the common people even where it is proscribed in the writings and conversation of the educated classes.

ATHENS. A. C. 430. Olymp. 87. 3.

" κεκτημένα φιλεῖν ἐλασσοῦσθαι, τῶν τε πατέρων μὴ χεί-
" ρους κατ' ἀμφότερα φανῆναι, οἳ μετὰ πόνων καὶ οὐ παρ'
" ἄλλων δεξάμενοι κατέσχον τε καὶ προσέτι διασώσαντες
" παρέδοσαν ἡμῖν αὐτὰ (αἴσχιον δὲ ἔχοντας ἀφαιρεθῆναι ἢ
" κτωμένους ἀτυχῆσαι), ἰέναι δὲ τοῖς ἐχθροῖς ὁμόσε μὴ 5
4 " φρονήματι μόνον ἀλλὰ καὶ καταφρονήματι. αὔχημα μὲν
" γὰρ καὶ ἀπὸ ἀμαθίας εὐτυχοῦς καὶ δειλῷ τινὶ ἐγγίγνεται,
" καταφρόνησις δὲ ὃς ἂν καὶ γνώμῃ πιστεύῃ τῶν ἐναντίων
5 " προέχειν, ὃ ἡμῖν ὑπάρχει. καὶ τὴν τόλμαν ἀπὸ τῆς ὁμοίας
" τύχης ἡ ξύνεσις ἐκ τοῦ ὑπέρφρονος ἐχυρωτέραν παρέχεται, 10
" ἐλπίδι τε ἧσσον πιστεύει, ἧς ἐν τῷ ἀπόρῳ ἡ ἰσχὺς, γνώμῃ
" δὲ ἀπὸ τῶν ὑπαρχόντων, ἧς βεβαιοτέρα ἡ πρόνοια.
" LXIII. τῆς τε πόλεως ὑμᾶς εἰκὸς τῷ τιμωμένῳ ἀπὸ τοῦ
" ἄρχειν, ᾧπερ ἅπαντες ἀγάλλεσθε, βοηθεῖν, καὶ μὴ φεύγειν

4. ὑμῖν A.B.C.F.G.I.V.b.c.f.g.h. 5. ὁμόσε καὶ ἀμύνεσθαι μὴ Dionysius, p. 928. ὁμόσε καὶ μὴ Q. 6. αὔχημα] φρόνημα Dionysius. 7. ἀπὸ] ὑπὸ Dionysius. καὶ ante δειλῷ om. G.e. ἐγίγνετο G. 8. ἂν] om. K. πιστεύει E.V. 9. περιέχειν C. 10. ὀχυρωτέραν B.E.F.N.V.g.h. cum Dionysio. 11. πιστεύειν C. 14. ᾧ ὑπὲρ ἅπαντας A.e.f. cum Dionysio. ᾧ ὑπὲρ ἅπαντες B.E.F. ὥσπερ ἅπαντας I.c.

2. *κατ' ἀμφότερα φανῆναι*] i. e. *κατὰ τὸ κατέχειν τε καὶ διασώσαντες παραδιδόναι.* GÖLL.

8. *καταφρόνησις δὲ, ὃς ἂν κ. τ. λ.*] Compare the note on ch. 44, 2. *τὸ εὐτυχὲς, οἳ ἂν—λάχωσιν.*

9. *καὶ τὴν τόλμαν κ. τ. λ.*] "And if "Fortune be impartial, ability, with a "high and confident spirit, is the surest "warrant for daring; nor is its trust "placed in hope, which is but the com-"fort of the desperate, but in a judg-"ment grounded upon present realities, "whose anticipations are far more trust-"worthy." Such seems to be the sense of this passage, and so Krüger and Göller interpret it. *Ἀπὸ τῆς ὁμοίας τύχης* is literally, "setting out from, or "with, equal fortune." *Ἐκ τοῦ ὑπέρφρονος* resembles the expression, IV. 10, 3. *στρατὸς ἐκ τοῦ ὁμοίου μείζων*, and *ἐκ τοῦ προφανοῦς*, and others of the same kind, where the adjective with *ἐκ* is used like an adverb. *Ἐκ* is here in English "with," that is, it expresses the circumstances accompanying an action, or that state from or with which an action sets out. See Schäfer's note on Demosth. Olympiodor. p. 1173. Reiske. *Ἰσχὺν ἐλπίδος* occurs again, IV. 65, 4. and the same sentiment is repeated, V. 103. 113. namely, that hope acts peculiarly on those who have nothing better to trust to, who are *ἐν ἀπόρῳ*. *Γνώμῃ ἀπὸ τῶν ὑπαρχόντων*: compare IV. 18, 2. *ἀπὸ τῶν ὑπαρχόντων γνώμῃ σφαλέντες.* "Deceived in the "judgment which they had formed not "on contingent prospects, but on re-"sources actually existing." For even these, although *βεβαιοτέρα ἡ ἐξ αὐτῶν πρόνοια*, are yet not infallible. Compare I. 140, 3.

13. *τῷ τιμωμένῳ*] Here again the participle is used according to the English idiom, where the infinitive mood in Greek commonly supplies its place. Compare note on I. 36, 1.

On the other hand, defeat was not only degradation, but would entail on them the bitter vengeance of those who had so many reasons to hate them.

"τοὺς πόνους ἢ μηδὲ τὰς τιμὰς διώκειν· μηδὲ
"νομίσαι περὶ ἑνὸς μόνου, δουλείας ἀντ' ἐλευ-
"θερίας, ἀγωνίζεσθαι, ἀλλὰ καὶ ἀρχῆς στερή-
"σεως καὶ κινδύνου ὧν ἐν τῇ ἀρχῇ ἀπήχθεσθε.
5 "ἧς οὐδ' ἐκστῆναι ἔτι ὑμῖν ἔστιν, εἴ τις καὶ 2
"τόδε ἐν τῷ παρόντι δεδιὼς ἀπραγμοσύνῃ ἀνδραγαθίζεται·
"ὡς τυραννίδα γὰρ ἤδη ἔχετε αὐτήν, ἣν λαβεῖν μὲν ἄδικον
"δοκεῖ εἶναι, ἀφεῖναι δὲ ἐπικίνδυνον. τάχιστ' ἄν τε πόλιν οἱ 3
"τοιοῦτοι ἑτέρους τε πείσαντες ἀπολέσειαν, καὶ εἴ που ἐπὶ
10 "σφῶν αὐτῶν αὐτόνομοι οἰκήσειαν· τὸ γὰρ ἄπραγμον οὐ
"σώζεται μὴ μετὰ τοῦ δραστηρίου τεταγμένον, οὐδὲ ἐν
"ἀρχούσῃ πόλει ξυμφέρει ἀλλ' ἐν ὑπηκόῳ, ἀσφαλῶς δου-
"λεύειν. LXIV. ὑμεῖς δὲ μήτε ὑπὸ τῶν τοιῶνδε πολιτῶν

They could not then recede, if they wished it, from their high and commanding situation, but they might, if they would, maintain it and exalt it. Let them remember what they have been, what they were, and what they would

"παράγεσθε, μήτε ἐμὲ δι' ὀργῆς ἔχετε, ᾧ καὶ
15 "αὐτοὶ ξυνδιέγνωτε πολεμεῖν, εἰ καὶ ἐπελ-
"θόντες οἱ ἐναντίοι ἔδρασαν ἅπερ εἰκὸς ἦν μὴ
"ἐθελησάντων ὑμῶν ὑπακούειν, ἐπιγεγένηταί
"τε πέρα ὧν προσεδεχόμεθα ἡ νόσος ἥδε,
"πρᾶγμα μόνον δὴ τῶν πάντων ἐλπίδος
20 "κρεῖσσον γεγενημένον. καὶ δι' αὐτὴν οἶδ' ὅτι 2

2. *νομίσατε* I. 6. *ἀνδραγαθίζεσθαι* P. 7. *δοκεῖ ἄδικον* c. 8. *τε*] *ποτε* B.g. 11. *μὴ*] om. e. 12. *ἀσφαλὲς* K. 14. *παραγένεσθε* B.h. 16. *ἐναντίοι*] *πολέμιοι* i. 17. *ἐπακούειν* c. *ἐπεὶ γεγένηται* C.b.c. 18. *ἤιδε* E. 19. *ἐλπίδων* I.L.O.P.Q.e.

4. *κινδύνου ὧν ἐν τῇ ἀρχῇ ἀπήχθεσθε*] Krüger has, I think, rightly explained this expression, *κινδύνου τούτων ἃ ἀπήχθεσθε*, "Danger arising from the animosities which you incurred in the exercise of your dominion." Compare for the sentiment I. 75, 2. *οὐκ ἀσφαλὲς ἔτι ἐδόκει εἶναι, τοῖς πολλοῖς ἀπηχθημένους, ἀνέντας* (scil. *τὴν ἀρχὴν*) *κινδυνεύειν*. and I. 76, 1. and V. 90. 91.

5. *εἴ τις καὶ τόδε—ἀνδραγαθίζεται*] i. e. *εἴ τις καὶ τόδε* scil. *τὸ ἐκστῆναι τῆς ἀρχῆς, ἀνδραγαθίᾳ δῆθεν διανοεῖται. Τόδε ἀνδραγαθίζεται*, "Is for so playing the "honest man."

8. *τάχιστ' ἄν τε πόλιν κ. τ. λ.*] "Atque hujusmodi homines, et si aliis idem persuaserint, et sicubi seorsum ab aliis liberi, ["velut in coloniam deducti" Poppo.] civitatem incoluerint, eam protinus perdant." Portus.

11. *οὐδὲ ἐν ἀρχούσῃ πόλει ξυμφέρει*] Scil. *τὸ ἄπραγμον*. "Quietness is good "not in a sovereign city but in one "that is subject, that it may live in "safe slavery." So the later editors understand this passage, and I believe rightly.

wish to be in the eyes of posterity; and let them by a determined resistance to their enemies secure at once their safety and their glory.

" μέρος τι μᾶλλον ἔτι μισοῦμαι, οὐ δικαίως, εἰ
" μὴ καὶ ὅταν παρὰ λόγον τι εὖ πράξητε ἐμοὶ
3 " ἀναθήσετε. φέρειν τε χρὴ τά τε δαιμόνια
" ἀναγκαίως τά τε ἀπὸ τῶν πολεμίων ἀν-
" δρείως· ταῦτα γὰρ ἐν ἔθει τῇδε τῇ πόλει 5
4 " πρότερόν τε ἦν νῦν τε μὴ ἐν ὑμῖν κωλυθῇ. γνῶτε δὲ ὄνομα
" μέγιστον αὐτὴν ἔχουσαν ἐν πᾶσιν ἀνθρώποις διὰ τὸ ταῖς
" ξυμφοραῖς μὴ εἴκειν, πλεῖστα δὲ σώματα καὶ πόνους ἀνα-
" λωκέναι πολέμῳ, καὶ δύναμιν μεγίστην δὴ μέχρι τοῦδε
" κεκτημένην, ἧς ἐς ἀΐδιον τοῖς ἐπιγιγνομένοις, ἢν καὶ νῦν 10
" ὑπενδῶμέν ποτε (πάντα γὰρ πέφυκε καὶ ἐλασσοῦσθαι),
" μνήμη καταλελείψεται, Ἑλλήνων τε ὅτι Ἕλληνες πλεί-
" στων δὴ ἤρξαμεν, καὶ πολέμοις μεγίστοις ἀντέσχομεν
" πρός τε ξύμπαντας καὶ καθ' ἑκάστους, πόλιν τε τοῖς πᾶσιν
5 " εὐπορωτάτην καὶ μεγίστην ᾠκήσαμεν. καίτοι ταῦτα ὁ μὲν 15
" ἀπράγμων μέμψαιτ' ἄν, ὁ δὲ δρᾶν τι βουλόμενος καὶ αὐτὸς
6 " ζηλώσει· εἰ δέ τις μὴ κέκτηται, φθονήσει. τὸ δὲ μισεῖσθαι
" καὶ λυπηροὺς εἶναι ἐν τῷ παρόντι πᾶσι μὲν ὑπῆρξε δὴ
" ὅσοι ἕτεροι ἑτέρων ἠξίωσαν ἄρχειν· ὅστις δ' ἐπὶ μεγίστοις

1. ἔτι] om. e. 2. παράλογόν E.F.H.K.M.N.V.g. 3. φέρειν δὲ L.O.e. conjunctionem om. c. 4. πολέμων P.e. 6. τε post πρότερον om. N.V. ἦν] ἢ C. κωλυθῇ] "An καταλυθῇ." Bekk. 7. ἅπασιν C.G.L.O.P.e. 8. οἰκεῖν V. 10. τοῖς] om. P. νῦν μὴ ὑπενδ. N.V. 12. καταλείψεται P. κατελελείψεται V. πλεῖστον C.G.L.Q. 13. δὴ ἤρξαμεν] διηρξαμεν E. 14. τε post πόλιν om. g. 15. ᾠκίσαμεν P.Q. 16. μέμψοιτ' H.Q. et correct. F. μέμψετ' pr. F. καὶ αὐτὸς βουλόμενος ζηλώσει C.G.I.L.O.P.

3. φέρειν] Confer Demosth. Coron. 355. Wass.

6. κωλυθῇ] Bekker and Dobree conjecture καταλυθῇ. But this does not seem to me to be necessary. "Let not "those feelings which were once ha- "bitual to our city now meet with a "check in your case," or "through "you," as some understand the words ἐν ὑμῖν.

14. καθ' ἑκάστους] This expression has come to be considered like a single substantive, and is dependent on the preposition πρός. πρός τε ξύμπαντας καὶ πρὸς καθ' ἑκάστους. See Buttmann. Ind. ad Demosth. Midiam. as quoted by Poppo.

19. ὅστις δ' ἐπὶ μεγίστοις κ. τ. λ.] "But he who, since he must incur "odium, incurs it for the highest ob- "jects, counsels wisely." Compare Cæsar's favourite sentiment from Euripides:

εἴπερ γὰρ ἀδικεῖν χρὴ, τυραννίδος πέρι
κάλλιστον ἀδικεῖν, τἄλλα δ' εὐσεβεῖν
χρεών. Phœn. 524. ed. Matth.

"τὸ ἐπίφθονον λαμβάνει, ὀρθῶς βουλεύεται. μῖσος μὲν γὰρ 7
"οὐκ ἐπὶ πολὺ ἀντέχει, ἡ δὲ παραυτίκα τε λαμπρότης καὶ ἐς
"τὸ ἔπειτα δόξα ἀείμνηστος καταλείπεται. ὑμεῖς δὲ ἔς τε τὸ 8
"μέλλον καλὸν προγνόντες ἔς τε τὸ αὐτίκα μὴ αἰσχρὸν, τῷ
5 "ἤδη προθύμῳ ἀμφότερα κτήσασθε, καὶ Λακεδαιμονίοις
"μήτε ἐπικηρυκεύεσθε μήτε ἔνδηλοι ἔστε τοῖς παροῦσι πόνοις
"βαρυνόμενοι, ὡς οἵτινες πρὸς τὰς ξυμφορὰς γνώμῃ μὲν
"ἥκιστα λυποῦνται ἔργῳ δὲ μάλιστα ἀντέχουσιν, οὗτοι καὶ
"πόλεων καὶ ἰδιωτῶν κράτιστοί εἰσιν."

10 LXV. Τοιαῦτα ὁ Περικλῆς λέγων ἐπειρᾶτο τοὺς Ἀθηναίους τῆς τε ἐπ' αὐτὸν ὀργῆς παραλύειν καὶ ἀπὸ τῶν παρόντων δεινῶν ἀπάγειν τὴν γνώμην. οἱ δὲ 2 δημοσίᾳ μὲν τοῖς λόγοις ἀνεπείθοντο, καὶ οὔτε πρὸς τοὺς Λακεδαιμονίους ἔτι ἔπεμπον ἔς τε
15 τὸν πόλεμον μᾶλλον ὥρμηντο, ἰδίᾳ δὲ τοῖς παθήμασιν ἐλυποῦντο, ὁ μὲν δῆμος ὅτι ἀπ' ἐλασσόνων ὁρμώμενος ἐστέρητο καὶ τούτων, οἱ δὲ δυνατοὶ καλὰ κτήματα κατὰ τὴν χώραν οἰκοδομίαις τε καὶ πολυτελέσι κατασκευαῖς
20 ἀπολωλεκότες, τὸ δὲ μέγιστον, πόλεμον ἀντ' εἰρήνης ἔχοντες. οὐ μέντοι πρότερόν γε οἱ 3 ξύμπαντες ἐπαύσαντο ἐν ὀργῇ ἔχοντες αὐτὸν πρὶν ἐζημίωσαν χρήμασιν. ὕστερον δ' αὖθις οὐ πολλῷ, ὅπερ 4

This speech only partly succeeded. Pericles is fined, but soon after restored to the office of general of the commonwealth. He lived about twelve months after this period, to the middle of the third year of the war. His character, and a defence of his foresight in judging Athens capable of coping successfully with the Peloponnesians.

1. μὲν] om. B.E.F.K.N.Q.V.g.h.i. 2. τε] om. L. 4. κακὸν P. 6. ἐπικηρυκεύησθε I. 7. εἴ τινες V. 10. τοιαῦτα μὲν ὁ i. 11. ἐπ'] ἐς C.G.L.O.P. αὐτῶν V. 14. τοὺς] om. g.e. ἔτι] om. C.e. 15. μᾶλλον] om. P. 22. αὐτὸν] om. L.

3. ἐς τὸ μέλλον καλὸν πρόγνοντες] "Providing in your decision for your "future glory, and for your present "escape from disgrace." Προγιγνώσκειν ἐς τὸ μέλλον καλὸν is, "To decide with "a view to future glory."

19. πολυτελέσι κατασκευαῖς] "Expen-"sive establishments;" that is to say, all the furniture, decorations, and general style of living which they enjoyed in the country; and which they had practically lost, although they might have removed their furniture strictly so called into Athens. But a splendid colonnade round a house would come under the denomination of κατασκευὴ, (compare note on I. 10, 2.) and yet would have been incapable of removal, and would probably be destroyed by an invading enemy.

φιλεῖ ὅμιλος ποιεῖν, στρατηγὸν εἵλοντο καὶ πάντα τὰ πράγματα ἐπέτρεψαν, ὧν μὲν περὶ τὰ οἰκεῖα ἕκαστος ἤλγει, ἀμβλύτεροι ἤδη ὄντες, ὧν δὲ ξύμπασα ἡ πόλις προσεδεῖτο, 5 πλείστου ἄξιον νομίζοντες εἶναι. ὅσον τε γὰρ χρόνον προὔστη τῆς πόλεως ἐν τῇ εἰρήνῃ, μετρίως ἐξηγεῖτο καὶ 5 ἀσφαλῶς διεφύλαξεν αὐτήν, καὶ ἐγένετο ἐπ' ἐκείνου μεγίστη· ἐπεί τε ὁ πόλεμος κατέστη, ὁ δὲ φαίνεται καὶ ἐν τούτῳ 6 προγνοὺς τὴν δύναμιν. ἐπεβίω δὲ δύο ἔτη καὶ μῆνας ἕξ· καὶ ἐπειδὴ ἀπέθανεν, ἐπὶ πλέον ἔτι ἐγνώσθη ἡ πρόνοια αὐτοῦ ἡ 7 ἐς τὸν πόλεμον. ὁ μὲν γὰρ ἡσυχάζοντάς τε καὶ τὸ ναυτικὸν 10 θεραπεύοντας καὶ ἀρχὴν μὴ ἐπικτωμένους ἐν τῷ πολέμῳ μηδὲ τῇ πόλει κινδυνεύοντας ἔφη περιέσεσθαι· οἱ δὲ ταῦτά τε πάντα ἐς τοὐναντίον ἔπραξαν, καὶ ἄλλα ἔξω τοῦ πολέμου

1. ὁ ὅμιλος K. 3. ξύμπασα ἡ A.B.E.F.H.K.Q.V.d.g.h.i. Haack. Poppo. Bekk. C.G. vulgo, Goeller. ἡ ξύμπασα πόλις. 4. ἄξια L.O. 5. προύστη Bekk. 6. ἐκείνου] αὐτοῦ f. 7. ἐπεί A.B.E.F.H.K.N.Q.V.c.d.f.g.h. Haack. Poppo. Goell. Bekk. om. b. C.G. et ceteri ἐπειδή. ὅδε A.F.G.g. ἐφαίνετο G.I.L.O.P. 8. ἔτη δύο G. μῆνας ἕξ A.V.f. B.C.E.F.G. et ceteri ἓξ μῆνας. 9. αὐτοῦ ἐς A.B.E.F.H.K.N.V.g. Poppo.

1. πάντα τὰ πράγματα ἐπέτρεψαν] That is, they made him supreme over the other nine στρατηγοὶ, like the first lord of the treasury or the admiralty. Sometimes there was no *first lord*, but the ten στρατηγοὶ either conducted affairs jointly with equal authority, or like the prætors of Rome had their several departments assigned to them, which they managed without the interference of their colleagues. See Schömann, De Comitiis Atheniens. p. 313, 314.

5. ἐν τῇ εἰρήνῃ] Mr. Bloomfield rightly interprets this to mean *the* peace, i. e. the thirty years' truce which followed the revolt of Eubœa, I. 115, 1. and which formed the longest period of the administration of Pericles.

7. ὁ δὲ φαίνεται] Compare note on I. 11, 2.

13. καὶ ἄλλα ἔξω τοῦ πολέμου κ. τ. λ.] "And in other matters, which seemed "to have nothing to do with the war, "through private ambition and private "gain, they adopted unwise measures "both with respect to themselves and "their allies." I have followed Poppo in restoring the punctuation of the earlier editions, by placing the comma after εἶναι instead of after πολέμου. Κατὰ seems to be, "owing to, along "of:" more strictly, "in the way of, "or connected with;" in which sense it is that it signifies the cause of any thing. Ἐπολιτεύσαν is nearly synonymous with ᾤκησαν, as οἰκεῖν is used, II. 37, 2. ἐς πλείονας οἰκεῖν: "To go on "or live in civil relations; to act in "civil relations." The active form is used by Thucydides, although in a neutral signification; (see I. 19, 1. III. 62, 4. 66, 1. IV. 114, 1. 130, 7. VIII. 53, 3. 97, 2.) the middle is preferred by Demosthenes and the orators. It now remains to ask, what "unwise measures, "which seemed to have nothing to do "with the war, and whose failure affected "the success of the war," Thucydides here alludes to. The terms κατορθούμενα and σφαλέντα seem to shew that ἔξω τοῦ πολέμου means such measures

δοκοῦντα εἶναι, κατὰ τὰς ἰδίας φιλοτιμίας καὶ ἴδια κέρδη, κακῶς ἔς τε σφᾶς αὐτοὺς καὶ τοὺς ξυμμάχους ἐπολίτευσαν, ἃ κατορθούμενα μὲν τοῖς ἰδιώταις τιμὴ καὶ ὠφελία μᾶλλον ἦν, σφαλέντα δὲ τῇ πόλει ἐς τὸν πόλεμον βλάβη καθίστατο. 5 αἴτιον δ' ἦν ὅτι ἐκεῖνος μὲν δυνατὸς ὢν τῷ τε ἀξιώματι καὶ 8 τῇ γνώμῃ, χρημάτων τε διαφανῶς ἀδωρότατος γενόμενος, κατεῖχε τὸ πλῆθος ἐλευθέρως, καὶ οὐκ ἤγετο μᾶλλον ὑπ' αὐτοῦ ἢ αὐτὸς ἦγε, διὰ τὸ μὴ κτώμενος ἐξ οὐ προσηκόντων τὴν δύναμιν πρὸς ἡδονήν τι λέγειν, ἀλλ' ἔχων ἐπ' ἀξιώσει 10 καὶ πρὸς ὀργήν τι ἀντειπεῖν. ὁπότε γοῦν αἴσθοιτό τι αὐτοὺς 9 παρὰ καιρὸν ὕβρει θαρσοῦντας, λέγων κατέπλησσεν ἐπὶ τὸ φοβεῖσθαι, καὶ δεδιότας αὖ ἀλόγως ἀντικαθίστη πάλιν ἐπὶ τὸ θαρσεῖν. ἐγίγνετό τε λόγῳ μὲν δημοκρατία, ἔργῳ δὲ ὑπὸ 10

4. καθίσταντο b. 6. τε] δὲ apud Aristid. ἀδιαφανῶς I. ἀφανῶς Lex. Seg. p. 346, 14. et mox ἀδώρητος. 10. τι] om. c. cum Aristide et Thoma Mag. V. ἀξιῶ. εἰπεῖν g. οὖν g. τις B. ἂν d. 12. αὖ ἀλόγως] ἀναλόγως C.e. 13. θαρρεῖν A.B.E.F.H.V.g. θαρσοῦν e.

as were foreign to the true object of the war; such as properly speaking made no part of the contest between Athens and Lacædemon. And so Mr. Bloomfield interprets it, and rightly compares the expressions ἔξω τοῦ λόγου, ἔξω τοῦ πράγματος; (see Aristot. Rhetor. III. 14, 8.) Thucydides alludes then to such measures as the sending a squadron to Crete, to make an attempt upon Cydonia, when it ought to have sailed without loss of time to reinforce Phormion, II. 85, 5, 6. the wasting their force in petty expeditions in Sicily before the great invasion, by which no national object was gained, and the Dorian states wholly alienated from Athens; the iniquitous attack upon Melos, which provoked so strong a feeling of indignatiou throughout Greece; possibly also the expedition against Bœotia, which led to the defeat at Delium; and various proceedings perhaps of the νῆες ἀργυρολόγοι, such as those recorded III. 19. by which the allies were harassed and impoverished, and a general impression created of the evils of the Athenian dominion.

6. ἀδωρότατος] Plutarch. Pericl. 161. ubi legerim προσφέροντα σωτήρια. Sallust. Invictus adversum divitias. Pro τε διαφανῶς Thom. Mag. h. v. δὲ διαφ. Wass.

7. οὐκ ἤγετο μᾶλλον] Aristid. tom. III. p. 442. Idem.

8. διὰ τὸ μὴ κτώμενος κ. τ. λ.] "Because he framed not his words to "please them, like one who is gaining "power by unworthy means, but was "able, on the strength of his high character, even to brave their anger by "contradicting their will:" literally, "even to speak in opposition to their "inclinations, so as to excite their "anger." Πρὸς ὀργὴν cannot here signify "angrily," but corresponds exactly to πρὸς ἡδονήν; which no one would think of translating "willingly" in this passage, although it has that signification elsewhere.

9. ἔχων—ἀντειπεῖν] Thom. Mag. in ἀξιῶ. Vid. Demosth. contra Aristogiton. p. 458. Wass.

11 τοῦ πρώτου ἀνδρὸς ἀρχή. οἱ δὲ ὕστερον ἴσοι αὐτοὶ μᾶλλον πρὸς ἀλλήλους ὄντες, καὶ ὀρεγόμενοι τοῦ πρῶτος ἕκαστος γίγνεσθαι, ἐτράποντο καθ' ἡδονὰς τῷ δήμῳ καὶ τὰ πράγματα
12 ἐνδιδόναι. ἐξ ὧν ἄλλα τε πολλὰ ὡς ἐν μεγάλῃ πόλει καὶ ἀρχὴν ἐχούσῃ ἡμαρτήθη, καὶ ὁ ἐς Σικελίαν πλοῦς· ὃς οὐ 5 τοσοῦτον γνώμης ἁμάρτημα ἦν πρὸς οὓς ἐπῄεσαν, ὅσον οἱ ἐκπέμψαντες οὐ τὰ πρόσφορα τοῖς οἰχομένοις ἐπιγιγνώσκοντες ἀλλὰ κατὰ τὰς ἰδίας διαβολὰς περὶ τῆς τοῦ δήμου προστασίας τά τε ἐν τῷ στρατοπέδῳ ἀμβλύτερα ἐποίουν, καὶ τὰ περὶ τὴν πόλιν πρῶτον ἐν ἀλλήλοις ἐταράχθησαν. 10
13 σφαλέντες δ' ἐν Σικελίᾳ ἄλλῃ τε παρασκευῇ καὶ τοῦ ναυτικοῦ

1. μᾶλλον αὐτοὶ C.G.L.O.P.e. cum Aristide, qui et ὕστεροι. 2. ὀρεγόμενος P.c. 3. ἡδονὴν Q. καὶ] om. G.L.O.P. cum Aristide. 4. ὡς] om. C.e. 5. ὃς] uncis inclusit Bekk. 6. ἐπίεσαν L. ἐποίησαν O.P. ἀπῄεσαν g. ἐποίεσαν V. 7. οἰχομένοις] ὁρωμένοις e. 8. τὰς] om. F.K.N.Q.g. διαβολὰς A.B.C.E.F.K.N.Q.V.d.e.f.g.h.i. Haack. Poppo. Goell. Bekk. G. et vulgo διαφοράς. 9. ἐν] om. e.

3. καὶ τὰ πράγματα ἐνδιδόναι] i. e. "Not only to frame their speeches, but "even their actions and measures, ac- "cording to the pleasure of the peo- "ple."

5. οὐ τοσοῦτον γνώμης ἁμάρτημα κ. τ. λ] Thucydides here expresses the same opinion which he repeats in two other places, (VI. 31, 6. VII. 42, 3.) namely, that the Athenian power was fully adequate to the conquest of Syracuse, had not the expedition been mismanaged by the general, and insufficiently supplied by the government at home. The words οὐ τὰ πρόσφορα τοῖς οἰχομένοις ἐπιγιγνώσκοντες signify, "not voting "afterwards the needful supplies to "their absent armament:" for Nicias was prevented from improving his first victory over the Syracusans, by the want of cavalry and money; and the whole winter was lost before he could get supplied from Athens, VI. 71, 2. And subsequently the armament was allowed to be reduced to great distress and weakness, before the second expedition was sent to reinforce it. Τοῖς οἰχομένοις: this participle has a past signification, "those who were gone;" as again, I. 133. οἰχομένου καὶ σκηνησαμένου, and III. 81, 2. τὰς ναῦς οἰχομένας. So ἥκοντας signifies, "those who were "come," not "coming," VI. 94, 4. 96, 1. τοὺς ἱππέας ἥκοντας καταλαμβάνουσι. See Matth. Gr. Gr. §. 504. obs. 2. Jelf, 396. Ἐπιγιγνώσκοντες, "Voting or resolving "afterwards, or anew;" compare I. 70, 2. III. 57, 1. The construction in what follows is doubtful. Poppo repeats ἐπιγιγνώσκοντες—οὐ τοσοῦτον—ἁμάρτημα ἦν, ὅσον οἱ ἐκπέμψαντες—ἐποίουν καὶ ἐταράχθησαν, οὐ τὰ πρόσφορα—ἐπιγιγνώσκοντες, ἀλλὰ κατὰ τὰς ἰδίας διαβολὰς ἐπιγιγνώσκοντες. It would be more correct, I think, to supply some more general word, such as πολιτευόμενοι, or βουλευόμενοι. Διαβολὰς is rightly referred by Göller to the ungrounded charges brought against Alcibiades, which led to his removal from the command. Πρῶτον ἐταράχθησαν, "For "the first time since the expulsion of "the Pisistratidæ were involved in in- "ternal troubles;" or, "were first "involved in internal troubles, and "afterwards the mischief extended it- "self to their foreign interests."

τῷ πλείονι μορίῳ, καὶ κατὰ τὴν πόλιν ἤδη ἐν στάσει ὄντες, ὅμως τρία μὲν ἔτη ἀντεῖχον τοῖς τε πρότερον ὑπάρχουσι πολεμίοις καὶ τοῖς ἀπὸ Σικελίας μετ' αὐτῶν, καὶ τῶν ξυμμάχων ἔτι τοῖς πλείοσιν ἀφεστηκόσι, Κύρῳ τε ὕστερον 5 βασιλέως παιδὶ προσγενομένῳ, ὃς παρεῖχε χρήματα Πελοποννησίοις ἐς τὸ ναυτικόν· καὶ οὐ πρότερον ἐνέδοσαν ἢ αὐτοὶ ἐν σφίσι κατὰ τὰς ἰδίας διαφορὰς περιπεσόντες ἐσφάλησαν. τοσοῦτον τῷ Περικλεῖ ἐπερίσσευσε τότε ἀφ' ὧν αὐτὸς 14 προέγνω καὶ πάνυ ἂν ῥᾳδίως περιγενέσθαι τῶν Πελοποννησίων 10 αὐτῶν τῷ πολέμῳ.

Fruitless expedition of the Lacedæmonians against Zacynthus.

LXVI. Οἱ δὲ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι τοῦ αὐτοῦ θέρους ἐστράτευσαν ναυσὶν ἑκατὸν ἐς Ζάκυνθον τὴν νῆσον, ἣ κεῖται ἀντιπέρας Ἤλιδος· εἰσὶ δὲ Ἀχαιῶν τῶν ἐκ Πελοποννήσου ἄποικοι, καὶ Ἀθηναίοις 15 ξυνεμάχουν. ἐπέπλεον δὲ Λακεδαιμονίων χίλιοι 2 ὁπλῖται, καὶ Κνῆμος Σπαρτιάτης ναύαρχος. ἀποβάντες δὲ 3

1. πλείονι A.B.E.F.H.K.Q.g.h. Haack. Poppo. Goeller. Bekk. C.G. et ceteri πλέονι. ἤδη] ἔτι A. 2. ἔτη] ἔτι A. ἀνεῖχον I. 4. πλείοσιν A.B.E.F. H.K.L.V.b.c.d.g.h.i. Haack. Poppo. Goeller. Bekk. C.G. et ceteri πλέοσιν. ἀφεστηκόσι πολεμοῦντες κύρῳ f. 5. προσγεγενημένῳ L.O.P. 7. σφίσιν αὐτοῖς C.L.O.P.e.f. 9. περιγενέσθαι A.B.E.F.H.g.h. Poppo. Goeller. Bekk. περιγενέσθαι τὴν πόλιν ceteri. τῶν C. om. G.L.O.P.V.c.f. 10. αὐτῷ K.g. om. V. 13. ἀντιπέραν g. 14. ἀθηναῖοι A.B.F. 15. δὲ] om. F.H. 16. κῆμις f.

2. *τρία μὲν ἔτη ἀντεῖχον*] That is, from the spring of the year B. C. 407. when Cyrus first entered upon the government of Lower Asia, to the spring of 404 B. C. when Athens surrendered to Lysander. He mentions this last period of three years, because it was during that time that Athens had to contend with the whole force of Greece, supported much more effectually than before by the money of Persia.

7. *ἐν σφίσι—περιπεσόντες ἐσφάλησαν*] The more usual expression would be *σφίσι περιπεσόντες*, but *ἐν σφίσι* must be taken with *ἐσφάλησαν*.

8. *τοσοῦτον τῷ Περικλεῖ κ. τ. λ.*] "Such a superabundance of means did "Pericles then possess, from which he "of himself foresaw, or judged beforehand, that with the utmost ease he "could triumph over the mere unaided "force of the Peloponnesians." So much more than enough had he to encounter the Peloponnesians, since there was almost enough to contend successfully with the united force of Peloponnesus, Sicily, and Persia. Ἐπερίσσευσε is "superfuit;" as in Livy, II. 42. "Ad bella externa prope supererant "vires." "They had more strength "than they wanted." I cannot understand why these words should ever have been construed of the ability of Pericles, as Portus and others translate them. *αὐτὸς προέγνω* means, "he was "convinced beforehand by his own "mere ability, before experience proved "it to the world."

4 ἐς τὴν γῆν ἐδῄωσαν τὰ πολλά. καὶ ἐπειδὴ οὐ ξυνεχώρουν, ἀπέπλευσαν ἐπ' οἴκου.

LXVII. Καὶ τοῦ αὐτοῦ θέρους τελευτῶντος Ἀριστεὺς Κορίνθιος καὶ Λακεδαιμονίων πρέσβεις, Ἀνήριστος καὶ Νικόλαος καὶ Στρατόδημος, καὶ Τεγεάτης 5 Τιμαγόρας, καὶ Ἀργεῖος ἰδίᾳ Πόλλις, πορευόμενοι ἐς τὴν Ἀσίαν ὡς βασιλέα, εἴ πως πείσειαν αὐτὸν χρήματά τε παρέχειν καὶ ξυμπολεμεῖν, ἀφικνοῦνται ὡς Σιτάλκην πρῶτον τὸν Τήρεω ἐς Θρᾴκην, βουλόμενοι πεῖσαί τε 10 αὐτόν, εἰ δύναιντο, μεταστάντα τῆς Ἀθηναίων ξυμμαχίας στρατεῦσαι ἐπὶ τὴν Ποτίδαιαν, οὗ ἦν στράτευμα τῶν Ἀθηναίων πολιορκοῦν, καὶ ἧπερ ὥρμηντο, δι' ἐκείνου πορευθῆναι πέραν τοῦ Ἑλλησπόντου ὡς Φαρνάκην τὸν Φαρναβάζου, ὃς αὐτοὺς ἔμελλεν ὡς βασιλέα 15 2 ἀναπέμψειν. παρατυχόντες δὲ Ἀθηναίων πρέσβεις Λέαρχος Καλλιμάχου καὶ Ἀμεινιάδης Φιλήμονος παρὰ τῷ Σιτάλκῃ πείθουσι τὸν Σάδοκον τὸν γεγενημένον Ἀθηναῖον, Σιτάλκου υἱόν, τοὺς ἄνδρας ἐγχειρίσαι σφίσιν, ὅπως μὴ διαβάντες ὡς 3 βασιλέα τὴν ἐκείνου πόλιν τὸ μέρος βλάψωσιν. ὁ δὲ πεισθεὶς 20

Aristeus of Corinth (see I. 59. et seqq.) with other ambassadors are sent to solicit the aid of the king of Persia. They are seized in Thrace, and given up to the Athenians by the interest of Sadocus, son of Sitalces. The Athenians put them all to death.

4. ἀνήριτος g. 5. στρατόδημος A.B.f.g.h. probante Valckenario ad Herodot. VII. 137, 3. Haack. Poppo. Goell. Bekk. C.E.F.G. et ceteri Πρατόδημος. 6. ἰδιαίπολις K. ἰδιαίπολις g. ἰδίᾳ πόλλις A.B.C.E.F.G. edd. recent. omnes. ceteri ἰδίᾳ πόλις. 8. τε] om. d. παρασχεῖν C.G.I.L.O.P.Q.e. 9. ὡς] ἐς Q.i. 10. τήρεως Q. τε πεῖσαι d.i. 13. πολιορκοῦν καὶ ἧπερ A.B.C.E.F.N.V.g.h. Haack. Poppo. Goell. Bekk. G. et vulgo πολιορκοῦν καὶ παῦσαι βοηθεῖν τε αὐτοῖς καὶ ἧπερ. 16. πέμπειν K. λέαρχος C. Bekk. λαίαρχος K. κλέαρχος f. 17. ὁ ante καλλ. C. om. A.B.E.F.G.H.K.L.N.O.Q.V.c.g.h. Poppo. Goell. Bekk. ὁ ante φιλ. C. om. A.B.E.F.G.H.K.Q.V.c.e.f.g.h.i. Poppo. Goell. Bekk. σιτάμῃ P. 18. τὸν post Σαδ. om. G.L.O.P.e. 19. ἐγχειρῆσαι E.F. μὴ] om. g. ὡς] ἐς N.V.

4. Ἀνήριστος καὶ Νικόλαος] Compare Herodotus, VII. 137.

19. ὅπως μὴ—τὸ μέρος βλάψωσιν] "That they might not bear their part "in doing injury to his country." Τὸ μέρος means, that although they were only six individuals, yet they might do something to injure Athens, and whatever was the amount of the mischief they might do, he should try to save his adopted country from every degree of evil whether great or small. Compare I. 127, 2. ὡς διὰ τὴν ἐκείνου ξυμφορὰν τὸ μέρος ἔσται ὁ πόλεμος, and I. 74, 4. ξυνεσώσαμεν ὑμᾶς τε τὸ μέρος καὶ ἡμᾶς αὐτούς.

πορευομένους αὐτοὺς διὰ τῆς Θρᾴκης ἐπὶ τὸ πλοῖον ᾧ ἔμελλον τὸν Ἑλλήσποντον περαιώσειν, πρὶν ἐσβαίνειν ξυλλαμβάνει, ἄλλους ξυμπέμψας μετὰ τοῦ Λεάρχου καὶ Ἀμεινιάδου, καὶ ἐκέλευσεν ἐκείνοις παραδοῦναι· οἱ δὲ λαβόντες 5 ἐκόμισαν ἐς τὰς Ἀθήνας. ἀφικομένων δὲ αὐτῶν δείσαντες οἱ 4 Ἀθηναῖοι τὸν Ἀριστέα μὴ αὖθις σφᾶς ἔτι πλείω κακουργῇ διαφυγὼν, ὅτι καὶ πρὸ τούτων τὰ τῆς Ποτιδαίας καὶ τῶν ἐπὶ Θρᾴκης πάντ' ἐφαίνετο πράξας, ἀκρίτους καὶ βουλομένους ἔστιν ἃ εἰπεῖν αὐθημερὸν ἀπέκτειναν πάντας καὶ ἐς φάραγγας 10 ἐσέβαλον, δικαιοῦντες τοῖς αὐτοῖς ἀμύνεσθαι οἷσπερ καὶ οἱ Λακεδαιμόνιοι ὑπῆρξαν, τοὺς ἐμπόρους οὓς ἔλαβον Ἀθηναίων καὶ τῶν ξυμμάχων ἐν ὁλκάσι περὶ Πελοπόννησον πλέοντας ἀποκτείναντες καὶ ἐς φάραγγας ἐσβαλόντες. πάντας γὰρ δὴ 5 κατ' ἀρχὰς τοῦ πολέμου οἱ Λακεδαιμόνιοι, ὅσους λάβοιεν ἐν 15 τῇ θαλάσσῃ, ὡς πολεμίους διέφθειρον, καὶ τοὺς μετὰ Ἀθηναίων ξυμπολεμοῦντας καὶ τοὺς μηδὲ μεθ' ἑτέρων.

WESTERN GREECE. Attack of the Ambraciots on Argos Amphilochicum. Account of the origin and early history of that town; and its alliance with the Acarnanians and Athenians.

LXVIII. Κατὰ δὲ τοὺς αὐτοὺς χρόνους, τοῦ θέρους τελευτῶντος, καὶ Ἀμπρακιῶται αὐτοί τε καὶ τῶν βαρβάρων πολλοὺς ἀναστήσαντες ἐστράτευσαν ἐπ' Ἄργος 20 τὸ Ἀμφιλοχικὸν καὶ τὴν ἄλλην Ἀμφιλοχίαν. ἔχθρα δὲ πρὸς τοὺς Ἀργείους ἀπὸ τοῦδε αὐτοῖς 2 ἤρξατο πρῶτον γενέσθαι. Ἄργος τὸ Ἀμφι- 3 λοχικὸν καὶ Ἀμφιλοχίαν τὴν ἄλλην ἔκτισε μετὰ τὰ Τρωϊκὰ οἴκαδε ἀναχωρήσας καὶ οὐκ 25 ἀρεσκόμενος τῇ ἐν Ἄργει καταστάσει Ἀμφίλοχος ὁ Ἀμφιάρεω ἐν τῷ Ἀμπρακικῷ κόλπῳ, ὁμώνυμον τῇ

1. ᾧ] ὡς e. 3. ἄλλους δὲ C.G.I.K.L.O.d.e.i. πέμψας d.i. 4. καὶ] om. P.e. ἐκέλευεν L.O.P. 6. ἔτι] ἐπὶ K.Q.c.d. πλείω A.E.F.G.H.K.Q.V.c. d.g.h.i. Haack. Poppo. Goell. Bekk. πλέον e. B.C. et ceteri πλέω. 9. φάραγγα C.G.L.O.e. φάραγκας H.c. 10. ἐσέβαλλον K. 13. φάραγγα C.g.e. ἐμβαλόντες L.P.f. βαλόντες C.e. 14. οἱ] om. C.G.e. 17. τοῦ αὐτοῦ θέρους Q. 19. ἐπὶ τὸ ἄργος b. 20. καὶ ἐς τὴν L.O. 23. τὴν ἄλλην ἀμφιλοχίαν G. ἔκτισε μὲν μετὰ C.G.L.O.P.e. 24. μετὰ τρωϊκὰ P. 26. ἀμβρακικῷ B.E. et similiter infra.

14. ὅσους λάβοιεν] See the note on the words ὃν φέροιεν, ch. 52, 5.

4 ἑαυτοῦ πατρίδι Ἄργος ὀνομάσας. καὶ ἦν ἡ πόλις αὕτη μεγίστη τῆς Ἀμφιλοχίας καὶ τοὺς δυνατωτάτους εἶχεν οἰκή-5 τορας. ὑπὸ ξυμφορῶν δὲ πολλαῖς γενεαῖς ὕστερον πιεζόμενοι Ἀμπρακιώτας ὁμόρους ὄντας τῇ Ἀμφιλοχικῇ ξυνοίκους ἐπηγάγοντο, καὶ ἑλληνίσθησαν τὴν νῦν γλῶσσαν τότε 5 πρῶτον ἀπὸ τῶν Ἀμπρακιωτῶν ξυνοικησάντων· οἱ δὲ ἄλλοι 6 Ἀμφίλοχοι βάρβαροί εἰσιν. ἐκβάλλουσιν οὖν τοὺς Ἀργείους 7 οἱ Ἀμπρακιῶται χρόνῳ καὶ αὐτοὶ ἴσχουσι τὴν πόλιν. οἱ δ' Ἀμφίλοχοι γενομένου τούτου διδόασιν ἑαυτοὺς Ἀκαρνᾶσι, καὶ προσπαρακαλέσαντες ἀμφότεροι Ἀθηναίους, οἳ αὐτοῖς 10 Φορμίωνά τε στρατηγὸν ἔπεμψαν καὶ ναῦς τριάκοντα, ἀφικομένου δὲ τοῦ Φορμίωνος αἱροῦσι κατὰ κράτος Ἄργος καὶ τοὺς Ἀμπρακιώτας ἠνδραπόδισαν, κοινῇ τε ᾤκησαν αὐτὸ 8 Ἀμφίλοχοι καὶ Ἀκαρνᾶνες. μετὰ δὲ τοῦτο ἡ ξυμμαχία 9 ἐγένετο πρῶτον Ἀθηναίοις καὶ Ἀκαρνᾶσιν. οἱ δὲ Ἀμπρα- 15 κιῶται τὴν μὲν ἔχθραν ἐς τοὺς Ἀργείους ἀπὸ τοῦ ἀνδραποδισμοῦ σφῶν αὐτῶν πρῶτον ἐποιήσαντο, ὕστερον δὲ ἐν τῷ

1. αὐτοῦ C.G.L.O.e. ἡ] om. K.i. 4. ὁμήρους B.g. 5. ἡλληνίσθησαν Lobeck. ad Phrynich. p. 380. Poppo. γλῶτταν N.V. τότε] om. C.G. L.O.P.e. 6. ξυνοικισάντων O.P. τῶν ξυνοικισάντων L. 7. ἀμφιλόχιοι d. 8. οἱ δὲ ἄλλοι N.V. 9. γεγενημένου L.O. αὐτοὺς e. 10. προσπαρακαλέσαντες A.B.C.E.F.G.H.I.K.L.N.O.P.V.b.c.e.h. Haack. Poppo. Goell. Bekk. προσκαλέσαντες Q.d.g.i. vulgo προσεκαλέσαντο. 13. ᾤκισαν C.O.P.Q.e. 14. καὶ] om. P. 15. πρῶτον ἐγένετο C.G.L.O.P.e. 16. ἀπὸ] om. g. 17. πρῶτον] om. c.

5. ἑλληνίσθησαν τὴν νῦν γλῶσσαν κ. τ. λ.] That is to say, the Hellenian language so generally diffused over Greece after the Trojan war, and particularly after the Dorian conquest of Peloponnesus, was introduced into Amphilochian Argos by the Ambraciots, a Dorian colony from Corinth, and superseded that older language which was spoken by the chiefs of the Trojan expedition and their followers, and which perhaps as being Pelasgian bore a greater resemblance to the Latin. Compare Herodot. I. 57. and Thucyd. I. 3. With regard to the form of the word, Bekker in his edition of 1832 has restored the old reading ἑλληνίσθησαν, and Buttmann also considers Lobeck's correction as probably erroneous. Gr. Gr. vol. I. §. 84. Anm. 6. ed. 2. vol. II. p. 416. Göller's reference to Buttmann's authority may mislead the reader, for it might be supposed from the way in which Göller refers to it that it favoured Lobeck's correction, whereas in fact it condemns. it.

10. καὶ προσπαρακαλέσαντες κ. τ. λ.] I have corrected the stopping after Göller and Poppo, so as to make αἱροῦσι the verb to προσπαρακαλέσαντες ἀμφότεροι, the clause οἳ αὐτοῖς—ἔπεμψαν being the same in sense as if it had been πεμψάντων τε τούτων Φορμίωνα.

πολέμῳ τήνδε τὴν στρατείαν ποιοῦνται αὐτῶν τε καὶ Χαόνων
καὶ ἄλλων τινῶν τῶν πλησιοχώρων βαρβάρων· ἐλθόντες τε
πρὸς τὸ Ἄργος τῆς μὲν χώρας ἐκράτουν, τὴν δὲ πόλιν
ὡς οὐκ ἐδύναντο ἑλεῖν προσβαλόντες, ἀπεχώρησαν ἐπ'
5 οἴκου καὶ διελύθησαν κατὰ ἔθνη. τοσαῦτα μὲν ἐν τῷ θέρει 10
ἐγένετο.

LXIX. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος Ἀθηναῖοι ναῦς
ἔστειλαν εἴκοσι μὲν περὶ Πελοπόννησον καὶ Φορμίωνα
στρατηγόν, ὃς ὁρμώμενος ἐκ Ναυπάκτου φυ-
10 λακὴν εἶχε μήτ' ἐκπλεῖν ἐκ Κορίνθου καὶ τοῦ
Κρισαίου κόλπου μηδένα μήτ' ἐσπλεῖν, ἑτέρας
δὲ ἓξ ἐπὶ Καρίας καὶ Λυκίας καὶ Μελήσανδρον
στρατηγόν, ὅπως ταῦτά τε ἀργυρολογῶσι καὶ
τὸ λῃστικὸν τῶν Πελοποννησίων μὴ ἐῶσιν αὐτόθεν ὁρμώ-
15 μενον βλάπτειν τὸν πλοῦν τῶν ὁλκάδων τῶν ἀπὸ Φασήλιδος
καὶ Φοινίκης καὶ τῆς ἐκεῖθεν ἠπείρου. ἀναβὰς δὲ στρατιᾷ 2
Ἀθηναίων τε τῶν ἀπὸ τῶν νεῶν καὶ τῶν ξυμμάχων ἐς τὴν
Λυκίαν ὁ Μελήσανδρος ἀποθνήσκει καὶ τῆς στρατιᾶς μέρος
τι διέφθειρε νικηθεὶς μάχῃ.

Phormion stationed at Naupactus. Melesander sent with a squadron to protect the Phœnician trade of Athens from the Peloponnesian privateers.

20 LXX. Τοῦ δ' αὐτοῦ χειμῶνος οἱ Ποτιδαιᾶται ἐπειδὴ
οὐκέτι ἐδύναντο πολιορκούμενοι ἀντέχειν, ἀλλ' αἵ τε ἐς τὴν
Ἀττικὴν ἐσβολαὶ Πελοποννησίων οὐδὲν μᾶλ-
λον ἀπανίστασαν τοὺς Ἀθηναίους, ὅ τε σῖτος
ἐπελελοίπει, καὶ ἄλλα τε πολλὰ ἐπεγεγένητο
25 αὐτόθι ἤδη βρώσεως πέρι ἀναγκαίας καί τινες καὶ ἀλλήλων
ἐγέγευντο, οὕτω δὴ λόγους προσφέρουσι περὶ ξυμβάσεως

Potidæa surrenders through famine. The inhabitants are allowed to depart unhurt.

1. στρατίαν V. ἑαυτῶν C.e. καὶ τῶν χαόνων Q. 2. δὲ C.e. 3. πρὸς ἄργος g. 4. προσβάλλοντες c. 11. κρισσαίου L.O. κρησσαίου G. πλεῖν Q. 12. μελίσανδρον F.H.N.V.i. μελλήσανδρον K. 13. ὅπως τε ταῦτα ἀργυρολογήσωσι τὰ χωρία Lex. Seg. p. 159, 31. 14. τὸ λῃστρικὸν i. 15. τῶν ἀπὸ] τὴν ἀπὸ B. 21. ἐσβολαὶ ἐς τὴν ἀττικὴν C.F.G.H.L.O.P.V. 24. ἐπιλελοίπει c.e. τε] τὰ d. om. f. ἐπεγεγένηντο L.O. 25. ἤδη] om. f. καί πού τινες ἀλλήλων Suidas. 26. ἐγέγευντο A.B.C.E.F.H.L.O.P.V.g. Haack. Poppo. Goell. Bekk. ἐγεγεύοντο N.e.h. ἐγεύσαντο Suidas. ἐγεύοντο G. et vulgo.

τοῖς στρατηγοῖς τῶν Ἀθηναίων τοῖς ἐπὶ σφίσι τεταγμένοις, Ξενοφῶντί τε τῷ Εὐριπίδου καὶ Ἑστιοδώρῳ τῷ Ἀριστο-
2 κλείδου καὶ Φανομάχῳ τῷ Καλλιμάχου. οἱ δὲ προσεδέξαντο, ὁρῶντες μὲν τῆς στρατιᾶς τὴν ταλαιπωρίαν ἐν χωρίῳ χειμερινῷ, ἀναλωκυίας τε ἤδη τῆς πόλεως δισχίλια τάλαντα ἐς 5
3 [τὴν] πολιορκίαν. ἐπὶ τοῖσδε οὖν ξυνέβησαν, ἐξελθεῖν αὐτοὺς καὶ παῖδας καὶ γυναῖκας καὶ τοὺς ἐπικούρους ξὺν ἑνὶ ἱματίῳ, γυναῖκας δὲ ξὺν δυοῖν, καὶ ἀργύριόν τι ῥητὸν ἔχοντας
4 ἐφόδιον. καὶ οἱ μὲν ὑπόσπονδοι ἐξῆλθον ἐπὶ τὴν Χαλκιδικὴν καὶ ἕκαστος ᾗ ἐδύνατο· Ἀθηναῖοι δὲ τούς τε στρατηγοὺς 10 ἐπῃτιάσαντο ὅτι ἄνευ αὐτῶν ξυνέβησαν (ἐνόμιζον γὰρ ἂν κρατῆσαι τῆς πόλεως ᾗ ἐβούλοντο), καὶ ὕστερον ἐποίκους
5 ἑαυτῶν ἔπεμψαν ἐς τὴν Ποτίδαιαν καὶ κατῴκισαν. ταῦτα μὲν ἐν τῷ χειμῶνι ἐγένετο· καὶ τὸ δεύτερον ἔτος ἐτελεύτα τῷ πολέμῳ τῷδε ὃν Θουκυδίδης ξυνέγραψεν. 15

LXXI. Τοῦ δ' ἐπιγιγνομένου θέρους οἱ Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι ἐς μὲν τὴν Ἀττικὴν οὐκ ἐσέβαλον, ἐστράτευσαν δ' ἐπὶ Πλάταιαν· ἡγεῖτο δὲ Ἀρχίδαμος
2 ὁ Ζευξιδάμου Λακεδαιμονίων βασιλεύς. καὶ καθίσας τὸν στρατὸν ἔμελλε δῃώσειν τὴν γῆν· 20 οἱ δὲ Πλαταιῆς εὐθὺς πρέσβεις πέμψαντες
3 πρὸς αὐτὸν ἔλεγον τοιάδε. "Ἀρχίδαμε καὶ " Λακεδαιμόνιοι, οὐ δίκαια ποιεῖτε οὐδ' ἄξια " οὔτε ὑμῶν οὔτε πατέρων ὧν ἐστὲ, ἐς γῆν τὴν Πλαταιῶν
4 " στρατεύοντες. Πανσανίας γὰρ ὁ Κλεομβρότου Λακεδαι- 25 " μόνιος ἐλευθερώσας τὴν Ἑλλάδα ἀπὸ τῶν Μήδων μετὰ

A. C. 429. Olymp. 87. 3, 4. The Peloponnesians instead of invading Attica march against Platæa. The Platæans send to remonstrate with them on the injustice of this attack.

5. δὲ C.G.e. χίλια L.O. ἐς πολιορκίαν A.L. εἰς πολιορκίαν B.F.K.V. c.f.g.h.i. ἐς vel εἰς πολιορκίαν E. ἐς τὴν πολ. C.G. Omiserunt articulum Bekk. in ed. min. 1832, et Poppo. 6. τοῖσδε] τοῖς c. γοῦν g. ἐλθεῖν e. 7. καὶ γυναῖκας καὶ παῖδας L.O. 8. τε C.e. ξυνδεῖν f. τι] om. L.O. 9. ἐπὶ τὴν A.B.E.F.H.K.L.N.V.c.f.g.h. Haack. Poppo. Goell. Bekk. C.G. et vulgo ἔς τε τήν. 10. ᾗ ἕκαστος C.G.Q.e. ἐδύναντο L.O.P. 11. αὑτῶν Bekk. 13. ἔπεμψαν ἑαυτῶν C.G.L.O.P.e. κατῴκησαν Q. 15. συνέγραψεν g. om. f. 16. ἐπιγενομένου G. θέρους] ἔτους K.N.c.f. 17. τὴν] om. P. 19. βασιλεὺς λακεδαιμονίων B.g.h. 22. παρ' αὐτῶν C. παρ' αὐτὸν e. 23. οὐδ'] οὔτε Dionys. p. 901. οὔτε οὐδ' ἄξια V. 25. γὰρ] δὲ L.

" Ἑλλήνων τῶν ἐθελησάντων ξυνάρασθαι τὸν κίνδυνον τῆς
" μάχης ἣ παρ' ἡμῖν ἐγένετο, θύσας ἐν τῇ Πλαταιῶν ἀγορᾷ
" Διὶ ἐλευθερίῳ ἱερὰ καὶ ξυγκαλέσας πάντας τοὺς ξυμ-
" μάχους ἀπεδίδου Πλαταιεῦσι γῆν καὶ πόλιν τὴν σφετέραν
5 " ἔχοντας αὐτονόμους οἰκεῖν, στρατεῦσαί τε μηδένα ποτὲ
" ἀδίκως ἐπ' αὐτοὺς μηδ' ἐπὶ δουλείᾳ, εἰ δὲ μή, ἀμύνειν τοὺς
" παρόντας ξυμμάχους κατὰ δύναμιν. τάδε μὲν ἡμῖν πατέρες 5
" οἱ ὑμέτεροι ἔδοσαν ἀρετῆς ἕνεκα καὶ προθυμίας τῆς ἐν
" ἐκείνοις τοῖς κινδύνοις γενομένης, ὑμεῖς δὲ τἀναντία δρᾶτε·
10 " μετὰ γὰρ Θηβαίων τῶν ἡμῖν ἐχθίστων ἐπὶ δουλείᾳ τῇ

2. τῇ] om. L. 3. ἱερὰ διῒ ἐλευθερίῳ C.G.O.P.e. ξυγκαλέσας] ξυμμάχους B. ξυγκ. π. τ. ξ. om. h. 5. ποτὲ] om. K.c.f. ἀδίκως ποτὲ μηδένα V. 7. ὑμῖν—ἡμέτεροι F. 8. τῆς] τοῖς F.V. 9. τἀναντία ἐκείνοις δρᾶτε Dionysius.

Ἄργους, πρῶτον ἐκτήσαντο καὶ ἐβασίλευσαν, ἀναστήσαντες μάχῃ ἐκ μὲν Πιερίας Πίερας, οἳ ὕστερον ὑπὸ τὸ Πάγγαιον πέραν Στρυμόνος ᾤκησαν Φάγρητα καὶ ἄλλα χωρία (καὶ ἔτι καὶ νῦν Πιερικὸς κόλπος καλεῖται ἡ ὑπὸ τῷ Παγγαίῳ πρὸς θάλασσαν γῆ), ἐκ δὲ τῆς Βοττίας καλουμένης Βοττιαίους, οἳ 5 νῦν ὅμοροι Χαλκιδέων οἰκοῦσι· τῆς δὲ Παιονίας παρὰ τὸν Ἀξιὸν ποταμὸν στενήν τινα καθήκουσαν ἄνωθεν μέχρι Πέλλης καὶ θαλάσσης ἐκτήσαντο, καὶ πέραν Ἀξιοῦ μέχρι Στρυμόνος τὴν Μυγδονίαν καλουμένην Ἠδῶνας ἐξελάσαντες 4 νέμονται. ἀνέστησαν δὲ καὶ ἐκ τῆς νῦν Ἐορδίας καλουμένης 10 Ἐορδοὺς, ὧν οἱ μὲν πολλοὶ ἐφθάρησαν, βραχὺ δέ τι αὐτῶν περὶ Φύσκαν κατῴκηται, καὶ ἐξ Ἀλμωπίας Ἀλμῶπας. 5 ἐκράτησαν δὲ καὶ τῶν ἄλλων ἐθνῶν οἱ Μακεδόνες οὗτοι, ἃ καὶ νῦν ἔτι ἔχουσι, τόν τε Ἀνθεμοῦντα καὶ Γρηστωνίαν 6 καὶ Βισαλτίαν καὶ Μακεδόνων αὐτῶν πολλήν. τὸ δὲ ξύμπαν 15 Μακεδονία καλεῖται, καὶ Περδίκκας Ἀλεξάνδρου βασιλεὺς αὐτῶν ἦν ὅτε Σιτάλκης ἐπῄει.

1. πρῶτον A.B.E.F.G.H.V.g.h. Poppo. Goell. Bekk. C. et vulgo πρῶτοι. 2. περιερίας h. πιέρους e. πάγκαιον πέρα c. 3. φράγητα C.K.N.c. φάγητα f. καὶ post ἔτι om. G.L.O.P.e. 5. βοττι ας F. deletis litteris duabus. 7. ἀξιὸν K.L.O.P. Goell. Bekk. vulgo ἄξιον. 8. ἀξιοῦ I.L.O.P. Goell. Bekk. vulgo ἀξίου. 10. καλουμένης] om. L.O.P. ante ἐορδίας ponit c. 11. ἐορδοὺς K.L.O. cum Herodiano apud Stephanum Byz. et Herodot. VII. 185, 3. Poppo. Goell. vulgo, et Bekk. in ed. minor. ἑόρδους. ἐφθάρησαν A.B.C.E.F.G.H.I.K.L.N. O.P.Q.V.d.e.f.g. Haack. Poppo. Goell. Bekk. vulgo διεφθάρησαν. τι] και G. 12. φύσαν L.O.P. φυσκίαν H.d.i. σφύκαν E. ἀλμῶπας H. ἀλμωπὰς K. 13. καὶ post δὲ om. g. 14. γρηστωνίαν. A.B.C.E.F.G.V.b.c. et Dukeriani, nisi fallor, omnes, præter K. qui γερηστωνίαν. vulgo κρηστωνίαν. γρηστωνίαν Poppo. Goell. Bekk. 15. βισαντίαν A.B.F.V.h.

reditum Heraclidarum Argos obtinuit. Vide etiam Herod. IX. 44, 2. 45, 2. et V. 22. Huds.

14. Γρηστωνίαν] Ita MSS. hic et alibi. Gr. cum ο male. Stephanus, Theopompus apud Athenæum, Herodotus, Aristoteles de Mirabil. Ausc. p. 112. Lycophron bis, receptam lectionem tuentur. Stephanus mendose uno in loco Γαστρωνίαν. Theopompus apud Athen. III. p. 77. Γραιστωνία. Herodot. VII. 124, 3. Κρηστωνικὴ ex Ionismo, κ pro γ. Ibi MS. Flor. Κρηστωνέης, pro Κρηστωναίης, Tzetzes, Κρηστώνη, ἀπὸ τῆς Ἄρεος καὶ Κυρήνης θυγατρός. Sic Κρηστώνης ἔχις apud Lycophron. v. 499. ubi MS. Seld. Κρηστόνης, et τὸν Κρηστώνης θεὸν, v. 937. Pro Κραστωνίᾳ apud Aristotel. legendum Κρηστωνίᾳ, auctore Sylburgio. Wass. Confer quæ ad Stephanum in Γαστρωνία, Γρηστωνία, et Κρήστων adnotant Interpretes. Duker.

MACEDONIA. A. C. 429. Olymp. 87. 4.

C. Καὶ οἱ μὲν Μακεδόνες οὗτοι ἐπιόντος πολλοῦ στρατοῦ ἀδύνατοι ὄντες ἀμύνεσθαι ἔς τε τὰ καρτερὰ καὶ τὰ τείχη, ὅσα ἦν ἐν τῇ χώρᾳ, ἐσεκομίσθησαν. ἦν δὲ οὐ 2 πολλά, ἀλλὰ ὕστερον Ἀρχέλαος ὁ Περδίκκου 5 υἱὸς βασιλεὺς γενόμενος τὰ νῦν ὄντα ἐν τῇ χώρᾳ ᾠκοδόμησε καὶ ὁδοὺς εὐθείας ἔτεμε καὶ τἄλλα διεκόσμησε τά τε κατὰ τὸν πόλεμον ἵπποις καὶ ὅπλοις καὶ τῇ ἄλλῃ παρασκευῇ κρείσσονι ἢ ξύμπαντες οἱ ἄλλοι βασιλῆς ὀκτὼ οἱ πρὸ αὐτοῦ γενόμενοι. ὁ δὲ στρατὸς τῶν Θρᾳκῶν ἐκ 3 10 τῆς Δοβήρου ἐσέβαλε πρῶτον μὲν ἐς τὴν Φιλίππου πρότερον οὖσαν ἀρχήν, καὶ εἷλεν Εἰδομένην μὲν κατὰ κράτος, Γορτυ-

He takes some towns, and overruns the open country as far as the Axius.

1. καὶ] om. b. 2. ἀμυνασθαι N.Q.V. et marg. G. καρτερικὰ c. 6. ἔτεμνε K. 7. τὸν] om. L.O.P. 8. κρεῖσσον N.Q.V. οἱ ante ἄλλοι om. A.B.E.F.H. Q.V.g.h. 11. εἷλον L.O.P. ειλομενην Q. ὀδομένην c. et rec. V.

6. ὁδοὺς ἔτεμε] Ita loquitur Herodot. IV. 136, 3. Wass.

καὶ τἄλλα διεκόσμησε κ. τ. λ.] Διεκόσμησε scil. τὴν χώραν, as in II. 15, 3. τά τε ἄλλα διεκόσμησε τὴν χώραν, καὶ—ξυνῴκισε πάντας. Compare also VI. 41, 3. τὸ κοινὸν κοσμηθῆναι καὶ ἵπποις καὶ ὅπλοις. The conjunction τε in τά τε κατὰ τὸν πόλεμον is enclosed by Haack and Poppo in brackets, as confusing the sentence. But it appears to be a mere copula; "and furnished the coun-"try in other matters, and in what re-"lates to war (he furnished it) with "horses," &c. That τε is often used in this manner Poppo not only acknowledges, but complains of Benedict for altering a passage because he was not aware of this very thing. See Observatt. in Thucyd. p. 14.

7. ἵπποις καὶ ὅπλ.] Ex hoc loco rationem reddi posse existimat Begerus, cur Archelai numismata Equum in aversa exhibent. Huds.

8. ξύμπαντες οἱ ἄλλοι βασιλῆς] Non Græcum esse puto ξύμπαντες οἱ βασιλῆς ὀκτὼ, debuit enim esse οἱ ὀκτὼ βασιλῆς, non οἱ βασιλῆς ὀκτὼ, et articulum omittit MSS. pars. Sed alia sunt delenda: scripsisse suspicor Thucydidem, ἢ ξύμπαντες οἱ πρὸ αὐτοῦ γενόμενοι. Dobree. But is it necessary to take ὀκτὼ with the words immediately preceding it? Is it not rather, "than all the other "kings together, who were, that is, his "predecessors, eight in number?" If any thing is to be struck out, I would rather omit the article before πρὸ αὐτοῦ, "than all the other kings, of whom "there were eight before him." But it is possible that the words οἱ πρὸ αὐτοῦ are merely put in to explain more clearly whom the writer meant by ξύμπαντες οἱ ἄλλοι βασιλῆς.

βασιλεῖς ὀκτὼ, etc.] Ab Herodoto (VIII. 139.) septem priores Macedoniæ reges recensentur. I. Perdiccas, conditor regni. II. Aræus (alias Argeus.) III. Philippus. IV. Aeropus. V. Alcetas. VI. Amyntas. VII. Alexander. Huic successit Perdiccas pater Archelai. Huds.

11. Εἰδομένην—Γορτυνίαν—Ἀταλάντην] All these places are rightly laid down by Dr. Cramer in the upper part of the valley of the Axius, by which Sitalkes was now descending. See his map, and his Descript. of Greece, vol. I. p. 230. It appears probable that Ἀταλάντην is an error for Ἀλλάντην, as a place of that last name is mentioned by Pliny and Steph. Byzantinus. By "the coun-"try to the left of Pella," must be understood of course that to the *eastward* of it, as Sitalkes was marching southwards.

νίαν δὲ καὶ Ἀταλάντην καὶ ἄλλα ἄττα χωρία ὁμολογίᾳ διὰ τὴν Ἀμύντου φιλίαν προσχωροῦντα τοῦ Φιλίππου υἱέος παρόντος· Εὔρωπον δὲ ἐπολιόρκησαν μέν, ἑλεῖν δὲ οὐκ 4 ἐδύναντο. ἔπειτα δὲ καὶ ἐς τὴν ἄλλην Μακεδονίαν προὐχώρει 5 τὴν ἐν ἀριστερᾷ Πέλλης καὶ Κύρρου. ἔσω δὲ τούτων ἐς τὴν 5 Βοττιαίαν καὶ Πιερίαν οὐκ ἀφίκοντο, ἀλλὰ τήν τε Μυγδονίαν 6 καὶ Γρηστωνίαν καὶ Ἀνθεμοῦντα ἐδῄουν. οἱ δὲ Μακεδόνες πεζῷ μὲν οὐδὲ διενοοῦντο ἀμύνεσθαι, ἵππους δὲ προσμεταπεμψάμενοι ἀπὸ τῶν ἄνω ξυμμάχων, ὅπῃ δοκοῖ, ὀλίγοι πρὸς 7 πολλοὺς ἐσέβαλλον ἐς τὸ στράτευμα τῶν Θρᾳκῶν. καὶ ᾗ 10 μὲν προσπέσοιεν, οὐδεὶς ὑπέμενεν ἄνδρας ἱππέας τε ἀγαθοὺς καὶ τεθωρακισμένους, ὑπὸ δὲ πλήθους περικλῃόμενοι αὑτοὺς πολλαπλασίῳ τῷ ὁμίλῳ ἐς κίνδυνον καθίστασαν· ὥστε τέλος ἡσυχίαν ἦγον, οὐ νομίζοντες ἱκανοὶ εἶναι πρὸς τὸ πλέον κινδυνεύειν. CI. ὁ δὲ Σιτάλκης πρός τε τὸν Περδίκκαν 15 λόγους ἐποιεῖτο ὧν ἕνεκα ἐστράτευσε, καὶ ἐπειδὴ οἱ Ἀθηναῖοι οὐ παρῆσαν ταῖς ναυσίν, ἀπιστοῦντες αὐτὸν μὴ ἥξειν, δῶρα δὲ καὶ

He is disappointed of the promised cooperation of an Athenian fleet; and is persuaded

1. τἄλλα K. ἀλλ' ἄττα V. 2. τὴν τοῦ ἀμύντου b. υἱέος] om. d. 4. ἐδύναντο A.B.C.E.F.G.H.Q.V.g. Poppo. Goell. Bekk. ἐδύνατο h. vulgo ἠδύναντο. προεχώρει L. προυχ. Bekk. 5. πελης V. κύρου g.h. κύβου e. δὲ τούτων ἐς] τοὔδε F. 6. τε] om. L.O.P. 7. γρηστωνίαν A.B.C.V.b.c.e.h. et qui supra. στρηγωνίαν d.i. 8. οὐ C.G.L.O.P.e. ἵπποις H. προσμεταπ. οἱ ἀπὸ e. 9. ἄνω] om. K. ὅποι H.Q.c. δοκεῖ L.O.P.d.e.i. 10. ἐσέβαλον A.E.F.H.V.b.g. 11. ὑπέμεινεν P.Q.V. 12. περικλῃιόμενοι A.B.C. περικλῃόμενοι h. Poppo. Goell. Bekk. vulgo περικλειόμενοι. 18. δῶρα δὲ Poppo. Haack. Vulgo et Bekk. δῶρά τε.

1. ἄττα] De particula post Grammaticos veteres egerunt Budæus in Commentar. Ling. Gr. p. 967. Steph. Append. ad Script. de Dial. p. 82. Maussac. ad Harpocrat. et Vales. ad Notas Maussaci. Duker. Add Hermann on Viger, note 37.

18. ἀπιστοῦντες αὐτὸν μὴ ἥξειν] Sic I. 10, 1. ubi Schol. adnotat, μὴ post ἀπιστεῖν Ἀττικῶς abundare. Lucian. Rhetor. præcept. p. 321. ei duas negationes adponit: οὐχ ἕξουσιν ὅπως ἀπιστήσουσι μὴ οὐχὶ πάνδεινόν τινα ἐν τοῖς λόγοις ἀγωνιστὴν εἶναί σε. Eumdem pleonasmum post ἀπαγορεύω, κωλύω, ἀρνοῦμαι, et εἴργω observat Stephanus ad Corinth. artic. VIII. et XLIII. Simile est supr. II. 49, 6. ἡ ἀπορία τοῦ μὴ ἡσυχάζειν. Add. infr. ad III. 1, 2. Duker.

δῶρα δὲ καὶ πρέσβεις ἔπεμψαν αὐτῷ] So Haack and Poppo read, instead of δῶρά τε, which cannot be sense unless we insert ἀλλὰ before it, a more violent alteration than Poppo's. Stephen proposed to read ἔπεμψεν, but this surely cannot be right, without adding ὁ δὲ before δῶρά τε καὶ πρέσβεις ἔπεμψεν, because ἔπεμψεν could only refer to

MACEDONIA. A.C. 429. Olymp. 87. 4.

by his nephew Seuthes to accept the overtures of Perdiccas, and to return home with his army.

πρέσβεις ἔπεμψαν αὐτῷ, ἔς τε τοὺς Χαλκιδέας καὶ Βοττιαίους μέρος τι τοῦ στρατοῦ πέμπει, καὶ τειχήρεις ποιήσας ἐδῄου τὴν γῆν. 2 καθημένου δ' αὐτοῦ περὶ τοὺς χώρους τούτους οἱ πρὸς νότον 5 οἰκοῦντες Θεσσαλοὶ καὶ Μάγνητες καὶ οἱ ἄλλοι ὑπήκοοι Θεσσαλῶν καὶ οἱ μέχρι Θερμοπυλῶν Ἕλληνες ἐφοβήθησαν μὴ καὶ ἐπὶ σφᾶς ὁ στρατὸς χωρήσῃ, καὶ ἐν παρασκευῇ ἦσαν. 3 ἐφοβήθησαν δὲ καὶ οἱ πέραν Στρυμόνος πρὸς βορέαν Θρᾷκες, ὅσοι πεδία εἶχον, Παναῖοι καὶ Ὀδόμαντοι καὶ Δρῶοι καὶ 10 Δερσαῖοι· αὐτόνομοι δ' εἰσὶ πάντες. 4 παρέσχε δὲ λόγον καὶ ἐπὶ τοὺς τῶν Ἀθηναίων πολεμίους Ἕλληνας, μὴ ὑπ' αὐτῶν ἀγόμενοι κατὰ τὸ ξυμμαχικὸν καὶ ἐπὶ σφᾶς χωρήσωσιν. 5 ὁ δὲ τήν τε Χαλκιδικὴν καὶ Βοττικὴν καὶ Μακεδονίαν ἅμα ἐπέχων ἔφθειρε· καὶ ἐπειδὴ αὐτῷ οὐδὲν ἐπράσσετο ὧν ἕνεκα

7. καὶ post μὴ om. g. ὁ στρατὸς] om. L. χωρήσει V. 8. βορρέαν G.P. 9. καὶ ὅσοι Q. πάναιοι K. ὀδόμαντοι E. ὀδάμαντοι g. ὀδόματοι i. δρῶιοι F. 10. σερσαῖοι K. παρέχει h. 11. τῶν τοὺς F. deletis post ἐπὶ duabus vel tribus. τῶν] om. L.O. πολεμίους καὶ ἕλληνας c.f. 12. χωρήσουσιν K. 13. τε] μὲν O. om. d. 14. ἐπράττετο c.f.

Perdiccas. But Poppo's alteration is the simplest, and makes the whole passage intelligible.

5. Μάγνητες] Magnesia post Strabonis tempora Thessaliæ adjecta est. vid Plin. IV. 9. Ptolemæus aliis adscribit. Μαγνητικὴ Æschylus, Pers. 492. Μαγνησίαν Dioscorides memorat pag. 193. At civitatem intelligit ad Mæandrum sitam, de qua Tournefort. II. 370. Wass.

9. Ὀδόμαντοι] Vide Aristoph. Acharnenses, ejusque Scholiasten, p. 378. apud quem Ὀδόμαντες appellantur.—Huds. Ὀδόμαντοι MSS. hic et p. 294. uti et Steph. v. Herodot. V. 16, 1. Liv. XLV. 4. Confer Dissertat. Morini de Odomantis, et Suidam v. ἀποτεθρίακεν, et quem ibi citat Aristoph. Wass.

καὶ Δρῶοι] The name of this people is considered by Gatterer (Commentatt. de Thracia apud Poppon. Prolegom. vol. II. p. 380.) to be a mere corruption of Δεραῖοι, the name given by Steph. Byzant. to the tribe which Herodotus calls Δερσαῖοι, VII. 110, 1. He supposes that the words καὶ Δερσαῖοι were added by some one who wished to correct from Herodotus the orthography of the tribe's name. And Poppo and Göller have enclosed the words καὶ Δρῶοι in brackets, on the authority of Gatterer, and yet retain the reading καὶ Δερσαῖοι; whereas Gatterer wishes to leave out these last words, and to alter Δρῶοι into Δεραῖοι. But it seems to me altogether idle to indulge in conjectures about a matter of which we know so little. Gatterer may be right; but our ignorance of any tribe called Droï is certainly no sufficient reason for suspecting the genuineness of the word; for in the very next chapter mention is made of a place in the heart of Greece, Coronta, near Stratus, of which we know nothing more than what Thucydides there says of it.

14. ἐπέχων] ἐπικείμενος Schol. Compare Herodot. VIII. 35, 1. ὅσα—ἐπέσχον τῆς Φωκίδος, πάντα ἐσιναμώρεον. and

ἐσέβαλε, καὶ ἡ στρατιὰ σῖτόν τε οὐκ εἶχεν αὐτῷ καὶ ὑπὸ χειμῶνος ἐταλαιπώρει, ἀναπείθεται ὑπὸ Σεύθου τοῦ Σπαρδάκου, ἀδελφιδοῦ ὄντος καὶ μέγιστον μεθ' αὐτὸν δυναμένου, 6 ὥστ' ἐν τάχει ἀπελθεῖν. τὸν δὲ Σεύθην κρύφα Περδίκκας ὑποσχόμενος ἀδελφὴν ἑαυτοῦ δώσειν καὶ χρήματα ἐπ' αὐτῇ 5 7 προσποιεῖται. καὶ ὁ μὲν πεισθεὶς, καὶ μείνας τριάκοντα τὰς πάσας ἡμέρας, τούτων δὲ ὀκτὼ ἐν Χαλκιδεῦσιν, ἀνεχώρησε τῷ στρατῷ κατὰ τάχος ἐπ' οἴκου· Περδίκκας δὲ ὕστερον Στρατονίκην τὴν ἑαυτοῦ ἀδελφὴν δίδωσι Σεύθῃ, ὥσπερ 8 ὑπέσχετο. τὰ μὲν οὖν κατὰ τὴν Σιτάλκου στρατείαν οὕτως 10 ἐγένετο.

WESTERN GREECE.

Operations of Phormion. He is hindered by the season

CII. Οἱ δὲ ἐν Ναυπάκτῳ Ἀθηναῖοι τοῦδε τοῦ χειμῶνος, ἐπειδὴ τὸ τῶν Πελοποννησίων ναυτικὸν διελύθη, Φορμίωνος ἡγουμένου ἐστράτευσαν, παραπλεύσαντες ἐπ' Ἀστακοῦ καὶ ἀποβάντες, ἐς τὴν μεσόγειαν τῆς 15 Ἀκαρνανίας τετρακοσίοις μὲν ὁπλίταις Ἀθη-

2. σπαρδάκου A.B.E.F.H.V.h. Poppo. Goell. Bekk. σπαρδόκου C.G.I.N.P.f.g. σπαρδοκοῦ K. vulgo σπαραδόκου. 3. μεθ' αὐτὸν A.B.E.G.K.N. Poppo. Goell. Bekk. μεθ' ἑαυτὸν C.F.H.L.O.P.V.g. μεθ' ἑαυτοῦ e. μεθ' ἑαυτῶν I. vulgo μετ' αὐτόν. 6. τὰς πάσας ἡμέρας τριάκοντα g. 8. ἐπ' οἴκου] om. L.O.P. 9. αὐτοῦ e. θεύσῃ c. 10. τὸ P. οὖν A. om. B.C.E.F.G.K. c.d.e.g.h.i. Poppo. Bekk. ed. 1832. τὴν] om. i. στρατίαν V. 12. τοῦδε τοῦ A.B.E.F.H.N.V.g.h.i. Poppo. Goell. Bekk. C.G. et vulgo τοῦ αὐτοῦ. 15. μεσόγαιαν c.f. 16. ὁπλίτας τῶν ἀθηναίων K.

still more the expression which occurs several times in IX. 31, 2, 4. Πέρσαι ἐπεῖχον τοὺς Τεγεήτας. Μῆδοι ἐπέσχον Κορινθίους, κ. τ. λ. that is to say, "Corinthiis imminebant;" were drawn up opposite to them, so as to have them within their reach when the attack began. And so Sitalkes is said to have commanded at once the three countries of Chalcidice, Bottica, and Macedonia, and to have carried his ravages into them all. The notion of "stopping" has nothing to do, I think, with the word ἐπέχων in this place.

1. ἡ στρατιὰ σῖτόν τε οὐκ εἶχεν αὐτῷ] For this dative case, compare the note on I. 6, 3. διὰ τὸ ἁβροδίαιτον. It may perhaps be expressed, "When he found "that the army had no provisions;" for it belongs rather to the whole sentence than to any particular word in it. Compare Livy II. 29. "Pulset tum "*mihi* lictorem," &c. "I should like "then to see any one strike a lictor."

6. τριάκοντα τὰς πάσας ἡμέρας] "Thirty "days in all." Compare I. 100, 1. and the note there.

14. ἐστράτευσαν—ἐς τὴν μεσόγειαν τῆς Ἀκαρνανίας] Such appears to me to be the true stopping and construction of this passage, taking the words παραπλεύσαντες ἐπ' Ἀστακοῦ καὶ ἀποβάντες," "having sailed along the shore to As- "tacus, and having disembarked," as a

WESTERN GREECE. A. C. 429. Olymp. 87. 4.

of the year from attacking Œniadæ. Situation of that town, and description of the alluvion deposited by the river Achelous, out of which the Echinades islands had gradually been formed.

ναίων τῶν ἀπὸ τῶν νεῶν, τετρακοσίοις δὲ Μεσσηνίων. καὶ ἔκ τε Στράτου καὶ Κορόντων 2 καὶ ἄλλων χωρίων ἄνδρας οὐ δοκοῦντας βεβαίους εἶναι ἐξήλασαν, καὶ Κύνητα τὸν Θεολύτου ἐς Κόροντα καταγαγόντες ἀνεχώρησαν 5 πάλιν ἐπὶ τὰς ναῦς. ἐς γὰρ Οἰνιάδας ἀεί ποτε 3 πολεμίους ὄντας μόνους Ἀκαρνάνων οὐκ ἐδόκει δυνατὸν εἶναι χειμῶνος ὄντος στρατεύειν· ὁ γὰρ Ἀχελῷος ποταμὸς ῥέων

2. καὶ ante ἐκ A.B.C.E.F. om. G.H.L.O.P.V. Bekk. κοράντων g. 4. εἶναι] om. Q. Vocis Θεολύτου τ corr. F. 5. κόραντα g. 8. ὄντος] om. K.

sort of parenthesis. For although ἀποβάντες ἐς τὴν μεσόγειαν may be a condensed expression for ἀποβάντες καὶ ἀναβάντες ἐς τὴν μεσόγειαν, yet the καὶ in the words καὶ ἔκ τε Στράτου is wholly unnecessary if καὶ ἀποβάντες be the beginning of the sentence; and Bekker accordingly has omitted it, but I think on insufficient authority. Besides, the object of the expedition was not Astacus, which is merely mentioned as the place where the troops landed, but the interior of Acarnania; and therefore ἐστράτευσαν ἐς τὴν μεσόγειαν is more correct than ἐστράτευσαν ἐπ' Ἀστακοῦ. For the sort of parenthesis formed by the participles παραπλεύσαντες καὶ ἀποβάντες, compare I. 61, 2. note, καὶ πειράσαντες πρῶτον τοῦ χωρίου καὶ οὐχ ἑλόντες.

5. Κόροντα] Et Steph. sic legit: de oppido altum apud veteres silentium. Wass.

8. ὁ γὰρ Ἀχελῷος ποταμὸς κ. τ. λ.] I have followed Bekker and Göller in admitting Poppo's conjecture δ' ἐξιεὶς instead of διεξιεὶς, as otherwise there is nothing to answer to the μὲν after ἄνωθεν. Thucydides says that the Achelous passes by Stratus in the upper part of its course, and by Œniadæ near its mouth. Ἄνωθεν is not "from above," but simply "above," or "high up the river." Compare III. 68, 4. οἰκήματα ἔχον κάτωθεν καὶ ἄνωθεν, and what is still more apposite, IV. 108, 1. ἄνωθεν μὲν οὔσης λίμνης, τὰ δὲ πρὸς Ἠιόνα τριήρεσι τηρουμένων. Compare also the note on τὸ ἐκ τοῦ ἰσθμοῦ τεῖχος, I. 64, 1. As to the situation of Œniadæ, it is still a matter of uncertainty; and not unnaturally, since the country about the mouths of great rivers is so changed in the course of years from the rivers altering their channels, and from the gradual increase of the alluvial soil formed by their depositions, that its ancient character can no longer be recognised in aftertimes. But I believe Dr. Cramer is right in placing Œniadæ on the east of the ancient bed of the Achelous, and not at Trigardon, where Pouqueville, Kruse, and Mr. Dodwell fix it. It is true that Trigardon, as laid down by Arrowsmith in the Eton Atlas, as I think, on the authority of Captain Smyth's survey of this coast, is on the east of the present bed of the river; but it seems probable that the ancient river ran into what is now the lake of Anatolico or Messalongia; and I am inclined to agree with Sir W. Gell in placing Œniadæ at Kuria Irene, about four miles to the north of Messalongia, on a rocky hill, where the ruins of an ancient city are still visible. The strongest objection to this opinion is the smallness of the existing remains, which, according to Mr. Dodwell, are not more than two miles in circuit. But is it not possible that what was in fact only the hill of the citadel may have been mistaken for the whole of the town? a mistake which Sir W. Gell assured me has happened in many instances, and particularly in describing

ἐκ Πίνδου ὄρους διὰ Δολοπίας καὶ Ἀγραίων καὶ Ἀμφιλόχων καὶ διὰ τοῦ Ἀκαρνανικοῦ πεδίου, ἄνωθεν μὲν παρὰ Στράτον πόλιν, ἐς θάλασσαν †δ' ἐξιεὶς† παρ' Οἰνιάδας καὶ τὴν πόλιν αὐτοῖς περιλιμνάζων, ἄπορον ποιεῖ ὑπὸ τοῦ ὕδατος ἐν χειμῶνι 4 στρατεύειν. κεῖνται δὲ καὶ τῶν νήσων τῶν Ἐχινάδων αἱ 5 πολλαὶ καταντικρὺ Οἰνιαδῶν, τοῦ Ἀχελῴου τῶν ἐκβολῶν οὐδὲν ἀπέχουσαι, ὥστε μέγας ὢν ὁ ποταμὸς προσχοῖ ἀεὶ καὶ εἰσὶ τῶν νήσων αἳ ἠπείρωνται, ἐλπὶς δὲ καὶ πάσας οὐκ ἐν 5 πολλῷ τινὶ ἂν χρόνῳ τοῦτο παθεῖν. τό τε γὰρ ῥεῦμά ἐστι μέγα καὶ πολὺ καὶ θολερὸν, αἵ τε νῆσοι πυκναὶ, καὶ ἀλλήλαις 10 τῆς προσχώσεως †τῷ† μὴ σκεδάννυσθαι σύνδεσμοι γίγνονται, παραλλὰξ καὶ οὐ κατὰ στοῖχον κείμεναι, οὐδ' ἔχουσαι 6 εὐθείας διόδους τοῦ ὕδατος ἐς τὸ πέλαγος. ἔρημοι δ' εἰσὶ καὶ

1. ἀγράων E. ἀγραίων Poppo. Goell. vulgo et Bekk. ἀγραῶν. Sed. vid. Popp. Prolegom. II. p. 148. 2. ἀκαρνικοῦ C.K. cum Demetrio Phal. μὲν] om. Demetrius. περὶ L.O.P. 3. δ' ἐξιεὶς] διεξιεὶς libri omnes. correxit Poppo. δ' ἐξιεὶς Goell. Bekk. 4. αὐτοῖς] αὐτοῖς τε g. αὐτοῖς τοι A.h. αὐτοῖς τοῖς E. Post αὐτοῖς deletas duas vel tres F. 5. alterum τῶν om. e. 6. καὶ ἀντικρὺ K. 7. προσχεῖ K.d.e.f.g.h.i. 8. δὲ] om. P. 9. τινὶ ἂν] om. K. 10. μέγα] om. g. καὶ πολὺ θολερὸν L. 11. τὸ E.K.i. 12. παραλὰξ F. στοιχεῖον e. κείμενον P. 13. διόδους om. E. ἐρῆμοι Bekk.

the remains of Veii. Or have we any good reasons for supposing that Œniadæ, allowing for the narrowness of the ancient streets, must have been more than two miles in circuit? As to the Echinades, a great number of them have been, according to the expectation of Thucydides, united to the mainland, and now appear only as hills rising in the plain. In fact, according to Arrowsmith's map, they have all become part of the mainland, except a few which form a sort of reef at the mouth of the lake of Messalongia. The islands still, as in ancient times, called Oxiæ, were not part of the cluster of the Echinades, but lay further to the west; still less ought the name of Echinades to be given to the islands which lie to the north of Oxiæ, and which are many miles distant from the ancient course of the Achelous.

11. †τῷ† μὴ σκεδάννυσθαι] This, I think, must be wrong. Poppo prefers τοῦ μὴ σκεδάννυσθαι, comparing II. 75, 5. ξύνδεσμος δ' ἦν τὰ ξύλα τοῦ μὴ—ἀσθενὲς εἶναι τὸ οἰκοδόμημα. Two or three MSS. read τὸ μὴ σκεδάννυσθαι, which would also give the same meaning. The sense is, "the islands serve to connect "the depositions made by the river "with one another, so that the soil "should not be dispersed in the sea." Ξύνδεσμος is used actively, II. 75, 5. ξύνδεσμος ἦν τὰ ξύλα. i. e. the timber served as a frame to hold the bricks together, just as the islands were a frame to hold the alluvium of the river together, and prevent it from being carried out to sea.

οὐ μεγάλαι. λέγεται δὲ καὶ Ἀλκμαίωνι τῷ Ἀμφιάρεω, ὅτε 7 δὴ ἀλᾶσθαι αὐτὸν μετὰ τὸν φόνον τῆς μητρὸς, τὸν Ἀπόλλω ταύτην τὴν γῆν χρῆσαι οἰκεῖν, ὑπειπόντα οὐκ εἶναι λύσιν τῶν δειμάτων πρὶν ἂν εὑρὼν ἐν ταύτῃ τῇ χώρᾳ κατοικίσηται 5 ἥτις ὅτε ἔκτεινε τὴν μητέρα μήπω ὑπὸ ἡλίου ἑωρᾶτο μηδὲ γῆ ἦν, ὡς τῆς γε ἄλλης αὐτῷ μεμιασμένης. ὁ δ' ἀπορῶν, ὥς 8 φασι, μόλις κατενόησε τὴν πρόσχωσιν ταύτην τοῦ Ἀχελῴου, καὶ ἐδόκει αὐτῷ ἱκανὴ ἂν κεχῶσθαι δίαιτα τῷ σώματι ἀφ' οὗπερ κτείνας τὴν μητέρα οὐκ ὀλίγον χρόνον ἐπλανᾶτο. καὶ 9 10 κατοικισθεὶς ἐς τοὺς περὶ Οἰνιάδας τόπους ἐδυνάστευσέ τε καὶ ἀπὸ Ἀκαρνᾶνος παιδὸς ἑαυτοῦ τῆς χώρας τὴν ἐπωνυμίαν ἐγκατέλιπε. τὰ μὲν περὶ Ἀλκμαίωνα τοιαῦτα λεγόμενα 10 παρελάβομεν.

1. ὥστε C. 2. μητρὸς συνέβη τὸν f. 3. χρῆσαι τ. τ. γ. οἰκεῖν V. εἰπόντα O. 4. κατοικήσηται A.B.I.N.P.Q.V.c.e.f.g.h. 6. γε ἄλλης] γῆς ὅλης L.O.P.Q. γῆς ἄλλης e. 7. πρόχωσιν C.d. τοῦ] om. c. 8. ἂν κεχῶσθαι] ἀνακεχῶσθαι Stephanus. 10. οἰνίδας e. 11. τῇ χώρᾳ L.Q.g. 12. κατέλιπε F.H. μὲν περὶ A.B.C.E.F.G.K.L.O.g.h. Poppo. Goell. Bekk. vulgo μὲν οὖν περί. λεγόμενα] λέγομεν ἃ A.B.H.N.V.g.h. et corr. F. 13. παραλάβοιμεν d.

1. λέγεται δὲ καὶ Ἀλκ.] Vide Schol. ad Lucianum, tom. II. Philostratum l. 7. et Basilium in Epist. ad Gregorium Theol. et Hyginum, Fab. 73. Huds. Confer Pausan. VIII. 24. p. 646. Schol. Luciani p. 52. Strabonem X. p. 710. Wass. Lucian. de Saltat. p. 804. inter argumenta saltationis, quæ Ætolia suppeditare possit, memorat Ἐχινάδων ἀνάδυσιν, καὶ μετὰ τὴν μανίαν Ἀλκμαίωνος οἴκησιν. Add. Apollodor. III. 7. 5. Sed is I. 9. 21. non recte easdem facit Echinadas et Strophadas. Quod autem Thucydides Echinadas ἐρήμους esse dicit, id de plerisque et minoribus intelligendum esse, quia Dulichium quoque inter eas ponit Strabo, putat Cellar. II. Geogr. Ant. 14. Et εὐλιμένους fuisse ex hoc Callimachi Hymn. in Del. v. 155. λιπαρὸν νήεσσιν Ἐχινάδες ὅρμον ἔχουσαι, observat ibi Spanhemius. Duker.

ὅτε δὴ ἀλᾶσθαι αὐτὸν] Infinitivus legitur post ὅτε in oratione obliqua, more et Græcis et Latinis usitato. vid. Bredov. ad I. 91, 5. Matth. Gr. Gr. p. 773. [§. 537.] Herman. ad Viger. p. 823. [not. 156.] Conf. IV. 98, 4. εἰ μὲν ἐπὶ πλέον δυνηθῆναι, sic enim e codicibus repetendum pro δυνηθεῖεν. I. 91, 5. ὅσα αὖ μετ' ἐκείνων βουλεύεσθαι, ubi vide V. 62. extr. ἄνευ ὧν μὴ κύριον εἶναι, VI. 64. extr. ἀφ' ὧν αὐτὸς ἥκειν, VII. 47, 3. ἅπερ διακινδυνεῦσαι. Cicero in Verrem, I. 90. "Siculos sane in eo liberos fu-"isse, qui quamobrem arcesserentur "cum intelligerent, non venisse."— Göller. Jelf. 889.

8. δίαιτα τῷ σώματι] "A place suffi-"cient to support life." Compare Aristot. Ethic. Nicomach. I. 6, 3. and Philostratus Vit. Herodis, p. 562. φασὶν αὐτὸν καὶ πολίσαι τὸ Ὠρικὸν, ὡς εἴη δίαιτα τῷ σώματι ἐπιτηδεία.

11. τῆς χώρας τὴν ἐπωνυμίαν ἐγκατέλιπε] This might have been expressed otherwise, with the dative case, τῇ χώρᾳ τὴν ἐπωνυμίαν αὐτῆς ἐγκατέλιπε. "He "left the country its name."

WESTERN GREECE. A.C. 429. Olymp. 87. 4.

CIII. Οἱ δὲ Ἀθηναῖοι καὶ ὁ Φορμίων ἄραντες ἐκ τῆς Ἀκαρνανίας καὶ ἀφικόμενοι ἐς τὴν Ναύπακτον ἅμα ἦρι κατέπλευσαν ἐς τὰς Ἀθήνας, τούς τε ἐλευθέρους τῶν αἰχμαλώτων ἐκ τῶν ναυμαχιῶν ἄγοντες, οἳ ἀνὴρ ἀντ' ἀνδρὸς ἐλύθησαν, καὶ 5 2 τὰς ναῦς ἃς εἷλον. καὶ ὁ χειμὼν ἐτελεύτα οὗτος, καὶ τρίτον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε ὃν Θουκυδίδης ξυνέγραψεν.

In the early spring Phormion goes home to Athens with his prizes and prisoners. The latter are exchanged for an equal number of Athenians, prisoners to the Peloponnesians.

5. οἳ] om. P. 6. ἐτελεύτα] om. G.I.L.O.P.e. 8. τοῦδε C.e. συνέγραψεν g.

ΘΟΥΚΥΔΙΔΟΥ ΞΥΓΓΡΑΦΗΣ

Γ.

A. C. 428.
Olymp. 87. 4.
ATTICA.
Third annual invasion of the Peloponnesian army.

ΤΟΥ δ' ἐπιγιγνομένου θέρους Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι ἅμα τῷ σίτῳ ἀκμάζοντι ἐστράτευσαν ἐς τὴν Ἀττικήν· ἡγεῖτο δὲ αὐτῶν Ἀρχίδαμος ὁ Ζευξιδάμου Λακεδαιμονίων βασιλεύς. καὶ ἐγκαθεζόμενοι ἐδῄουν τὴν γῆν· καὶ προσβολαί, 2 5 ὥσπερ εἰώθεσαν, ἐγίγνοντο τῶν Ἀθηναίων ἱππέων ὅπῃ παρείκοι, καὶ τὸν πλεῖστον ὅμιλον τῶν ψιλῶν εἶργον τὸ μὴ προεξιόντας τῶν ὅπλων τὰ ἐγγὺς τῆς πόλεως κακουργεῖν. ἐμμείναντες δὲ χρόνον οὗ εἶχον τὰ σιτία ἀνεχώ- 3 10 ρησαν καὶ διελύθησαν κατὰ πόλεις.

3. ἥγητο E. 7. ὅποι K.O. παρήκει d. 8. τῷ d. διὰ τὸ G.e. προσεξιόντας A.B.E.F.b.d.e. 9. ἀνεχώρησεν F.

7. *ὅπῃ παρείκοι*] "Wherever opportunity offered; wherever there was a "way for them to do it." Compare Sophocles, Philoct. 1048. *εἴ μοι παρείκοι*, and Thucyd. IV. 36, 2. *κατὰ τὸ ἀεὶ παρεῖκον τοῦ κρημνώδους*.

καὶ τὸν πλεῖστον—κακουργεῖν] Corinthus de Dial. Att. in his statuit ellipsin præpositionis *διὰ*, quasi sententia esset, *διὰ τὸ μὴ κακουργεῖν*. Scholiastes quoque ellipsin *τοῦ διὰ* esse dicit, sed aliter ac Corinthus: nam non conjungit *διὰ τὸ μὴ ἀδικεῖν*, sed *διὰ τὸ μὴ προεξιόντας*. Refellit eos Stephanus ad Corinth. artic. VIII. et Append. ad Script. de Dial. p. 178. et ostendit, tam articulum, quam negationem, ante verba *ἀπαγορευτικὰ*, et quæ *ἀπαγορεύσεως* significationem inclusam habent, abundare. Nam sic Thucyd. I. 62, 4. *ὅπως εἴργωσι τοὺς ἐκεῖθεν ἐπιβοηθεῖν*. Et apud alios quoque sæpe hujusmodi verba cum solo Infinitivo ponuntur. Add. quæ adnotantur ad II. 101, 1. et Schol. infra ad cap. 6, 2. Sententiam horum verborum aliter expressam habes supr. II. 22, 2. DUKER.

8. *προεξιόντας τῶν ὅπλων*] Properly *τὰ ὅπλα* signifies the open space in the camp where the spears and shields were piled the moment the day's march was over. Comp. note on II. 2, 5. Here, however, it means more generally the camp where the heavy-armed soldiers were quartered.

LESBOS. A. C. 428. Olymp. 87. 4.

LESBOS.
Mytilene and all Lesbos, except Methymna, revolts from Athens. The revolt was hastened, in consequence of information of the design being conveyed to Athens.

II. Μετὰ δὲ τὴν ἐσβολὴν τῶν Πελοποννησίων εὐθὺς Λέσβος πλὴν Μηθύμνης ἀπέστη ἀπ' Ἀθηναίων, βουληθέντες μὲν καὶ πρὸ τοῦ πολέμου, (ἀλλ' οἱ Λακεδαιμόνιοι οὐ προσεδέξαντο,) ἀναγκασθέντες δὲ καὶ ταύτην τὴν ἀπόστασιν πρότερον ἢ διε- 5 νοοῦντο ποιήσασθαι. 2 τῶν τε γὰρ λιμένων τὴν χῶσιν καὶ τειχῶν οἰκοδόμησιν καὶ νεῶν ποίησιν ἐπέμενον τελεσθῆναι, καὶ ὅσα ἐκ τοῦ Πόντου ἔδει ἀφικέσθαι, τοξότας τε καὶ σῖτον, καὶ ἃ μεταπεμπόμενοι ἦσαν. 3 Τενέδιοι γὰρ ὄντες αὐτοῖς διάφοροι καὶ 10 Μηθυμναῖοι, καὶ αὐτῶν Μυτιληναίων ἰδίᾳ ἄνδρες κατὰ στάσιν, πρόξενοι Ἀθηναίων, μηνυταὶ γίγνονται τοῖς Ἀθηναίοις ὅτι ξυνοικίζουσί τε τὴν Λέσβον ἐς τὴν Μυτιλήνην βίᾳ, καὶ τὴν παρασκευὴν ἅπασαν μετὰ Λακεδαιμονίων καὶ Βοιωτῶν ξυγγενῶν ὄντων ἐπὶ ἀποστάσει ἐπείγονται· καὶ εἰ 15

5. καὶ] om. K. ἢ H. 7. χῶσιν] θέσιν I.e. 9. ἃ] ἅμα P. 10. γὰρ] δὲ L.O.P. 11. μηθυμναίων οἱ καὶ H.g. μυτιληναίων et mox μυτιλήνην A.B.E. qui sic tantum non ubique. Sic Poppo. Bekk. et Goell. Rarius K. velut III. 27, 1. et 35, 1. B.G. et vulgo μιτυληναίων et μιτυλήνην. μητυληναίων F. sed F. infra μυτιλ—. κατὰ] διὰ i.

11. καὶ αὐτῶν Μιτ.] De belli hujus origine vide Aristot. Politic. l. 5. c. 4, 6. Huds. Causam ejus narrat Aristoteles Polit. E'. IV. Confer Diodorum XII. 314. et Aristotelem Polit. V. 135.—Wass.

ἰδίᾳ ἄνδρες κατὰ στάσιν] Compare Aristotle, Politic. V. 4, 6. Τιμοφάνους γὰρ, τῶν εὐπόρων τινὸς, καταλιπόντος δύο θυγατέρας, ὁ περιωθισθεὶς καὶ οὐ λαβὼν τοῖς υἱέσιν αὐτοῦ Δόξανδρος ἦρξε τῆς στάσεως. καὶ τοὺς Ἀθηναίους παρώξυνε, πρόξενος ὢν τῆς πόλεως.

13. ὅτι ξυνοικίζουσι—βίᾳ] The Mytilenæans tried to effect what Theseus had accomplished in Attica, (II. 15, 2, 3.) and what the Thebans laboured for many years to force the Platæans and Thespians to submit to in Bœotia; namely, that the other towns of Lesbos should sink from the condition of πόλεις, or independent civil societies, to that of δῆμοι or municipal towns, with only a local and subordinate instead of a sovereign government of their own affairs. The Prytaneum, or home of the state, would then be in Mytilene, justice would be administered there, and the people of the rest of the island, instead of being Methymnæans or Antissæans, would lose their national existence, and become Mytilenæans.

15. Βοιωτῶν ξυγγενῶν ὄντων] Compare VII. 57, 5. VIII. 100, 3. The Lesbians derived their origin from a colony composed chiefly of Bœotians, and headed by Penthilus the son of Orestes, who, on the expulsion of his family from Argos and Mycenæ by the Heraclidæ, had probably found a temporary asylum in Bœotia, as the Ionians under similar circumstances did in Attica. Thus the sacred fire would probably be taken from the prytaneum of Thebes, and the colony would therefore be a Bœotian colony, although the leader of it was himself an Achaian. The Bœotians, like most of the people of the northern

μή τις προκαταλήψεται ἤδη, στερήσεσθαι αὐτοὺς Λέσβον.
III. οἱ δ' Ἀθηναῖοι (ἦσαν γὰρ τεταλαιπωρημένοι ὑπό τε τῆς νόσου καὶ τοῦ πολέμου ἄρτι καθισταμένου καὶ ἀκμάζοντος) μέγα μὲν ἔργον ἡγοῦντο εἶναι Λέσβον προσπο-5λεμώσασθαι ναυτικὸν ἔχουσαν καὶ δύναμιν ἀκέραιον, καὶ οὐκ ἀπεδέχοντο πρῶτον τὰς κατηγορίας, μεῖζον μέρος νέμοντες τῷ μὴ βούλεσθαι ἀληθῆ εἶναι· ἐπειδὴ μέντοι καὶ πέμψαντες πρέσβεις οὐκ ἔπειθον τοὺς Μυτι-10ληναίους τήν τε ξυνοίκισιν καὶ τὴν παρασκευὴν διαλύειν, δείσαντες προκαταλαβεῖν ἐβούλοντο. καὶ πέμ- 2 πουσιν ἐξαπιναίως τεσσαράκοντα ναῦς αἳ ἔτυχον περὶ Πελοπόννησον παρεσκευασμέναι πλεῖν· Κλεΐππίδης δὲ ὁ Δεινίου τρίτος αὐτὸς ἐστρατήγει. ἐσηγγέλθη γὰρ αὐτοῖς ὡς εἴη 3 15Ἀπόλλωνος Μαλόεντος ἔξω τῆς πόλεως ἑορτή, ἐν ᾗ πανδημεὶ Μυτιληναῖοι ἑορτάζουσι, καὶ ἐλπίδα εἶναι ἐπειχθέντας ἐπιπεσεῖν ἄφνω· καὶ ἢν μὲν ξυμβῇ ἡ πεῖρα,—εἰ δὲ μή, Μυτιληναίοις εἰπεῖν ναῦς τε παραδοῦναι καὶ τείχη καθελεῖν,

The Athenians, unwilling to believe the information, did not immediately act with vigour. Afterwards a fleet is despatched in haste, and the Mytilenæans, receiving timely intelligence of its coming, prepare to strengthen their city against a siege.

1. τις] om. K. προκαταλείψεται C. στέρεσθαι L.P. 2. προτεταλαιπωρημένοι L.O.P. τε] om. O. 4. εἶναι om. V. 6. πρῶτον A.B.C. E.F.H.V.g.h. Poppo. Goell. Bekk. G. et ceteri τὸ πρῶτον. τῆς B. 7. νομίζοντες e. μένοντες i. 8. βουλεύσασθαι i. 10. ξυνοίκισιν E.c.e. C. ex alia manu. Bekk. Ed. 1832. Poppo. ξυνοίκησιν A.B.F.G. vulgo, Haack. Goell. τὴν] om. e. 13. κλεΐπίδης V. 14. ἐπηγγέλθη K. αὐτοῖς] om. F. 15. ᾗ] τῇ K. 16. ἐλπίδας K. εἶναι] om. E. 17. ἢν] εἰ Q. cum Schol. Aristophan. qui mox συμβῇ. 18. τεῖχος Q.

parts of Greece, considered themselves to belong to the Æolic race; a name and race of the highest antiquity; for in the genealogical traditions of the Greeks Æolus was said to be the eldest son of Hellen, and Thessaly and Corinth were anciently possesed by people of Æolian race, before they were severally occupied by the Thessalians and Dorians. (Herodot. VII. 176, 6, 7. Thucyd. IV. 42, 2.) For the origin of the Æolian states of Asia, see Strabo, IX. 2, 5. XIII. 1, 3, and for those of Europe, see Kruse, Hellas, vol. I. p. 490, &c.

4. Λέσβον προσπολεμώσασθαι] "To "bring on themselves a war with Les-"bos in addition to their other ene-"mies." Λέσβον προσπολεμῶσαι would be, "to engage another state in a war "with Lesbos in addition to its other "enemies:" as ἐκπολεμῶσαι τοὺς ἀνθρώπους (Demosth. Olynth. 3. p. 30. Reiske.) signifies, "to excite the men "to war with a third party."

7. μεῖζον μέρος—ἀληθῆ εἶναι] "Giving "too much weight to their wish that it "should not be true." Compare c. 48, 1. οἴκτῳ πλέον νείμαντες.

13. Κλεΐππίδης] Κλεινιππίδης Diodoro, p. 314. c. Vix alibi memoratur. Wass.

4 μὴ πειθομένων δὲ πολεμεῖν. καὶ αἱ μὲν νῆες ᾤχοντο· τὰς δὲ τῶν Μυτιληναίων δέκα τριήρεις, αἳ ἔτυχον βοηθοὶ παρὰ σφᾶς κατὰ τὸ ξυμμαχικὸν παροῦσαι, κατέσχον οἱ Ἀθηναῖοι 5 καὶ τοὺς ἄνδρας ἐξ αὐτῶν ἐς φυλακὴν ἐποιήσαντο. τοῖς δὲ Μυτιληναίοις ἀνὴρ ἐκ τῶν Ἀθηνῶν διαβὰς ἐς Εὔβοιαν καὶ 5 πεζῇ ἐπὶ Γεραιστὸν ἐλθὼν, ὁλκάδος ἀναγομένης ἐπιτυχὼν, πλῷ χρησάμενος καὶ τριταῖος ἐκ τῶν Ἀθηνῶν ἐς Μυτιλήνην 6 ἀφικόμενος ἀγγέλλει τὸν ἐπίπλουν. οἱ δὲ οὔτε ἐς τὸν Μαλόεντα ἐξῆλθον, τά τε ἄλλα τῶν τειχῶν καὶ λιμένων περὶ τὰ ἡμιτέλεστα φραξάμενοι ἐφύλασσον. IV. καὶ οἱ Ἀθη- 10 ναῖοι οὐ πολὺ ὕστερον καταπλεύσαντες ὡς ἑώρων, ἀπήγγειλαν μὲν οἱ στρατηγοὶ τὰ ἐπεσταλμένα, οὐκ ἐσακουόντων δὲ τῶν Μυτιλη- 2 ναίων ἐς πόλεμον καθίσταντο. ἀπαράσκευοι δὲ οἱ Μυτιληναῖοι καὶ ἐξαίφνης ἀναγκασθέντες 15 πολεμεῖν, ἔκπλουν μέν τινα ἐποιήσαντο τῶν νεῶν ὡς ἐπὶ ναυμαχίᾳ ὀλίγον πρὸ τοῦ λιμένος, ἔπειτα καταδιωχθέντες ὑπὸ

A suspension of arms is obtained by the Mytilenæans, during which they send Ambassadors to Athens, and despatch others privately to Lacedæmon imploring aid.

2. τῶν] om. i. περὶ g. 3. οἱ] om. G.L.O.P. ἀθηναίων K. 6. γεραστὸν b. ἐπιτυχὼν] ἐπὶ τειχῶν P. 7. ἀθηναίων g. 8. Μαλόεντα] μέλλοντα P. μαλέοντα c. 9. καὶ τῶν λιμένων B.g.h. περιττὰ F. 10. ἡμιτελέστατα d. ἐφύλαττον F.H.N.V. 11. πολὺ A.C.E.F.H.K.V.c.f.g.h. Haack. Poppo. Goell. Bekk. B.G. et ceteri πολλῷ. 14. ἐς τὸν πόλεμον g. δὲ ὄντες οἱ e. 15. καὶ] om. L.O.P. 17. ναυμαχίαν G.I.Q. ναυμαχίας e. καὶ διωχθέντες H. ὑπὸ τῶν ἀπὸ τῶν P.

7. *πλῷ χρησάμενος*] I believe that this is merely opposed to the words *πεζῇ ἐπὶ Γεραιστὸν ἐλθών*. "He came "by land to Geræstus; then finding a "merchant vessel just going to sail, he "proceeded on his way by sea, and ar-"rived at Mitylene." Πλοῦς is thus opposed to ὁδὸς, VI. 97, 1. *οὔτε πλοῦν οὔτε ὁδὸν πολλὴν ἀπέχει.*

9. *τά τε ἄλλα, τῶν τειχῶν κ. τ. λ.*] "And for the rest, they barricaded and "kept guard about the half finished "defences of their walls and harbours." Τὰ ἄλλα I believe should be taken by itself; "in other things; for the rest." The construction of the other words is, *ἐφύλασσον περὶ τὰ ἡμιτέλεστα τῶν τειχῶν —φραξάμενοι (αὐτά.)* Thus Mr. Bloomfield has, I think, rightly explained the passage. Φραξάμενοι occurs again with no case following it, VIII. 35, 4. *ἄμεινον φραξαμένων αὐτῶν*, "having barricaded "their city better;" where *τὴν πόλιν* must be repeated from the words *προσβαλόντες τῇ πόλει* in the preceding clause.

10. *οἱ Ἀθηναῖοι—ὡς ἑώρων*] Ὡς postpositum, ut III. 5, 1. *οἱ πρέσβεις ὡς οὐδὲν ἦλθον πράξαντες.* V. 28, 1. *οἱ δὲ τῶν Ἀργείων ἄνδρες ἐπειδὴ ἀνήνεγκαν.* VII. 32, 1. *οἱ δὲ πρέσβεις—ἐπειδὴ ἔπεισαν κ. τ. λ.* Göll. (from Poppo, Prolegom. vol. I. p. 107.)

τῶν Ἀττικῶν νεῶν λόγους ἤδη προσέφερον τοῖς στρατηγοῖς, βουλόμενοι τὰς ναῦς τὸ παραυτίκα, εἰ δύναιντο, ὁμολογίᾳ τινὶ ἐπιεικεῖ ἀποπέμψασθαι. 3 καὶ οἱ στρατηγοὶ τῶν Ἀθηναίων ἀπεδέξαντο καὶ αὐτοὶ φοβούμενοι μὴ οὐχ ἱκανοὶ ὦσι Λέσβῳ 5 πάσῃ πολεμεῖν. 4 καὶ ἀνακωχὴν ποιησάμενοι πέμπουσιν ἐς τὰς Ἀθήνας οἱ Μυτιληναῖοι τῶν τε διαβαλλόντων ἕνα, ᾧ μετέμελεν ἤδη, καὶ ἄλλους, εἴ πως πείσειαν τὰς ναῦς ἀπελθεῖν ὡς σφῶν οὐδὲν νεωτεριούντων. 5 ἐν τούτῳ δὲ ἀποστέλλουσι καὶ ἐς τὴν Λακεδαίμονα πρέσβεις τριήρει, λαθόντες τὸ 10 τῶν Ἀθηναίων ναυτικὸν, οἳ ὥρμουν ἐν τῇ Μαλέᾳ πρὸς βορέαν τῆς πόλεως· οὐ γὰρ ἐπίστευον τοῖς ἀπὸ τῶν Ἀθηναίων προχωρήσειν. 6 καὶ οἱ μὲν ἐς τὴν Λακεδαίμονα ταλαιπώρως διὰ τοῦ πελάγους κομισθέντες αὐτοῖς ἔπρασσον ὅπως τις βοήθεια ἥξει. V. οἱ δ' ἐκ τῶν Ἀθηνῶν πρέσβεις ὡς

2. ὁμιλίᾳ Q. 4. μὴ—ποιησάμενοι] om. P. πάσῃ λέσβῳ e. 5. ἀνακοχὴν V. 6. διαβαλλόντων σφᾶς ἕνα L.O.P.e.i. C. rec. man. μετέμελλεν G. 7. ἄλλως H. 9. τὴν] om. c. 10. μαλέῳ C.I. 11. "Ἀθηνῶν malim." Bekk. Ed. 1832. 12. προσχωρήσειν K.e. 13. ἔπραττον f. 14. ἀθηναίων e.

6. τῶν διαβαλλόντων] "The in-" formers." "Participium instar sub-" stantivi est. Add. II. 2, 5. τοῖς ἐπαγο-" μένοις οὐκ ἐπείθοντο. II. 5, 9. πρὸς ὃν " ἔπραξαν οἱ προδιδόντες. Ne comme-" moremus φεύγοντας, quo nomine sæ-" pissime eos denotari qui in exilium " ejecti sunt, satis constat." Poppo. Prolegom. vol. I. p. 152.

7. μετέμελεν] Huc fortassis respexit Auct. Lexici in Montfauc. Biblioth. Coislin. p. 483. (Lex. Seg. 107, 12.) Μεταμελεῖν, ἀντὶ τοῦ μετανοεῖν. Θουκ. γ'. Duk.

10. ἐν τῇ Μαλέᾳ πρὸς βορέαν τῆς πόλεως] That there can be no error in the words πρὸς βορέαν is evident from what follows, ch. 6, 1. περιορμισάμενοι τὸ πρὸς νότον τῆς πόλεως. Yet Strabo describes Malea as the promontory which is now called cape Zeitoun, that is, the south eastern point of the island, distant seventy stadia from Mytilene, as in fact that is about the distance of cape Zeitoun from the present town of Metelin. The only way of explaining this difficulty is by supposing that the Malea of Thucydides must be a different place from the Malea of Strabo, lying much nearer to Mytilene, and on the north side of it. The expression ἔξω τῆς πόλεως, ch. 3, 3. agrees better with a place one or two miles distant, than with one which was distant more than seven: and the shorter distance suits better also with what is said in the sixth chapter, that the Athenians had their market at Malea while they were besieging Mytilene. Do we suppose that the soldiers and seamen had to go every day more than seven miles to get their provisions?

11. τοῖς ἀπὸ τῶν Ἀθηναίων προχωρήσειν] The infinitive mood seems to me to be used by what grammarians call Epexegesis; that is, as a sort of explanation of the preceding words. "They " did not trust to the expected answer " from the Athenians, that it would " have a prosperous issue."

The embassy to Athens fails, and hostilities are renewed. All Lesbos, except Methymne, joins Mytilene. After an indecisive battle the Mytilenæans lose courage, and shut themselves up in their walls, expecting the arrival of succour from Lacedæmon.

οὐδὲν ἦλθον πράξαντες, ἐς πόλεμον καθίσταντο οἱ Μυτιληναῖοι καὶ ἡ ἄλλη Λέσβος πλὴν Μηθύμνης· οὗτοι δὲ τοῖς Ἀθηναίοις ἐβεβοηθήκεσαν, καὶ Ἴμβριοι καὶ Λήμνιοι καὶ τῶν ἄλλων ὀλίγοι τινὲς ξυμμάχων. 2 καὶ ἔξοδον μέν 5 τινα πανδημεὶ ἐποιήσαντο οἱ Μυτιληναῖοι ἐπὶ τὸ τῶν Ἀθηναίων στρατόπεδον, καὶ μάχη ἐγένετο, ἐν ᾗ οὐκ ἔλασσον ἔχοντες οἱ Μυτιληναῖοι οὔτε ἐπηυλίσαντο οὔτε ἐπίστευσαν σφίσιν αὐτοῖς, ἀλλ' ἀνεχώρησαν· ἔπειτα οἱ μὲν ἡσύχαζον, ἐκ Πελοποννήσου καὶ 10 μετ' ἄλλης παρασκευῆς βουλόμενοι εἰ προσγένοιτό τι κινδυνεύειν (καὶ γὰρ αὐτοῖς Μελέας Λάκων ἀφικνεῖται καὶ Ἑρμαιώνδας Θηβαῖος, οἳ προαπεστάλησαν μὲν τῆς ἀποστάσεως, φθάσαι δὲ οὐ δυνάμενοι τὸν τῶν Ἀθηναίων ἐπίπλουν κρύφα μετὰ τὴν μάχην ὕστερον ἐσπλέουσι τριήρει, καὶ παρῄνουν 15 πέμπειν τριήρη ἄλλην καὶ πρέσβεις μεθ' ἑαυτῶν· καὶ ἐκπέμπουσιν), VI. οἱ δὲ Ἀθηναῖοι πολὺ ἐπιρρωσθέντες διὰ τὴν τῶν Μυτιληναίων ἡσυχίαν ξυμμάχους τε προσεκάλουν, οἳ πολὺ θᾶσσον παρῆσαν ὁρῶντες οὐδὲν ἰσχυρὸν ἀπὸ τῶν Λεσβίων, καὶ περιορμισάμενοι τὸ πρὸς νότον τῆς πόλεως ἐτείχισαν 20

The Athenians blockade Mytilene completely by sea, but are unable to cut off its communications by land.

7. στρατεύματι d. 9. ἐπηυλήσαντο E.f. ἐπιβλύσαντο K. ἐπιηυλίσαντο prim. man. C. σφίσιν] om. e. 10. ἡσυχάζοντες I. 11. προσγίγνοιτο C.K.c.d.e.f. 12. μαλέας f.g. ἑρμεώνδας C.e. 16. ἐκπέμπειν N.V. ἄλλην τριήρη f. ἑαυτῶν A. et vulgo. αὐτῶν B.C.E.F.G.h. Bekk. 17. δὲ] om. P. 18. συμμάχους B.C.E.Q.c. 20. περιορμησάμενοι A.B.E.F.G.H.V.c.g.h. περιορισάμενοι K. 21. ἐτείχησαν V.

20. περιορμισάμενοι τὸ πρὸς νότον] The sense of these words is clear; "bringing round their ships to a new "station on the south of the town;" they having been before at Malea, to the north of it. But the omission of the preposition ἐς or ἐπὶ may seem to render the construction doubtful. There is however a similar passage, V. 2, 3. ναῦς δὲ περιέπεμψε δέκα τὸν λιμένα περιπλεῖν, "he sent round ten ships to sail round "into the harbour," which is expressed immediately afterwards by the words αἱ νῆες ἅμα περιέπλεον ἐς τὸν λιμένα περιπεμφθεῖσαι. [The reading however of this last passage is doubtful, and Göller takes τὸ πρὸς νότον with ἐτείχισαν. But this cannot be, because the two camps ἑκατέρωθεν τῆς πόλεως could not have been both on the south side of it.]

21. ἐτείχισαν στρατόπεδα δύο] Lib. I. cap. 116, 2. πολιόρκουν τρισὶ τείχεσι τὴν πόλιν. Vid. Casaubon. ad Polyb. I. 24. Duk.

στρατόπεδα δύο ἑκατέρωθεν τῆς πόλεως, καὶ τοὺς ἐφόρμους ἐπ᾽ ἀμφοτέροις τοῖς λιμέσιν ἐποιοῦντο. 2 καὶ τῆς μὲν θαλάσσης εἶργον μὴ χρῆσθαι τοὺς Μυτιληναίους, τῆς δὲ γῆς τῆς μὲν ἄλλης ἐκράτουν οἱ Μυτιληναῖοι καὶ οἱ ἄλλοι Λέσβιοι προσ- 5 βεβοηθηκότες ἤδη, τὸ δὲ περὶ τὰ στρατόπεδα οὐ πολὺ κατεῖχον οἱ Ἀθηναῖοι, ναύσταθμον δὲ μᾶλλον ἦν αὐτοῖς πλοίων καὶ ἀγορᾶς ἡ Μαλέα. 3 καὶ τὰ μὲν περὶ Μυτιλήνην οὕτως ἐπολεμεῖτο.

WESTERN GREECE. An Athenian fleet, after cruising round Peloponnesus, arrives at Naupactus, and from thence makes an ineffectual attempt upon Œniadæ and Leucas.

VII. Κατὰ δὲ τὸν αὐτὸν χρόνον τοῦ θέρους τούτου 10 Ἀθηναῖοι καὶ ἐς Πελοπόννησον ναῦς ἀπέστειλαν τριάκοντα καὶ Ἀσώπιον τὸν Φορμίωνος στρατηγὸν, κελευσάντων Ἀκαρνάνων τῶν Φορμίωνός τινα σφίσι πέμψαι ἢ υἱὸν ἢ ξυγγενῆ ἄρχοντα. 2 καὶ παραπλέουσαι αἱ νῆες τῆς Λακωνικῆς τὰ ἐπι- 15 θαλάσσια χωρία ἐπόρθησαν. 3 ἔπειτα τὰς μὲν πλείους ἀποπέμπει τῶν νεῶν πάλιν ἐπ᾽ οἴκου ὁ Ἀσώπιος, αὐτὸς δ᾽ ἔχων δώδεκα ἀφικνεῖται ἐς Ναύπακτον, καὶ ὕστερον Ἀκαρνᾶνας ἀναστήσας πανδημεὶ στρατεύει ἐπ᾽

4. καὶ οἱ—ἀθηναῖοι] om. P. 5. περὶ] ἐπεὶ b. 6. ναύσταθμοι V. 7. μὲν] om. d. 10. ἐς] περὶ G.I.K.N.V.c.d.e.f.g. τριάκοντα] om. g. 12. τῶν] τὸν Q. 14. περιπλέουσαι g. 16. ἐπ᾽ οἴκου om. V.

1. τοὺς ἐφόρμους—ἐποιοῦντο] "They "established their blockades at both "the harbours." For the meaning of ἔφορμος and the other words of similar origin see the note on II. 89, 13. It occurs again, IV. 27, 1. 32, 1.

5. τὸ δὲ περὶ τὰ στρατόπεδα—ἡ Μαλέα] He means, I think, to say, that although they had a part of their force at Malea, yet it gave them no command of the country, as they merely occupied a small space close to the water's edge, where the market as usual was established for the seamen and soldiers, and where the smaller vessels which brought their provisions might be hauled up on the beach in safety. But if Thucydides had meant to speak of the promontory of Malea seven miles off, with what security could the market have been established at such a distance from the camps of the armament, when the enemy had the entire command of the country? Ναύσταθμον πλοίων καὶ ἀγορᾶς is an instance of a common incorrectness in expression, when a word that can properly apply to one thing only is made to apply to two. Ναύσταθμον ἀγορᾶς of course if literally taken is absurd; but only the general idea of "a place for any thing" is preserved; the particular one of "a place "for ships" suiting only to πλοίων. See Poppo, Prolegom. I. p. 202. 282. Compare Aristot. Rhetoric. III. 5, 7. ἔτι τάδε ποιεῖ σολοικίζειν, τὸ μὴ ἀποδιδόναι, ἐὰν μὴ ἐπιζευγνύῃς ἀμφοῖν, ὃ ἁρμόττει· οἷον ἢ "ψόφον, ἢ χρῶμα," τὸ μὲν "ἰδὼν," οὐ κοινόν· τὸ δ᾽ "αἰσθόμενος," κοινόν.

Οἰνιάδας, καὶ ταῖς τε ναυσὶ κατὰ τὸν Ἀχελῷον ἔπλευσε καὶ
4 ὁ κατὰ γῆν στρατὸς ἐδῄου τὴν χώραν. ὡς δ' οὐ προσεχώ-
ρουν, τὸν μὲν πεζὸν ἀφίησιν, αὐτὸς δὲ πλεύσας ἐς Λευκάδα
καὶ ἀπόβασιν ἐς Νήρικον ποιησάμενος ἀναχωρῶν διαφθεί-
ρεται αὐτός τε καὶ τῆς στρατιᾶς τι μέρος ὑπὸ τῶν αὐτόθεν 5
5 τε ξυμβοηθησάντων καὶ φρουρῶν τινῶν ὀλίγων. καὶ ὕστερον
ὑποσπόνδους τοὺς νεκροὺς ἀποπλεύσαντες οἱ Ἀθηναῖοι παρὰ
τῶν Λευκαδίων ἐκομίσαντο.

VIII. Οἱ δὲ ἐπὶ τῆς πρώτης νεὼς ἐκπεμφθέντες Μυτιλη-
ναίων πρέσβεις, ὡς αὐτοῖς οἱ Λακεδαιμόνιοι 10
εἶπον Ὀλυμπίαζε παρεῖναι, ὅπως καὶ οἱ ἄλλοι
ξύμμαχοι ἀκούσαντες βουλεύσωνται, ἀφικνοῦν-
ται ἐς τὴν Ὀλυμπίαν· ἦν δὲ Ὀλυμπιὰς ᾗ
2 Δωριεὺς Ῥόδιος τὸ δεύτερον ἐνίκα. καὶ
ἐπειδὴ μετὰ τὴν ἑορτὴν κατέστησαν ἐς λόγους, 15
εἶπον τοιάδε.

PELOPONNESUS. The Mytilenæan ambassadors, by direction of the Lacedæmonians, repair to Olympia, and after the festival address the assembled allies, imploring their succour.

IX. "ΤΟ μὲν καθεστὸς τοῖς Ἕλλησι νόμιμον, ὦ ἄνδρες

1. τε] om. N.V. 2. ἐδῄουν G. δ' οὐ] om. Q. 3. δ' ἐσπλεύσας d. 4. νηρικὸν E.F.V.g. νώρικον P. 5. τε] om. f. τι] om. K. αὐτόθι G.I. K.L.N.O.P.c.d.e.i. 9. πρέσβεις μιτυληναίων f. 11. ὅπου e. 13. τὴν om. g.h. 14. δοριεὺς B. ὁ ῥόδιος B. 16. τάδε G. 17. καθεστὸς E.K. Bekk. καθεστὼς A.B.F.G. ἄνδρες] om. C.G.K.L.O.P.c.e.

1. κατὰ τὸν Ἀχελῷον] "On the side "of the Achelous," opposed to κατὰ γῆν, "on the land side."

5. τῶν αὐτόθεν ξυμβοηθησάντων] The ordinary inhabitants of the country, or people belonging to the spot, who assembled on the alarm of the descent. From these are distinguished the φρουροὶ, or regular soldiers stationed at different places along the coast, to repel predatory invasions of this kind. Compare II. 252, 4. V. 52, 2. VIII. 22, 1.

14. Δωριεὺς Ῥόδ.] Diagoræ filius, cujus meminit Xenoph. Ἑλλην. I. 1, 2. 5, 19. Vide Aristot. Rhet. I. 2, 13. et Petr. Victorium in eandem, p. 60. HUDS. In ἀναγραφῇ Olympiadum Dorieus Rhodius primum pancratio vicisse dicitur Olymp. LXXXVII. secundum Olymp. LXXXVIII. tertium Olymp. LXXXIX. DUK. [I have retained this short note of Duker's because it contains an instance of the strange mistake, noticed by Mr. Fynes Clinton, of referring to Scaliger's compilation Ὀλυμπιάδων ἀναγραφή, published in his edition of the Chronicle of Eusebius, as though it were an authentic ancient work. And Göller adopts the mistake into his own note on this passage in Thucydides, even in his second edition.]

ἐνίκα] "Was the conqueror." See the note on V. 49, 1.

17. καθεστός] Die besten und ältesten Handschriften haben überall das der Analogie widersprechende ἑστός. Es ist daher sehr wahrscheinlich dass die Attische Sprache hier der scheinbaren

" Λακεδαιμόνιοι καὶ ξύμμαχοι, ἴσμεν· τοὺς γὰρ ἀφισταμένους ἐν τοῖς πολέμοις καὶ ξυμμαχίαν τὴν πρὶν ἀπολείποντας οἱ δεξάμενοι, καθ' ὅσον μὲν ὠφελοῦνται, ἐν ἡδονῇ ἔχουσι, νομίζοντες δὲ εἶναι προδότας τῶν πρὸ τοῦ φίλων χείρους ἡγοῦνται. καὶ οὐκ ἄδικος αὕτη ἡ ἀξίωσίς 2 ἐστιν, εἰ τύχοιεν πρὸς ἀλλήλους οἵ τε ἀφιστάμενοι καὶ ἀφ' ὧν διακρίνοιντο ἴσοι μὲν τῇ γνώμῃ ὄντες καὶ εὐνοίᾳ, ἀντίπαλοι δὲ τῇ παρασκευῇ καὶ 10 δυνάμει, πρόφασίς τε ἐπιεικὴς μηδεμία ὑπάρχοι τῆς ἀποστάσεως· ὃ ἡμῖν καὶ Ἀθηναίοις οὐκ ἦν. μηδέ τῳ χείρους 3 δόξωμεν εἶναι εἰ ἐν τῇ εἰρήνῃ τιμώμενοι ὑπ' αὐτῶν ἐν τοῖς δεινοῖς ἀφιστάμεθα. X. περὶ γὰρ τοῦ δικαίου καὶ ἀρετῆς πρῶτον ἄλλως τε καὶ ξυμμαχίας δεόμενοι 15 τοὺς λόγους ποιησόμεθα, εἰδότες οὔτε φιλίαν ἰδιώταις βέβαιον γιγνομένην οὔτε κοινωνίαν πόλεσιν ἐς οὐδὲν, εἰ μὴ μετ' ἀρετῆς δοκούσης ἐς ἀλλήλους γίγνοιντο καὶ τἄλλα ὁμοιότροποι εἶεν· ἐν γὰρ τῷ διαλλάσσοντι τῆς 20 γνώμης καὶ αἱ διαφοραὶ τῶν ἔργων καθίστανται. ἡμῖν δὲ καὶ Ἀθηναίοις ξυμμαχία 2 ἐγένετο πρῶτον ἀπολιπόντων μὲν ὑμῶν ἐκ τοῦ Μηδικοῦ πολέμου, παραμεινάντων δὲ ἐκείνων πρὸς τὰ ὑπόλοιπα τῶν ἔργων. ξύμμαχοι μέντοι ἐγενόμεθα οὐκ ἐπὶ 3

SPEECH OF THE MYTILENÆANS.

The peculiar circumstances of our connection with Athens ought to exculpate our present revolt from the charge of breach of faith and unworthy desertion of our friends.

That connection was at first formed for the defence of the common liberty of Greece: but when the Athenians abused it into a means of enslaving their allies, and all but ourselves and the Chians were already so enslaved, we could not but suspect that a similar fate was designed for us.

2. πολεμίοις A.F.H.h. 9. δὲ i. 10. μὴ δὲ μία C.O. ὑπάρχει K.e.g. 11. ἡμῖν καὶ A.B.E.F.G.H.K.M.P.V.d.f.g. καὶ ἡμῖν καὶ C.L.O.e. vulgo ἡμῖν τε καί. 12. δόξομεν K. τιμωρούμενοι Q. 13. γὰρ] om. L. 17. μὴ μετ'] μήτ' A.B.F. 19. διαλάσοντι G. γὰρ post διαλλάσσοντι habet V. 20. καὶ διαφοραὶ L.O.P. et pr. G. καὶ αἱ διαφθοραὶ b. 24. μέντοι corr. F. e voce breviore et enclitica.

Analogie folgte und von ἑστώς das Neutrum ἑστός bildete. BUTTMANN. Gr. Gr. II. p. 158. §. 114. Buttmann adds in a note, Überall hat daher Bekker itzt so herausgegeben und so auch Hermann in Soph. Œd. Tyr. 632.

22. ἀπολιπόντων—ἐκ τοῦ Μηδικοῦ πολέμου] Comp. V. 4, 4. ἀπολιπόντες ἐκ τῶν Συρακουσῶν.

24. ξύμμαχοι—Ἑλλήνων] Corinthus, p. 151. WASS. Vid. ad I. 137, 7. DUK.

" καταδουλώσει τῶν Ἑλλήνων Ἀθηναίοις, ἀλλ' ἐπ' ἐλευθε-
4 " ρώσει ἀπὸ τοῦ Μήδου τοῖς Ἕλλησι. καὶ μέχρι μὲν ἀπὸ
" τοῦ ἴσου ἡγοῦντο, προθύμως εἱπόμεθα· ἐπειδὴ δὲ ἑωρῶμεν
" αὐτοὺς τὴν μὲν τοῦ Μήδου ἔχθραν ἀνιέντας, τὴν δὲ τῶν
" ξυμμάχων δούλωσιν †ἐπαγομένους,† οὐκ ἀδεεῖς ἔτι ἦμεν. 5
5 " ἀδύνατοι δὲ ὄντες καθ' ἓν γενόμενοι διὰ πολυψηφίαν ἀμύ-
" νεσθαι οἱ ξύμμαχοι ἐδουλώθησαν πλὴν ἡμῶν καὶ Χίων·
" ἡμεῖς δὲ αὐτόνομοι δὴ ὄντες καὶ ἐλεύθεροι τῷ ὀνόματι
6 " ξυνεστρατεύσαμεν. καὶ πιστοὺς οὐκέτι εἴχομεν ἡγεμόνας
" Ἀθηναίους, παραδείγμασι τοῖς προγιγνομένοις χρώμενοι· 10
" οὐ γὰρ εἰκὸς ἦν αὐτοὺς οὓς μὲν μεθ' ἡμῶν ἐνσπόνδους
" ἐποιήσαντο καταστρέψασθαι, τοὺς δὲ ὑπολοίπους, [εἴ ποτε
" ἄρα ἐδυνήθησαν,] μὴ δρᾶσαι τοῦτο. XI. καὶ εἰ μὲν αὐτό-
" νομοι ἔτι ἦμεν ἅπαντες, βεβαιότεροι ἂν ἡμῖν
" ἦσαν μηδὲν νεωτεριεῖν· ὑποχειρίους δὲ ἔχον- 15
" τες τοὺς πλείους, ἡμῖν δὲ ἀπὸ τοῦ ἴσου ὁμι-
" λοῦντες, χαλεπώτερον εἰκότως ἔμελλον οἴσειν
" καὶ πρὸς τὸ πλεῖον ἤδη εἶκον τοῦ ἡμετέρου

In fact it was but their policy to reserve us for the last, till all the rest were enslaved, and we should have no confederates to aid us in our struggle against them.

1. δουλώσει h. τοῖς ἀθηναίοις K.c. ἀλλ'—ἕλλησι om. pr. G. 2. μηδικοῦ d.i. 5. "An ἐπειγομένους?" Bekker. ed. 1832. ἀδεῶς c. 6. ἀμύνεσθαι B.E.F. et rec. G.H.V.g.h. Poppo. vulgo, Haack. Bekk. Goell. ἀμύνασθαι. 10. παραδείγματι g. προγεγενημένοις L. προγενομένοις O.P. προσγιγνομένοις c. 11. οὐκ εἰκὸς γὰρ ἦν V. μεθ'] καθ' I. 13. ἠδυνήθησαν L. 14. ἔτι om. V. 15. δὲ] om. Q. 17. εἰκότος Q. ἔμελλον] ἔμμελον Q. ἐξοίσειν H. ἕξειν Q. 18. ἧκον d.

2. τοῖς Ἕλλησι] These words, I think, are governed of ξύμμαχοι. "We "became allies, not so much to the "Athenians, for the enslaving of the "Greeks, as to the Greeks for their de-"liverance from the Mede." Comp. 62, 2, 6. 63, 4, 5.

5. †ἐπαγομένους†] If the text be right, I think Poppo's interpretation of this word is the true one, "suscipien-"tes, sibi assumentes." But as ἐπάγεσθαι does not seem to be a natural opposite to ἀνιέναι, there is every reason for preferring the correction proposed by Ross and Bekker, ἐπειγομένους.

6. διὰ πολυψηφίαν] Comp. I. 141, 6—9.

8. αὐτόνομοι δὴ ὄντες] See the note on III. 104, 1.

14. ἀλλ' ἢν οἱ ἡγεμόνες—ποιήσησθε] This sentence is a curious specimen of confusion. Thucydides means to say, "If all persons in authority were to "punish criminals without letting "themselves be misled by sophistry "and eloquence, in the manner that "you will do now, if you sum up the "case in brief, and decide upon all "these criminals together, then men "will be less tempted to trust to fair "words as a screen for ill actions." But instead of this he makes the verb ποιήσησθε agree with ὑμεῖς, and puts κεφαλαιώσαντες πρὸς τοὺς ξύμπαντας just as if it were the general principle recommended, instead of being merely an exemplification of it in this particular case.

“ κεφαλαιώσαντες πρὸς τοὺς ξύμπαντας διαγνώμας ποιή-
“ σησθε, ἧσσόν τις ἐπ' ἀδίκοις ἔργοις λόγους καλοὺς ζη-
“ τήσει.”

LXVIII. Τοιαῦτα δὲ οἱ Θηβαῖοι εἶπον. οἱ δὲ Λακεδαιμό- 2
5 νιοι δικασταὶ νομίζοντες τὸ ἐπερώτημα σφίσιν ὀρθῶς ἕξειν, εἴ τι ἐν τῷ πολέμῳ ὑπ' αὐτῶν ἀγαθὸν πεπόνθασι, διότι τόν τε ἄλλον χρόνον ἠξίουν δῆθεν αὐτοὺς κατὰ τὰς παλαιὰς Παυσανίου μετὰ τὸν Μῆδον σπονδὰς ἡσυχάζειν, καὶ [ὅτε] ὕστερον
10 ἃ πρὸ τοῦ περιτειχίζεσθαι προείχοντο αὐτοῖς,

The Lacedæmonians, accordingly, put all the Platæans to death, and give up the city to the Thebans, who shortly afterwards raze it to the ground.

1. διαγνώμας] διὰ γνώμης P. διαγνώμονας I.e. 4. δὲ A.B.C.E.F.H.K.N. V.e.f.g. Haack. Poppo. Goell. Bekk. G. et vulgo μέν. Θηβαῖοι] ἀθηναῖοι B. 5. ὀρθῶς] καλῶς c. 6. ἀγαθὸν A.B.C.E.F.G.H.K.L.N.O.P.V.b.d.e.g.h.i. Haack. Poppo. Goell. Bekk. ἀγαθῶν F. Vulgo ἀγαθόν τι. 8. καὶ μετὰ L.O.P. τῶν μήδων I.e. 9. ὅτε sine uncis Bekk. Poppo. Goell. et vulgo. 10. προείχοντο A.B.C.E.F.G.H.K.N.V.g. Poppo. Goell. παρείχοντο d.e. ceteri προΐσχοντο. Goell. totum locum e conjectura refinxit. αὐτοὺς Q.

7. διότι] In priore parte hujus παρεμβολῆς respicit haud dubie, quod etiam Scholiastes monet, ad illa Archidami, II. 72, 3. ἡσυχίαν ἄγετε, νεμόμενοι τὰ ὑμέτερα αὐτῶν· καὶ ἔστε μηδὲ μεθ' ἑτέρων· δέχεσθε δὲ ἀμφοτέρους φίλους, ἐπὶ πολέμῳ δὲ, μηδ' ἑτέρους. DUKER.

διότι τόν τε ἄλλον κ. τ. λ.] The Lacedæmonian judges thought their question might fairly be put, “ because, “ according to them, they before per- “ sisted in requesting them to remain “ neutral, according to the covenant of “ Pausanias, after the Persian invasion; “ and because they had not received “ their late offer, when they made them “ an offer just before the siege to re- “ main neutral, according to those same “ terms before proposed.” All that is wanted to complete the grammar is to repeat προείχοντο twice over, ὅτε ὕστερον προείχοντο ἃ—προείχοντο, as in VIII. 27, 2. ὅπου γὰρ ἔξεστιν ἐν ὑστέρῳ, κ. τ. λ. where ἀγωνίσασθαι must be taken twice over, once after ἐν ὑστέρῳ, and again in its own place. Compare also Herodot. I. 91, 5. ᾧ—χρηστηριαζομένῳ εἶπε τὰ εἶπε Λοξίης περὶ ἡμιόνου, οὐδὲ τοῦτο συνέβαλε. The two reasons assigned are διότι ἠξίουν,—καὶ ὡς οὐκ ἐδέξαντο. Δῆθεν implies, as usual, that what follows is not the writer's own opinion or belief concerning the case, but the statement of the party concerned in their own defence; and this δῆθεν extends to the words below, τῇ ἑαυτῶν δικαίᾳ βουλήσει, “ it was a just “ demand, according to their own pro- “ fessions,” not in reality just. Κατ' ἐκεῖνα refers to τὰς παλαιὰς Παυσανίου σπονδάς. In what follows he repeats the beginning of the sentence over again in another form, for ἡγούμενοι—πεπονθέναι is equivalent to νομίζοντες τὸ ἐπερώτημα—ὀρθῶς ἕξειν, and means, “ thinking that in consequence of their “ just request (being refused), they “ were already released from all former “ covenants with them, and in this “ state had received hurt at their “ hands, they again called them out “ severally,” &c. Being ἔκσπονδοι, according to Greek notions, they were placed in a mere state of nature with regard to them, and then nothing hindered them from putting them to death, just as they would barbarians if taken in war, or as they were in the habit of treating their Greek enemies, as appears from II. 67, 4, 5. III. 32, 1. All

PLATÆA. A. C. 427. Olymp. 88. 2.

κοινοὺς εἶναι κατ' ἐκεῖνα, ὡς οὐκ ἐδέξαντο, ἡγούμενοι [τῇ ἑαυτῶν δικαίᾳ βουλήσει] ἔκσπονδοι ἤδη ὑπ' αὐτῶν κακῶς πεπονθέναι, αὖθις τὸ αὐτὸ ἕνα ἕκαστον παραγαγόντες καὶ ἐρωτῶντες, εἴ τι Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους ἀγαθὸν ἐν τῷ πολέμῳ δεδρακότες εἰσὶν, ὁπότε μὴ φαῖεν, ἀπάγοντες 5
3 ἀπέκτεινον, καὶ ἐξαίρετον ἐποιήσαντο οὐδένα. διέφθειραν δὲ Πλαταιῶν μὲν αὐτῶν οὐκ ἐλάσσους διακοσίων, Ἀθηναίων δὲ πέντε καὶ εἴκοσιν, οἳ ξυνεπολιορκοῦντο· γυναῖκας δὲ ἠνδρα-
4 πόδισαν. τὴν δὲ πόλιν ἐνιαυτὸν μέν τινα Θηβαῖοι Μεγαρέων ἀνδράσι κατὰ στάσιν ἐκπεπτωκόσι, καὶ ὅσοι τὰ σφέτερα 10 φρονοῦντες Πλαταιῶν περιῆσαν, ἔδοσαν ἐνοικεῖν· ὕστερον δὲ καθελόντες αὐτὴν ἐς ἔδαφος πᾶσαν ἐκ τῶν θεμελίων ᾠκοδόμησαν πρὸς τῷ Ἡραίῳ καταγώγιον διακοσίων ποδῶν

1. τῇ ἑ. δ. β. sine uncis Bekk. et ceteri. 2. κακῶν P. 3. τὸ αὐτὸ καὶ ἕνα g. τὸ αὐτὸ ἐν P. παράγοντες G.H.I.L.O.P.g.i. et corr. F. 6. ἀπέκτειναν V. διέφθειρον C. 10. ἐκπεπτοκόσι V. 12. ἐκ θεμελίων O.Q. 13. ἡρώῳ K.

that the Spartans considered was, whether they might regard themselves released from that especial covenant which Pausanias had made with the Platæans after the great battle of Platæa: if they might, then they would put the Platæans to death as a matter of course, as enemies taken in war, whom it was more convenient to their interest to kill than to dispose of in any other manner.

[After repeatedly considering this passage, I am not satisfied with any interpretation which can be given of it as it now stands. Dobree would strike out ὡς before ἐδέξαντο; I should also be inclined to change ὅτε into ὅτι or διότι. But the chief difficulty lies in the words τῇ ἑαυτῶν δικαίᾳ βουλήσει, which seem to me to be utterly unlike the Greek of the age of Thucydides, not only in the novel sense of the word βουλήσει, a sense wholly unknown to the Attic writers, but also in their general form and construction. I cannot but suspect either that they are a corruption of some lost reading, or that they are scholion or gloss, added at a much later period, to explain the reason of the statement ἡγούμενοι ἔκσπονδοι ἤδη κ. τ. λ. and that the text of Thucydides ran thus, καὶ ὅτι ὕστερον ἃ πρὸ τοῦ περιτειχίζεσθαι προείχοντο αὐτοῖς, κοινοὺς εἶναι κατ' ἐκεῖνα, οὐκ ἐδέξαντο, ἡγούμενοι ἔκσπονδοι ἤδη ὑπ' αὐτῶν κακῶς πεπονθέναι κ. τ. λ. Perhaps it would be still better to retain ὡς, and strike out ὅτε.]

13. ᾠκοδόμησαν—καταγώγιον] Because, the town being destroyed, it was necessary to build some place for the reception of those who might come to worship at the temple of Juno.

πρὸς τῷ Ἡραίῳ] De conditu hujus templi vide Plutarchi Aristidem. HUDS. Quum urbs per annos circiter XL. in ruinis jacuisset, deinde per pacem Antalcidæ restituta Olymp. XCVIII. rursus anno tertio [immo, "quarto;" vid. Fynes Clinton, Fastos Hellenicos in anno ante Christum 374.] ante pugnam Leuctricam, quæ in annum 2. Olymp. CII. incidit, a Thebanis eversa, sed a Philippo post prœlium ad Chæroneam,

πανταχῆ, κύκλῳ οἰκήματα ἔχον κάτωθεν καὶ ἄνωθεν, καὶ ὀροφαῖς καὶ θυρώμασι τοῖς τῶν Πλαταιῶν ἐχρήσαντο, καὶ τοῖς ἄλλοις ἃ ἦν ἐν τῷ τείχει ἔπιπλα, χαλκὸς καὶ σίδηρος, κλίνας κατασκευάσαντες ἀνέθεσαν τῇ Ἥρᾳ, καὶ νεὼν ἑκα-5τόμποδον λίθινον ᾠκοδόμησαν αὐτῇ. τὴν δὲ γῆν δημοσιώ- 5 σαντες ἀπεμίσθωσαν ἐπὶ δέκα ἔτη, καὶ ἐνέμοντο Θηβαῖοι. σχεδὸν δέ τι καὶ τὸ ξύμπαν περὶ Πλαταιῶν οἱ Λακεδαιμόνιοι 6 οὕτως ἀποτετραμμένοι ἐγένοντο Θηβαίων ἕνεκα, νομίζοντες ἐς τὸν πόλεμον αὐτοὺς ἄρτι τότε καθιστάμενον ὠφελίμους 10 εἶναι. καὶ τὰ μὲν κατὰ Πλάταιαν ἔτει τρίτῳ καὶ ἐνενηκοστῷ 7 ἐπειδὴ Ἀθηναίων ξύμμαχοι ἐγένοντο οὕτως ἐτελεύτησεν.

LXIX. Αἱ δὲ τεσσαράκοντα νῆες τῶν Πελοποννησίων αἱ Λεσβίοις βοηθοὶ ἐλθοῦσαι, ὡς τότε φεύγουσαι διὰ τοῦ

1. κύκλῳ] om. g. 2. τοῖς πλαταιέων L.P. καὶ ἄλλοις L.O.P. 3. ἦν] ἦσαν f. 4. ἑκατόμπεδον C.K. ἑκατὸν πεδον f. 5. λίθινον om. G. 6. ἐνέμοντο οἱ θηβαῖοι K. 7. δ' ἔτι K. 10. ἐννενηκοστῷ G. 11. οὕτως] om. d. ἐτελεύτησεν A.B.C.E.F.G.H.K.V.b.c.d.e.f.g. Haack. Poppo. Goell. Bekk. Vulgo ἐτελεύτησαν.

id est, post annum tertium Olymp. CX. instaurata est. Ita Pausanias. Plutarchus Aristid. p. 597. ab Alexandro, postquam Asia potitus erat, restitutam tradit. Etiam ante bello Persico a Xerxe incendio deleta fuerat. Diodorus Sic. XI. p. 250. DUKER.

2. καὶ τοῖς ἄλλοις ἃ ἦν ἐν τῷ τείχει κ. τ. λ.] Debebat scribere ἐπίπλοις, χαλκῷ καὶ σιδήρῳ. Sed ut solet fieri, sententia principalis secuta est sententiam interpositam. GÖLLER. The couches or sofas, κλίναι, here spoken of, were either intended for the use of the guests at the sacrificial feasts, or as Dr. Bloomfield supposes, they were not meant for the temple, but for the inn, that the worshippers might sleep upon them.

3. ἃ—σίδηρος] Thom. Magister in ἔπιπλα. WASS. Docet ibi Thomas, quæ sint ἔπιπλα, de quo plura legi possunt in Lexicographis veteribus, Eustath. ad Homer. Od. γ΄. p. 1469. et Interpretib. Pollucis, X. 10. DUKER.

4. νεὼν ἑκατόμποδον] This was probably an additional ναὸς, or chapel, to the one already existing in the Ἡραῖον, or sacred precinct of Juno. It was built by the Thebans to propitiate the Platæan goddess, whose natural worshippers they had just exterminated. So Camillus is said to have invited Juno Veientana to leave Veii and come to Rome, promising that a temple worthy of her divine majesty should be there reserved for her. The Ἡραῖον here mentioned seems to be that spoken of by Herodotus, IX. 52, 3. and described as standing just on the outside of tne walls of Platæa.

7. σχεδὸν δέ τι καὶ τὸ ξύμπαν] The expression σχεδόν τι, "pretty nearly," occurs again, V. 66, 4. and VII. 33, 2. καὶ τὸ ξύμπαν, "even throughout; even "in the whole business." "But it was "pretty nearly the case throughout "this whole business that the aversion "of the Lacedæmonians to the Pla-"tæans was owing to the Thebans."

PELOPONNESUS. The Peloponnesian fleet under Alcidas, having effected its return to Peloponnesus in safety, (III. 33.) and being reinforced, prepares to sail to Corcyra.

πελάγους, ἔκ τε τῶν Ἀθηναίων ἐπιδιωχθεῖσαι καὶ πρὸς τῇ Κρήτῃ χειμασθεῖσαι καὶ ἀπ' αὐτῆς σποράδες, πρὸς τὴν Πελοπόννησον κατηνέχθησαν, καταλαμβάνουσιν ἐν τῇ Κυλλήνῃ τρεισκαίδεκα τριήρεις Λευκαδίων καὶ 5 Ἀμπρακιωτῶν καὶ Βρασίδαν τὸν Τέλλιδος 2 ξύμβουλον Ἀλκίδᾳ ἐπεληλυθότα. ἐβούλοντο γὰρ οἱ Λακεδαιμόνιοι, ὡς τῆς Λέσβου ἡμαρτήκεσαν, πλέον τὸ ναυτικὸν ποιήσαντες ἐς τὴν Κέρκυραν πλεῦσαι στασιάζουσαν, δώδεκα μὲν ναυσὶ μόναις παρόντων Ἀθηναίων περὶ Ναύπακτον, 10 πρὶν δὲ πλέον τι ἐπιβοηθῆσαι ἐκ τῶν Ἀθηνῶν ναυτικόν, ὅπως προφθάσωσι· καὶ παρεσκευάζοντο ὅ τε Βρασίδας καὶ ὁ Ἀλκίδας πρὸς ταῦτα. LXX. οἱ γὰρ Κερκυραῖοι ἐστασίαζον, ἐπειδὴ οἱ αἰχμάλωτοι ἦλθον αὐτοῖς οἱ ἐκ τῶν περὶ Ἐπίδαμνον ναυμαχιῶν ὑπὸ Κο- 15 ρινθίων ἀφεθέντες, τῷ μὲν λόγῳ ὀκτακοσίων

CORCYRA. State of Corcyra at that time. The leaders of the aristocratical party, having been

1. ἀθηναίων A.B.C.E.F.G.H.K.L.N.O.V.b.c.f.g.h.i. Haack. Poppo. Goell. Bekk. ceteri ἀθηνῶν. διωχθεῖσαι K. 4. κατηνέχθησαν καὶ καταλαμβάνουσιν H. 5. τρεισκαίδεκα A.B.Q. Bekk. Goell. om. E.F.H.g. G. margo F. Poppo. et vulgo τρισκαίδεκα. 7. ἀλκείδᾳ C. prima manu. K. ut infra b.c. ἀλκείδας. 11. ἀθηναίων K.d.i. 12. ὅ τε ἀλκίδας καὶ ὁ βρασίδας e. 15. ἐπιδάμνου b. 16. ἀφέντες H. ὀκτακοσίοις ταλάντοις i.

1. ἐκ τῶν Ἀθηναίων ἐπιδιωχθεῖσαι] In old English. "Followed after *of* "the Athenians." This sense of ἐκ, as denoting the agent, is not uncommon in Herodotus, τὰ γενόμενα ἐξ ἀνθρώπων. I. 1, 1. τὸ ποιηθὲν ἐκ Ψαμμιτίχου. II. 151, 4. The construction is, ὡς—κατηνέχθησαν, καταλαμβάνουσιν, and the successive participles φεύγουσαι, ἐπιδιωχθεῖσαι, χειμασθεῖσαι, and σποράδες, which is equivalent to σποράδες γενόμεναι, describe the successive adventures of the fleet before it reached Peloponnesus. "The forty ships on their arrival at "Peloponnesus, (after their flight as "before described across the Ægean, "and after having been followed closely "by the Athenians, and been caught "in a storm near Crete, and made "their way from thence in a straggling "condition,) find at Cyllene thirteen "ships," &c. Τότε signifies "at the "time before mentioned." Compare VII. 31, 3. 32, 1. VIII. 62, 3. 73, 2.

4. Κυλλήνῃ] Ita MSS. et Noster I. 30, 2. et infra c. 76, 1. Theophrast. H. Plant. IV. 1. Artemidor. I. c. 47. Wass.

9. δώδεκα μὲν ναυσὶ κ. τ. λ.] The sense seems to be this. Ἐβούλοντο ἐς τὴν Κέρκυραν πλεῦσαι, first because the Athenians had only a very small fleet there at present; and secondly because if they went immediately, they might arrive in time to take the place before that small Athenian fleet could be reinforced.

13. ἐστασίαζον] Vid. Diodorum p. 315. d. Wass.

16. ὀκτακοσίων ταλάντων διηγγυημένοι] "Their proxeni becoming their sureties

CORCYRA. A. C. 427. Olymp. 88. 2.

won over to the Corinthian interest, (I. 55.) assassinate Peithias, the leader of the popular party, and force the people to renounce the alliance 5 with Athens, and to declare a strict neutrality. Ambassadors are sent to Athens to announce and apologize for this revolution. (70, 71.)

ταλάντων τοῖς προξένοις διηγγυημένοι, ἔργῳ δὲ πεπεισμένοι Κορινθίοις Κέρκυραν προσποιῆσαι. καὶ ἔπρασσον οὗτοι, ἕκαστον τῶν 2 πολιτῶν μετιόντες, ὅπως ἀποστήσωσιν Ἀθηναίων τὴν πόλιν. καὶ ἀφικομένης Ἀττικῆς τε 3 νεὼς καὶ Κορινθίας πρέσβεις ἀγουσῶν, καὶ ἐς λόγους καταστάντων, ἐψηφίσαντο Κερκυραῖοι Ἀθηναίοις μὲν ξύμμαχοι εἶναι κατὰ τὰ ξυγκείμενα, Πελοποννησίοις δὲ φίλοι ὥσπερ καὶ 10 πρότερον. καὶ—ἦν γὰρ Πειθίας ἐθελοπρόξενός τε τῶν 4 Ἀθηναίων καὶ τοῦ δήμου προειστήκει,—ὑπάγουσιν αὐτὸν

1. διηγγυώμενοι E. 2. κερκυραίοις κόρινθον Thom. M. v. βούλομαι. 4. μετιόντες] ἐπιόντες g. 5. τε] om. c. 10. ἦν] om. P. πυθίας Q.e.

"to the amount of eight hundred "talents." Two minæ were the ordinary ransom of a heavy armed soldier among the Peloponnesians, when made prisoner in battle, Herodot. VI. 79, 2; so that eight hundred talents as a ransom for about two hundred and fifty persons may seem incredible. But in the times of Demosthenes the orator, when the ordinary ransom of a heavy armed soldier did not exceed three or five minæ (Demosthen. de falsa Legat. p. 394. Reiske.) a talent is spoken of as the ransom of a particular individual, although he was not very wealthy: (Æschines, de falsa Legat. p. 274. Reiske.) and an ambassador of Philip is said to have been ransomed for no less than nine talents. (Epist. Philippi apud Demosth. p. 159. Reiske.) Two hundred and fifty, then, of the richest men in Corcyra, that is to say, of some of the richest merchants in Greece, (compare I. 25, 4. 55, 1.) might well pay a ransom of somewhat above three talents each, even though a poor Peloponnesian heavy-armed soldier, with no other property than a small portion of land, might be commonly ransomed for two minæ. See Böckh, Staatshaushaltung der Athener, vol. I. p. 78. (English Translation, p. 98.) to whom I am indebted for the above quotations from the orators.

8. ξύμμαχοι κατὰ τὰ ξυγκείμενα.] That is, that the contracting parties should only defend each other's territory in case of invasion, but should not be bound to assist each other in any offensive operations. Compare I. 44, 1.

10. καὶ—ἦν γὰρ Πειθίας—ὑπάγουσιν αὐτόν.] Compare for a similar construction, Herodot. I. 8, 2. ὥστε δὲ ταῦτα νομίζων· ἦν γάρ οἱ τῶν αἰχμοφόρων Γύγης ὁ Δασκύλου ἀρεσκόμενος μάλιστα· τούτῳ τῷ Γύγῃ καὶ τὰ σπουδαιέστερα τῶν πρηγμάτων ὑπερετίθετο ὁ Κανδαύλης.

ἐθελοπρόξενος τῶν Ἀθηναίων] Ἐθελοπρόξενος est, qui sua sponte alterius urbis legatos hospitio excipit, quamvis nondum ab illa urbe agnitus sit hospes, multo minus in tabulas publice relatum sit, hospitium cum illo contractum esse. Cum vero Jus Hospitii ἀνάγραπτον, id est, publico nomine prescriptum est in civitatis albo, tum demum fit πρόξενος. KUHN. (note on Pollux, III. 60.) Böckh on the contrary supposes that the πρόξενος was appointed by his own country to look after the interests of any particular foreign nation; and that the ἐθελοπρόξενος took the charge upon himself without any such official appointment. The πρόξενοι, properly so called, were rare; most of those who bear the title either in ancient writers or in inscriptions being in fact ἐθελοπρόξενοι. See Böckh, Corpus Inscrip-

οὗτοι οἱ ἄνδρες ἐς δίκην, λέγοντες Ἀθηναίοις τὴν Κέρκυραν
5 καταδουλοῦν. ὁ δὲ ἀποφυγὼν ἀνθυπάγει αὐτῶν τοὺς πλουσιωτάτους πέντε ἄνδρας, φάσκων τέμνειν χάρακας ἐκ τοῦ τε Διὸς [τοῦ] τεμένους καὶ τοῦ Ἀλκίνου· ζημία δὲ καθ' ἑκάστην
6 χάρακα ἐπέκειτο στατήρ. ὀφλόντων δὲ αὐτῶν καὶ πρὸς τὰ 5

4. τοῦ τεμένους A.C.E.F.K.L.N.O.P.V.d.e.f.g.h. Poppo. Haack. Vulgo, Bekk. Goell. διὸς τεμένους. καὶ ἀλκίνου L.O.P. 5. ὀφειλόντων A.B.E.F.V.h. δὲ καὶ αὐτῶν K.

tion. vol. I. p. 731, 732. I have said in a former note, II. 29, 1. that the proxenus discharged his office gratuitously. This is generally true, as far as regards any regular salary; although he received many honours and privileges from the state whose proxenus he was, such for instance as the right of holding land in their country. But one remarkable Corcyræan inscription, (Böckh, vol. II. p. 17. Insc. 1840.) contains a detailed account of lands purchased by the state for the use of the various proxeni who in different countries took charge of the interests of Corcyræan citizens. But these lands were not granted to them as property: they were only to have the usufruct of them so long, I suppose, as they should hold their offices.

3. φάσκων τέμνειν χάρακας] Probably vine sticks, round which the vines were trained. Thomas Magister in χάραξ, p. 911. ἡ χάραξ ἐπὶ ἀμπέλου—ὁ χάραξ ἐπὶ στρατοπέδου. See also Pollux, I. §. 162. Phrynichus, p. 61. Lobeck. To understand the account in the text, we must suppose that the individuals whom Peithias prosecuted were the tenants of the sacred ground from which the sticks were cut, and possibly had inherited the possession of it from their ancestors, so that they regarded it from long use as their own property, just as the Roman aristocracy thought themselves aggrieved when an Agrarian law called upon them to resign the possession of the national lands which they had for so many generations appropriated to themselves without any lawful title. As hereditary tenants of the sacred ground, the Corcyræan nobles had probably been always in the habit of treating it as their own; so that when suddenly charged with sacrilege in abusing their rights as tenants by cutting down the trees which belonged not to them but to the god, the owner of the land, they, like the Roman nobility, had no legal defence to make, and could only maintain their encroachments by violence.

5. στατήρ] Probably the silver stater, or tetradrachm; and not the gold stater, which was equal to twenty drachmæ. See Böckh. Staatshaushalt. der Athen. I. p. 16. 22. (Engl. Transl. p. 24. 33.) and the authors there quoted. So in Xenophon, Hellenics, V. 2, 22. the silver stater appears to be meant, when the writer is speaking of the fine imposed by the Lacedæmonians upon those of their allies who did not join in an expedition; they were to pay a stater a day for every man short of their proper contingent.

ὀφλόντων δὲ αὐτῶν] "Being sen-"tenced to pay the fine." The grammarians distinguish between ὄφλειν and ὀφείλειν, ὄφλημα and ὀφείλημα, ὄφλειν and ὄφλημα relating to the demands of justice upon a man, while ὀφείλειν and ὀφείλημα signify "to owe money," and "a debt," in the ordinary sense of the terms. See Phrynichus, p. 463. Thom. Magist. p. 666. Elmsley and Bekker read ὀφλεῖν (Elmsl. Eurip. Heraclid. 985. Bekk. Thucyd. preface to smaller edit.) maintaining that the word is used in the aorist only, and not in the present. Photius, on the other hand, writes ὄφλειν, and says that the first syllables of this and other such words are marked by Attic writers with the acute accent. He also writes ὄφλουσι, as if there were a present tense to the

ἱερὰ ἱκετῶν καθεζομένων διὰ πλῆθος τῆς ζημίας, ὅπως ταξάμενοι ἀποδῶσιν, ὁ Πειθίας (ἐτύγχανε γὰρ καὶ βουλῆς ὢν) πείθει ὥστε τῷ νόμῳ χρήσασθαι. οἱ δ' ἐπειδὴ τῷ τε νόμῳ 7 ἐξείργοντο καὶ ἅμα ἐπυνθάνοντο τὸν Πειθίαν, ἕως ἔτι βουλῆς 5 ἐστὶ, μέλλειν τὸ πλῆθος ἀναπείσειν τοὺς αὐτοὺς Ἀθηναίοις φίλους τε καὶ ἐχθροὺς νομίζειν, ξυνίσταντό τε καὶ λαβόντες ἐγχειρίδια, ἐξαπιναίως ἐς τὴν βουλὴν ἐσελθόντες, τόν τε Πειθίαν κτείνουσι καὶ ἄλλους τῶν τε βουλευτῶν καὶ ἰδιωτῶν ἐς ἑξήκοντα. οἱ δέ τινες τῆς αὐτῆς γνώμης τῷ Πειθίᾳ 8 10 ὀλίγοι ἐς τὴν Ἀττικὴν τριήρη κατέφυγον ἔτι παροῦσαν. LXXI. δράσαντες δὲ τοῦτο καὶ ξυγκαλέσαντες Κερκυραίους εἶπον ὅτι ταῦτα καὶ βέλτιστα εἴη καὶ ἥκιστ' ἂν δουλωθεῖεν ὑπ' Ἀθηναίων, τό τε λοιπὸν μηδετέρους δέχεσθαι ἀλλ' ἢ μιᾷ νηὶ ἡσυχάζοντας, τὸ δὲ πλέον πολέμιον ἡγεῖσθαι. ὡς δὲ 2 15 εἶπον, καὶ ἐπικυρῶσαι ἠνάγκασαν τὴν γνώμην. πέμπουσι δὲ 3

1. διὰ πλῆθος A.B.C.E.F.G.H.K.L.N.O.P.Q.V.c.d.e.f.g.i. Haack. Poppo. Goell. Bekk. ceteri διὰ τὸ πλῆθος. τῆς] τε h. om. g. 5. ἀθηναίους C. 8. καὶ τοὺς ἄλλους K. 9. ἐς] ὡς L. om. K. οἱ] εἰ g. 13. οὐδετέρους G.d.i. 14. ὡς εἶδον e. 15. δὲ] om. c.

word. I have therefore not thought it worth while to adopt Elmsley's alteration.

1. ὅπως ταξάμενοι ἀποδῶσιν] Pensionibus, hoc est, τεταγμέναις ταῖς καταβολαῖς, Budæus in Commentar. p. 639. ubi Thucydidem eadem ratione hoc verbo uti ostendit III. 50, 3. οἷς ἀγύριον Λέσβιοι ταξάμενοι τοῦ κλήρου ἑκάστου τοῦ ἐνιαυτοῦ δύο μνᾶς φέρειν. Sic I. 99, 3. οἱ πλείους αὐτῶν χρήματα ἐτάξαντο ἀντὶ τῶν νεῶν τὸ ἱκνούμενον ἀνάλωμα φέρειν. Ibid. cap. 101, 4. χρήματά τε ὅσα ἔδει ἀποδοῦναι αὐτίκα ταξάμενοι, καὶ τὸ λοιπὸν φέρειν. Et cap. 117, 4. καὶ χρήματα τὰ ἀναλωθέντα κατὰ χρόνους ταξάμενοι ἀποδοῦναι. Pollux, I. 169. χρήματα ταξάμενοι. DUKER.

3. τῷ τε νόμῳ ἐξείργοντο] "The "severity of the law shut them out "from all hope of saving themselves, "except by measures of violence." Compare Herodot. I. 31, 3. τῇ ὥρῃ ἐκκληϊόμενοι, and Isocrates, Archidam. p. 131. ἂν πανταχόθεν ἐξειργώμεθα.

12. εἶπον] This word must be repeated again before δέχεσθαι, but in a more technical sense; not simply "they "said," but "they moved," or "pro"posed;" Compare II. 24, 1. ἤν δέ τις εἴπῃ ἢ ἐπιψηφίσῃ κινεῖν τὰ χρήματα. The receiving only a single ship of war belonging to a foreign power, and considering the arrival of any greater number as an act of hostility, was a precaution adopted by states who wished to keep aloof from the disputes of their neighbours, and who knew that amidst the unscrupulousness of Greek political morality, their only security against the violence of a powerful nation consisted in keeping its forces at a distance from their territory altogether. Hence the clause in the alleged treaty concluded with Persia after the victories of Cimon, that no Persian fleet should navigate the Ægean. Compare also II. 7, 2. VI. 52, 1.

καὶ ἐς τὰς Ἀθήνας εὐθὺς πρέσβεις περί τε τῶν πεπραγμένων διδάξοντας ὡς ξυνέφερε, καὶ τοὺς ἐκεῖ καταπεφευγότας πείσοντας μηδὲν ἀνεπιτήδειον πράσσειν, ὅπως μή τις ἐπιστροφὴ γένηται. LXXII. ἐλθόντων δὲ οἱ Ἀθηναῖοι τούς τε πρέσβεις ὡς νεωτερίζοντας ξυλλαβόντες, 5 καὶ ὅσους ἔπεισαν, κατέθεντο ἐς Αἴγιναν. 2 ἐν δὲ τούτῳ τῶν Κερκυραίων οἱ ἔχοντες τὰ πράγματα ἐλθούσης τριήρους Κορινθίας καὶ Λακεδαιμονίων πρέσβεων ἐπιτίθενται τῷ δήμῳ· καὶ μαχόμενοι ἐνίκησαν. 3 ἀφικομένης δὲ νυκτὸς ὁ 10 μὲν δῆμος ἐς τὴν ἀκρόπολιν καὶ τὰ μετέωρα τῆς πόλεως καταφεύγει, καὶ αὐτοῦ ξυλλεγεὶς ἱδρύθη, καὶ τὸν Ὑλλαϊκὸν λιμένα εἶχον· οἱ δὲ τήν τε ἀγορὰν κατέλαβον, οὗπερ οἱ πολλοὶ ᾤκουν αὐτῶν, καὶ τὸν λιμένα τὸν πρὸς αὐτῇ καὶ πρὸς τὴν ἤπειρον. LXXIII. τῇ δ' 15 ὑστεραίᾳ ἠκροβολίσαντό τε ὀλίγα, καὶ ἐς τοὺς ἀγροὺς περιέπεμπον ἀμφότεροι [τοὺς δούλους παρακαλοῦντές τε] καὶ ἐλευθερίαν ὑπισχνούμενοι· καὶ τῷ μὲν δήμῳ τῶν οἰκετῶν τὸ πλῆθος

The ambassadors are arrested at Athens: and meanwhile the aristocratical party, encouraged by the arrival of ambassadors from Lacedæmon, commence an open attack upon the commons. The opposite factions occupy different parts of the city.

The commons invite the slaves to join them: the aristocratical party collect some barbarian auxiliaries from the mainland.

2. διδάξαντες P. πείσοντας] om. P.Q. 3. πράττειν L.O.P.d.e.i. 4. τούτους τοὺς πρέσβεις L.O.P. 6. ὅσους] οὓς L.O. 7. τῶν κερκυραίων A.B.E.F.G.H.L.O.P.Q.V.g. Haack. Poppo. Goell. Bekk. ceteri τῶν τε κερκυραίων. 8. τριήρους] νηὸς L.O.P.Q. τριήρου V. 10. δὲ τῆς νυκτὸς K. 11. τὰ] om. g. 12. καταφεύγει καὶ αὐτοῦ] om. K. 13. ἱδρύθη A.B.E.F.G.H.K.L.N.O.P.V.c.g. Haack. Poppo. Goell. Bekk. cum Thom. Mag. ἱδρύσθη b. G. et vulgo ἱδρύνθη. ὑλαϊκὸν Q. 14. τὸν λιμένα πρὸς d. 15. αὐτῇ A.B.C.E.F.G.H.K.L.N.O.P. Q.V.g. Haack. Poppo. Goell. Bekk. ceteri αὐτήν. 16. τε] om. O.P. ὀλίγον L. 17. παρακαλοῦντές τε τοὺς δούλους G.L.O. παρακαλοῦντες τοὺς δούλους P. 19. μὲν] om. Q. οἰκητῶν A.g.

2. τοὺς ἐκεῖ καταπεφευγότας] "Those "who had taken refuge there." Compare IV. 14, 1. ταῖς δὲ λοιπαῖς ἐν τῇ γῇ καταπεφευγυίαις ἐνέβαλλον. Göller however supposes that it is merely a condensed expression for τοὺς ἐκεῖ, ἐκεῖσε καταπεφευγότας, like τὸ ἐξ Ἐπιδαύρου τεῖχος ἐκλιπεῖν, V. 80, 3. ἡ ναυμαχία ἐτελεύτα ἐς νύκτα, I. 51, 3. and III. 106, 1. τοὺς ἐν Ὄλπαις Ἀμπρακιώτας ἥκοντας.

3. ἐπιστροφὴ] This word seems to signify what in modern language is called a "reaction," or "counter revo"lution." It appears to be borrowed from the sense in which it is used in military affairs, where it is applied to an army suddenly wheeling round, and moving in a different direction from that in which it had been moving before. Compare II 90, 5. 91, 1.

παρεγένετο ξύμμαχον, τοῖς δ' ἑτέροις ἐκ τῆς ἠπείρου ἐπίκουροι ὀκτακόσιοι. LXXIV. διαλιπούσης δ' ἡμέρας μάχη αὖθις γίγνεται, καὶ νικᾷ ὁ δῆμος χωρίων τε ἰσχύϊ καὶ πλήθει προέχων· αἵ τε γυναῖκες

At length the commons gain a complete victory.

5 αὐτοῖς τολμηρῶς ξυνεπελάβοντο βάλλουσαι ἀπὸ τῶν οἰκιῶν τῷ κεράμῳ καὶ παρὰ φύσιν ὑπομένουσαι τὸν θόρυβον. γενομένης δὲ τῆς τροπῆς περὶ δείλην ὀψίαν, δείσαντες οἱ ὀλίγοι 2 μὴ αὐτοβοεὶ ὁ δῆμος τοῦ τε νεωρίου κρατήσειεν ἐπελθὼν καὶ σφᾶς διαφθείρειεν, ἐμπιπρᾶσι τὰς οἰκίας τὰς ἐν κύκλῳ τῆς 10 ἀγορᾶς καὶ τὰς ξυνοικίας, ὅπως μὴ ᾖ ἔφοδος, φειδόμενοι οὔτε οἰκείας οὔτε ἀλλοτρίας· ὥστε καὶ χρήματα πολλὰ ἐμπόρων κατεκαύθη καὶ ἡ πόλις ἐκινδύνευσε πᾶσα διαφθαρῆναι, εἰ ἄνεμος ἐπεγένετο τῇ φλογὶ ἐπίφορος ἐς αὐτήν. καὶ οἱ μὲν 3 παυσάμενοι τῆς μάχης ὡς ἑκάτεροι ἡσυχάσαντες τὴν νύκτα 15 ἐν φυλακῇ ἦσαν· καὶ ἡ Κορινθία ναῦς τοῦ δήμου κεκρατηκότος ὑπεξανήγετο, καὶ τῶν ἐπικούρων οἱ πολλοὶ ἐς τὴν ἤπειρον λαθόντες διεκομίσθησαν. LXXV. τῇ δ' ἐπιγιγνο-

2. διαλειπούσης g. αὖθις μάχη g. 3. ἐγίγνετο Q. χωρίων δὲ C. 4. ἰσχὺν d.i. 5. ξυνελάβοντο c. 7. τῆς] om. b. 9. διέφθειρεν K. 11. οἰκίας Q. ὥστε om. G. 13. ἐγένετο L.d. ἐς] ἐπ' G.I.L.O.P.e. 14. ἡσυχάσοντες c. 16. λαθόντες ἐς τὴν ἤπειρον G.

7. δείλην ὀψίαν] "The late afternoon, "approaching towards evening," as δείλη πρωΐα is "the early afternoon "when the sun has just passed the "meridian." δείελος and δείλη signify the sun's heat according to Buttmann, who connects them both with εἵλη. See Buttmann's Lexilogus, in δείλη and δείελος, part II. p. 182 et seqq.

10. τὰς ξυνοικίας] Æschines against Timarchus, pag. 137. Reiske. ὅπου μὲν γὰρ πολλοὶ μισθωσάμενοι μίαν οἴκησιν διελόμενοι ἔχουσι, συνοικίαν καλοῦμεν· ὅπου δ' εἷς ἐνοικεῖ, οἰκίαν. Τὰς οἰκίας therefore relates to the houses of the rich, and τὰς ξυνοικίας to those of the poorer citizens, where different parts of the building were occupied by different families; and hence Thucydides adds, φειδόμενοι οὔτε οἰκείας οὔτε ἀλλοτρίας, that is neither their own οἰκίαι, nor the ξυνοικίαι of their poorer neighbours. The words οἰκείας and ἀλλοτρίας Poppo seems rightly to consider as genitive cases, "sparing neither any house of "their own, or of any one else." See Prolegom. I. p. 92. 132.

12. καὶ ἡ π.—διαφθαρῆναι] Thom. Magist. in βούλομαι. Mox Cod. Ar. pro ἐπεγένετο male ἐγένετο. Supra II. 77, 5. πνεῦμά τε εἰ ἐπεγένετο αὐτῇ (nempe φλογὶ, ut bene Schol.) ἐπίφορον,—οὐκ ἂν διέφυγον. Ὡς ἑκάτεροι sic dicit, ut sæpe ὡς ἕκαστοι. DUKER.

On the following day Nicostratus arrives with a small Athenian squadron, and mediating between the two parties, was on the point of reestablishing concord, when the distrust of the aristocratical party rekindles the suspicions of the commons, and 400 of the aristocratical interest are placed in custody in a small island in front of Corcyra.

μένῃ ἡμέρᾳ Νικόστρατος ὁ Διιτρέφους Ἀθηναίων στρατηγὸς παραγίγνεται βοηθῶν ἐκ Ναυπάκτου δώδεκα ναυσὶ καὶ Μεσσηνίων πεντακοσίοις ὁπλίταις· ξύμβασίν τε ἔπρασσε, καὶ πείθει ὥστε ξυγχωρῆσαι ἀλλήλοις δέκα 5 μὲν ἄνδρας τοὺς αἰτιωτάτους κρῖναι, οἳ οὐκέτι ἔμειναν, τοὺς δ' ἄλλους οἰκεῖν σπονδὰς πρὸς ἀλλήλους ποιησαμένους καὶ πρὸς Ἀθηναίους, ὥστε τοὺς αὐτοὺς ἐχθροὺς καὶ φίλους νομίζειν. 2 καὶ ὁ μὲν ταῦτα πράξας ἔμελλεν ἀποπλεύ- 10 σεσθαι· οἱ δὲ τοῦ δήμου προστάται πείθουσιν αὐτὸν πέντε μὲν ναῦς τῶν αὐτοῦ σφίσι καταλιπεῖν, ὅπως ἧσσόν τι ἐν κινήσει ὦσιν οἱ ἐναντίοι, ἴσας δὲ αὐτοὶ πληρώσαντες ἐκ 3 σφῶν αὐτῶν ξυμπέμψειν. καὶ ὁ μὲν ξυνεχώρησεν, οἱ δὲ 4 τοὺς ἐχθροὺς κατέλεγον ἐς τὰς ναῦς. δείσαντες δὲ ἐκεῖνοι μὴ 15 ἐς τὰς Ἀθήνας ἀποπεμφθῶσι καθίζουσιν ἐς τὸ τῶν Διο- 5 σκόρων ἱερόν. Νικόστρατος δὲ αὐτοὺς ἀνίστη τε καὶ παρε- 6 μυθεῖτο. ὡς δ' οὐκ ἔπειθεν, ὁ δῆμος ὁπλισθεὶς ἐπὶ τῇ προφάσει ταύτῃ, ὡς οὐδὲν αὐτῶν ὑγιὲς διανοουμένων τῇ τοῦ μὴ ξυμπλεῖν ἀπιστίᾳ, τά τε ὅπλα αὐτῶν ἐκ τῶν οἰκιῶν 20

1. διιτρεφοῦς G. διοτρεφοῦς Q.d. διιτρεφευς E. διοτρεφοῦς etiam infra IV. 119, 2. Q. et IV. 129, 2. d. Et VIII. 64, 2. omnes aut διοτρέφη habent (A.B.g.) aut διοτρεφῆ (L.O.P.g.) aut διοτρεφῆν (F.H.Q.) 8. πρὸς] παρ' d. 10. ἀποπλεύσασθαι d.i. 11. δήμου] μήδου g. 13. αὐτοὶ] om. c.f. 14. ξυμπέμπειν G.I.L.O.P. 15. τοὺς] κατ' O.P. δὲ ἐκεῖνοι] om. d. 16. διοσκόρων C.O. Bekk. in ed. 1832. διοσκουρίων i. A.B.E.F.G. et vulgo διοσκούρων. Conf. Lobeck. ad Phrynich. p. 235. 17. δὲ] τε F.H. 20. μὴ] om. g.

16. τῶν Διοσκόρων] Bekker has rightly adopted this reading from two MSS., but if not a single one had retained it, he would have been equally justified in restoring it; for Phrynichus not only mentions it as the correct form, but adds, γελάσεις οὖν τοὺς σὺν τῷ υ λέγοντας. p. 235. Lobeck. Compare the place in Athens called Λεωκόριον, not Λεωκούριον. In this as in many other instances the existing MSS. of Thucydides have followed the orthography of their own age, without attempting to preserve the Attic forms of the age of Thucydides.

19. τῇ τοῦ μὴ ξυμπλεῖν ἀπιστίᾳ] "From "their mistrust in not sailing with "them;" the genitive case explaining the meaning of τῇ ἀπιστίᾳ, as in the words already noticed, II. 49, 6. ἡ ἀπορία τοῦ μὴ ἡσυχάζειν. See the note on that passage.

ἔλαβε, καὶ αὐτῶν τινὰς οἷς ἐπέτυχον, εἰ μὴ Νικόστρατος ἐκώλυσε, διέφθειραν ἄν. ὁρῶντες δ' οἱ ἄλλοι τὰ γιγνόμενα 7 καθίζουσιν ἐς τὸ Ἡραῖον ἱκέται, καὶ γίγνονται οὐκ ἐλάσσους τετρακοσίων. ὁ δὲ δῆμος δείσας μή τι νεωτερίσωσιν ἀνίστησί 8 5 τε αὐτοὺς πείσας καὶ διακομίζει ἐς τὴν πρὸ τοῦ Ἡραίου νῆσον, καὶ τὰ ἐπιτήδεια ἐκεῖσε αὐτοῖς διεπέμπετο.

Shortly afterwards, the Peloponnesian fleet, under Alcidas, arrives off Corcyra:

LXXVI. Τῆς δὲ στάσεως ἐν τούτῳ οὔσης, τετάρτῃ ἢ πέμπτῃ ἡμέρᾳ μετὰ τὴν τῶν ἀνδρῶν ἐς τὴν νῆσον διακομιδήν, αἱ ἐκ τῆς Κυλλήνης Πελοποννησίων νῆες 10 μετὰ τὸν ἐκ τῆς Ἰωνίας πλοῦν ἔφορμοι οὖσαι παραγίγνονται τρεῖς καὶ πεντήκοντα· ἦρχε δὲ αὐτῶν Ἀλκίδας ὅσπερ καὶ πρότερον, καὶ Βρασίδας αὐτῷ ξύμβουλος ἐπέπλει. ὁρμισάμενοι δὲ ἐς Σύβοτα λιμένα τῆς 2 ἠπείρου ἅμα ἕῳ ἐπέπλεον τῇ Κερκύρᾳ.

the Athenians and Corcyræans sail out to meet the enemy: but owing to the confusion on board the Corcyræan ships, they are defeated, and driven back into Corcyra. (77, 78.)

LXXVII. οἱ δὲ 15 πολλῷ θορύβῳ, καὶ πεφοβημένοι τά τ' ἐν τῇ πόλει καὶ τὸν ἐπίπλουν, παρεσκευάζοντό τε ἅμα ἑξήκοντα ναῦς καὶ τὰς ἀεὶ πληρουμένας ἐξέπεμπον πρὸς τοὺς ἐναντίους, παραινούντων Ἀθηναίων σφᾶς τε ἐᾶσαι πρῶτον ἐκπλεῦσαι 20 καὶ ὕστερον πάσαις ἅμα ἐκείνους ἐπιγενέσθαι. ὡς δὲ αὐτοῖς πρὸς τοῖς πολεμίοις ἦσαν σποράδες αἱ νῆες, 2 δύο μὲν εὐθὺς ηὐτομόλησαν, ἐν ἑτέραις δὲ ἀλλήλοις οἱ

2. διέφθειρεν K.P.d.e. 3. ἥραιον et mox 5 ἥραιου F. 4. τριακοσίων N.V. τι] om. Q. 6. διεπέμποντο L.O.P.d. 9. κυλλήνης] μιτυλήνης d.i. 11. ἦγε F. 12. ἀλκείδας K. ὅσπερ B.F.G.H.K.P.g. Bekk. ed. 1832. A.E. et vulgo ὥσπερ. 13. σύβλοτα V. 14. ἕῳ] ἕως P. 15. τῇ] om. e. 20. ἐκείναις e. 21. σποράδες ἦσαν G.

10. ἔφορμοι οὖσαι] The substantive ἔφορμος occurs several times in Thucydides, III. 6, 1. IV. 27, 1. 32, 1. but this is the only passage in which I have found the word as an adjective: nor is its meaning easy to determine. Portus renders "ex Cyllene, ubi post reditum "ex Ionia, stationem habebant." Mr. Bloomfield, "having kept in port there "since their voyage from Ionia." Poppo and Göller understand it also in the same manner, ἐν Κυλλήνῃ ὁρμοῦσαι. But the participle οὖσαι should then, I think, have been γενομέναι, so that it does not appear certain that ἔφορμος is not rather connected with the substantive, and so signifies "cruizing for, or "blockading an enemy." The sense would then be "forming a fleet to cruize "off Corcyra, and watch for an oppor- "tunity of gaining the island to their "alliance."

ἐμπλέοντες ἐμάχοντο, ἦν δὲ οὐδεὶς κόσμος τῶν ποιουμένων.
3 ἰδόντες δὲ οἱ Πελοποννήσιοι τὴν ταραχὴν εἴκοσι μὲν ναυσὶ
πρὸς τοὺς Κερκυραίους ἐτάξαντο, ταῖς δὲ λοιπαῖς πρὸς τὰς
δώδεκα ναῦς τῶν Ἀθηναίων, ὧν ἦσαν αἱ δύο Σαλαμινία καὶ
Πάραλος. LXXVIII. καὶ οἱ μὲν Κερκυραῖοι κακῶς τε καὶ 5
κατ' ὀλίγας προσπίπτοντες ἐταλαιπωροῦντο καθ' αὑτούς· οἱ
δ' Ἀθηναῖοι φοβούμενοι τὸ πλῆθος καὶ τὴν περικύκλωσιν
ἀθρόαις μὲν οὐ προσέπιπτον οὐδὲ κατὰ μέσον ταῖς ἐφ' ἑαυ-
τοὺς τεταγμέναις, προσβαλόντες δὲ κατὰ κέρας καταδύουσι
2 μίαν ναῦν. καὶ μετὰ ταῦτα κύκλον ταξαμένων αὐτῶν περιέ- 10
3 πλεον καὶ ἐπειρῶντο θορυβεῖν. γνόντες δὲ οἱ πρὸς τοῖς Κερ-
κυραίοις, καὶ δείσαντες μὴ ὅπερ ἐν Ναυπάκτῳ γένοιτο, ἐπι-
βοηθοῦσι· καὶ γενόμεναι ἀθρόαι αἱ νῆες ἅμα τὸν ἐπίπλουν
4 τοῖς Ἀθηναίοις ἐποιοῦντο. οἱ δ' ὑπεχώρουν ἤδη πρύμναν
κρουόμενοι, καὶ ἅμα τὰς τῶν Κερκυραίων ἐβούλοντο προ- 15
καταφυγεῖν ὅτι μάλιστα ἑαυτῶν σχολῇ τε ὑποχωρούντων

4. ναῦς c. 6. ἑαυτοὺς V. 7. τὴν] om. g. 8. ἑαυτοῖς E.b. αὐτοὺς c.f. 9. προσβάλλοντες L.O.P. προσβαλόντων i. 10. αὐτῶν] om. g. 13. αἱ] om. Q. 15. κρουσάμενοι c.f. ταῖς O. 16. ἑαυτῶν] om. K. ante ὅτι ponit B. post ὅτι h.

4. ὧν ἦσαν αἱ δύο] "Of which num-"ber were the two well known ships, "Salaminia and Paralus." So Blume explains the article, as he is quoted by Poppo and Göller in their notes.

5. Πάραλος] Adeas Ulpianum in Demosth. Mid. p. 216. c. WASS.

6. κατ' ὀλίγας προσπίπτοντες] "At-"tacking in detachments of a few ships "at a time." Compare Herodot. IX. 62, 5. προεξαΐσσοντες κατ' ἕνα, καὶ δέκα, καὶ πλεῦνές τε καὶ ἐλάσσονες συστρεφόμενοι. Κατ' ὀλίγον is used by Thucydides in the same sense, IV. 10, 3. V. 9, 1. VI. 34, 4.

ἐταλαιπωροῦντο καθ' αὑτούς] "Were "in a bad condition of themselves;" that is, their own disorder had almost defeated them before they began to engage. Compare IV. 71, 1. ἡ πόλις ἐν μάχῃ καθ' αὑτὴν οὖσα, and IV. 64, 3, 4. 65, 1. VI. 13. Καθ' αὑτοὺς expresses that the enemy had nothing to do with their bad condition, but that it was all owing to themselves; so that the sense is not ill expressed by Valla, "a se ipsis "profligabantur." Those are, I think, mistaken who understand the words of the disorder of the Corcyræans *alone*, i. e. that they were in a bad condition, but that this did not extend to the Athenians.

8. ἀθρόαις μὲν οὐ προσέπιπτον] They did not attack the whole enemy's fleet collected, nor did they even attack in the centre that part of the enemy's fleet which was drawn up directly against themselves, but they attacked it on one of its extremities or wings, and sunk one ship. κατὰ κέρας clearly is used relatively to κατὰ μέσον. Dobree, I think, strangely misunderstands the passage.

καὶ πρὸς σφᾶς τεταγμένων τῶν ἐναντίων. ἡ μὲν οὖν ναυ- 5 μαχία τοιαύτη γενομένη ἐτελεύτα ἐς ἡλίου δύσιν.

LXXIX. Καὶ οἱ Κερκυραῖοι δείσαντες μὴ σφίσιν ἐπιπλεύσαντες ἐπὶ τὴν πόλιν ὡς κρατοῦντες οἱ πολέμιοι ἢ τοὺς 5 ἐκ τῆς νήσου ἀναλάβωσιν ἢ καὶ ἄλλο τι νεωτερίσωσι, τούς τε ἐκ τῆς νήσου πάλιν ἐς τὸ Ἡραῖον διεκόμισαν καὶ τὴν πόλιν ἐφύλασσον. οἱ δ' ἐπὶ μὲν τὴν πόλιν οὐκ ἐτόλμησαν πλεῦσαι κρατοῦντες 2 τῇ ναυμαχίᾳ, τρεῖς δὲ καὶ δέκα ναῦς ἔχοντες τῶν Κερκυραίων 10 ἀπέπλευσαν ἐς τὴν ἤπειρον, ὅθενπερ ἀνηγάγοντο. τῇ δ' 3 ὑστεραίᾳ ἐπὶ μὲν τὴν πόλιν οὐδὲν μᾶλλον ἐπέπλεον, καίπερ ἐν πολλῇ ταραχῇ καὶ φόβῳ ὄντας, καὶ Βρασίδου παραινοῦντος, ὡς λέγεται, Ἀλκίδᾳ, ἰσοψήφου δὲ οὐκ ὄντος· ἐπὶ δὲ τὴν Λευκίμμην τὸ ἀκρωτήριον ἀποβάντες ἐπόρθουν τοὺς ἀγρούς

Alcidas is afraid to pursue his advantage, notwithstanding the general panic in Corcyra.

15 LXXX. ὁ δὲ δῆμος τῶν Κερκυραίων ἐν τούτῳ, περιδεὴς γενόμενος μὴ ἐπιπλεύσωσιν αἱ νῆες, τοῖς τε ἱκέταις ᾖεσαν ἐς λόγους καὶ τοῖς ἄλλοις ὅπως σωθήσεται ἡ πόλις. καί τινας αὐτῶν ἔπεισαν ἐς τὰς ναῦς 2 ἐσβῆναι· ἐπλήρωσαν γὰρ ὅμως τριάκοντα, 20 [προσδεχόμενοι τὸν ἐπίπλουν]. οἱ δὲ Πελο- 3 ποννήσιοι μέχρι μέσου ἡμέρας δῃώσαντες τὴν γῆν ἀπέπλευσαν, καὶ ὑπὸ νύκτα αὐτοῖς ἐφρυκτωρήθησαν ἑξήκοντα νῆες Ἀθηναίων προσπλέουσαι ἀπὸ

Meantime Eurymedon with a large Athenian fleet is reported to be advancing to the island; and Alcidas makes his escape in great haste and returns to Peloponnesus.

3. πλεύσαντες Q.g. 5. ἢ] εἰ K. καὶ] om. e. ἄλλωι F. 6. πάλιν L.O.P.Q.V. Poppo. Goell. Bekk. Vulgo, et Haack. πάλαι. 7. ἥραιον B.E.F. Sic infra c. 81, 2. A.B.E.F. 9. τῇ] om. Q. τρισκαίδεκα δὲ A.C.E.F.G.H. K.L.N.O.P.Q.V.c.e.f.g. Haack. Poppo. τρεῖς καὶ δέκα, omisso δὲ, B.h. 10. ἀνήγοντο Q. 11. ἐπέπλεον] om. d. 12. βρασίδα c.f. 14. λευκίμμην B.E. F.V.H.c.h. Poppo. Goell. Vulgo, Haack. Bekk. λευκίμνην. 16. οἰκέταις L.O.P. 18. νῆας g. 19. ἐσβῆναι B.C.E.F.G.H.I.K.L.N.O.P.V.d.e.f.g.h.i. Haack. Poppo. Goell. Bekk. ἐμβῆναι (ἐσ superscript) A. vulgo ἐμβῆναι. 20. [προσδεχόμενοι τὸν ἐπίπλουν]] om. A.H.g. Poppo. in margine ponunt B.F.h. uncis inclusit Bekk. 21. μέσης d. 22. καὶ] om. L.P. 23. πλέουσαι I.V.

19. ἐπλήρωσαν γὰρ ὅμως τριάκοντα] ὅμως means, "notwithstanding the general dismay and confusion, they *still* contrived to man thirty ships."

22. ἐφρυκτωρήθησαν ἑξήκοντα νῆες] Compare the note on ch. 22, 9. Bredow

Λευκάδος· ἃς οἱ Ἀθηναῖοι πυνθανόμενοι τὴν στάσιν καὶ τὰς μετ' Ἀλκίδου ναῦς ἐπὶ Κέρκυραν μελλούσας πλεῖν ἀπέστειλαν, καὶ Εὐρυμέδοντα τὸν Θουκλέους στρατηγόν. LXXXI. οἱ μὲν οὖν Πελοποννήσιοι τῆς νυκτὸς εὐθὺς κατὰ τάχος ἐκομίζοντο ἐπ' οἴκου παρὰ τὴν γῆν· καὶ ὑπερενεγκόντες 5 τὸν Λευκαδίων ἰσθμὸν τὰς ναῦς, ὅπως μὴ περιπλέοντες

2 The popular party in Corcyra, now secure of their triumph, commence a bloody massacre of their opponents, which lasts for seven days, with circumstances of atrocity hitherto unexampled in Greece.

ὀφθῶσιν, ἀποκομίζονται. Κερκυραῖοι δὲ αἰσθόμενοι τάς τε Ἀττικὰς ναῦς προσπλεούσας τάς τε τῶν πολεμίων οἰχομένας, λαβόντες τούς τε Μεσσηνίους ἐς τὴν πόλιν ἤγαγον πρότερον 10 ἔξω ὄντας, καὶ τὰς ναῦς περιπλεῦσαι κελεύσαντες ἃς ἐπλήρωσαν ἐς τὸν Ὑλλαϊκὸν λιμένα, ἐν ὅσῳ περιεκομίζοντο, τῶν ἐχθρῶν εἴ τινα λάβοιεν, ἀπέκτεινον· καὶ ἐκ τῶν νεῶν ὅσους ἔπεισαν ἐσβῆναι ἐκβιβά-

2. ἀλκείδου c.f. 6. τὸν] τῶν A.B.C. prima manu. E.F.H.c. 7. αἰσθανόμενοι Dionysius. 8. ἐσπλεούσας e. 9. τε post τοὺς om. V. 12. ὑλιακὸν L. 13. ἀπέκτειναν e.f. 14. ἐκβιάζοντες A.B.F.

seems rightly to infer that these words shew something more to have been communicated by the ancient fire signals than the mere intimation of the appearance of an enemy; for instance, they seem on this occasion to have announced the number of the enemy's fleet, and the quarter in which it was seen approaching.

11. καὶ τὰς ναῦς περιπλεῦσαι] The ships were sent round to the Hyllaic harbour, because, as appears from ch. 72, 3. that harbour was near to those parts of the city where the democratical interest was strongest, as the other harbour near the market-place was in the heart of the aristocratical quarter. But it is not so clear what is meant by the following words, ἐν ὅσῳ περιεκομίζοντο, τῶν ἐχθρῶν εἴ τινα λάβοιεν ἀπέκτεινον. Dr. Bloomfield and Göller think that the subject to ἀπέκτεινον as well as to the verb following is, "the Corcyræans "on board the thirty ships;" and εἴ τινα λάβοιεν they suppose to mean, "any of the opposite party whom they "caught attempting to escape by sea." Haack and Poppo understand the words of a massacre going on in the city while the ships were sailing round. The question somewhat depends upon the very uncertain reading of the following verb ἀπεχρῶντο or ἀνεχρήσαντο or ἀπεχρήσαντο. If we adopt the first of these readings, then the subject to ἀπεχρῶντο must certainly be οἱ ἐν ταῖς ναυσί; and in that case it would be most natural to make the same term also the subject of ἀπέκτεινον. But if we read ἀπεχρήσαντο or ἀνεχρήσαντο, to which the corrupt ἀπεχώρησαν of the MSS. most easily leads us, then I think the subject to the whole passage is οἱ ἐν τῇ πόλει. And then the meaning may be this. "The people sent "round the ships to the Hyllaic har-"bour in order to have their enemies "on board these ships wholly in their "power when they should come to "land. But they began their massacre "even before the ships could get round "to the Hyllaic harbour, by killing "any of their enemies whom they could "lay hold of in the city. Then when

ζοντες †ἀνεχρήσαντο†, ἐς τὸ Ἡραῖόν τε ἐλθόντες τῶν ἱκετῶν ὡς πεντήκοντα ἄνδρας δίκην ὑποσχεῖν ἔπεισαν καὶ κατέγνωσαν πάντων θάνατον. 3 οἱ δὲ πολλοὶ τῶν ἱκετῶν, ὅσοι οὐκ ἐπείσθησαν, ὡς ἑώρων τὰ γιγνόμενα, διέφθειραν αὐτοῦ ἐν τῷ 5 ἱερῷ ἀλλήλους, καὶ ἐκ τῶν δένδρων τινὲς ἀπήγχοντο, οἱ δ' ὡς ἕκαστοι ἐδύναντο ἀνηλοῦντο. 4 ἡμέρας τε ἑπτά, ἃς ἀφικόμενος ὁ Εὐρυμέδων ταῖς ἑξήκοντα ναυσὶ παρέμεινε, Κερκυραῖοι σφῶν αὐτῶν τοὺς ἐχθροὺς δοκοῦντας εἶναι ἐφόνευον, τὴν μὲν αἰτίαν ἐπιφέροντες τοῖς τὸν δῆμον καταλύουσιν,

1. †ἀνεχρήσαντο†] Libri omnes, Haack. Bekk. ἀπεχώρησαν. ἀπεχρῶντο marg. F.N.V.e. Poppo. Goell. ἀνεχώρησαν Dionys. p. 150. ἀνεχρῶντο marg. Parm. vid. not. οἰκετῶν L. 3. ἁπάντων Dionysius. 4. διέφθειρον I.d. 4. ἀλλήλους ἐν τῷ ἱερῷ e. 6. ἀνηροῦντο Q. ἃς] om. K. ἀφικόμενος ὁ εὐρυμέδων B.E.F.H.g.h. cum Dionysio. Poppo. Goell. Bekk. ἀφικόμενός τε εὐρυμέδων K. A.G. et ceteri ἀφικόμενος εὐρυμέδων. 7. παρέμενε V. κερκυραῖοι A.B.C.E. F.G.H.K.L.N.O.P.Q.V.c.d.e.f.g.h.i. Haack. Poppo Goell. Bekk. ceteri οἱ κερκυραῖοι. 8. τοὺς δοκοῦντας ἐχθροὺς V.

"the ships arrived, they murdered the "men whom they had persuaded to go "on board, as they were bringing them "out of the vessels: and after this, "they proceeded to the temple of Juno "and began the butchery there." ἐκβιβάζοντες ἀνεχρήσαντο or ἀπεχρήσαντο, and not ἐκβιβάσαντες, because the massacre took place whilst the men were in the very act of landing: the multitude probably waited for them on the shore, and slaughtered them as they were coming out of the vessels.

1. †ἀνεχρήσαντο†] I have ventured to introduce this word into the text, as the most probable correction of the evidently corrupt reading of the MSS. ἀπεχώρησαν. My reasons for preferring ἀνεχρήσαντο to the marginal reading of the Augsburg and Clarendon MSS. (F.N.) ἀπεχρῶντο, which the Venetian MS. V. has in the text, and which has been adopted by Poppo and Göller, are partly because Dionysius, or the present text of Dionysius, in quoting this passage, reads ἀνεχώρησαν, but chiefly because Hesychius, Suidas, Phavorinus, and Pollux, (IX. 153.) all refer to Thucydides as using the word ἀνεχρήσαντο in the sense of "dispatching, killing," ἀνεχρήσαντο, διέφθειραν· οὕτω Θουκυδίδης. Now ἀνεχρήσαντο is nowhere to be found in our present copies of Thucydides; and I have no doubt that the grammarians referred to this passage, rather than to I. 126, 11. where our present text exhibits διεχρήσαντο, in the same sense of "despatched, destroyed." Add to which, that the margin of the Parma MS., written apparently by the same person who wrote the text, gives ἀνεχρῶντο. ἀνεχρήσαντο occurs often in Dion Cassius, XLVII. 34. LI. 1. LIX. 8. But as the grammarians also quote ἀπεχρήσαντο as used by Thucydides in the same sense, it is not easy to decide which of these two readings deserves the preference.

2. κατέγνωσαν πάντων θάνατον] See the notes on I. 95, 3. III. 16, 1.

6. ἀνηλοῦντο] Suidas ἀναλοῦντες, ἀντὶ τοῦ ἀναιροῦντες, Θουκυδίδης. Et, ἀνήλευται, πεφόνευται. Æschyl. Sept. cont. Theb. 819. Αὐτὸς δ' ἀναλοῖ δῆτα δύσποτμον γένος. Schol. ἀπόλλυσι. DUKER.

9. τὴν μὲν αἰτίαν ἐπιφέροντες κ. τ. λ.] Or in other words, "professing to "punish none but those who had con-"spired against the commons, but in "fact many were killed from motives

ἀπέθανον δέ τινες καὶ ἰδίας ἔχθρας ἕνεκα, καὶ ἄλλοι χρη-
μάτων σφίσιν ὀφειλομένων ὑπὸ τῶν λαβόντων· πᾶσά τε
ἰδέα κατέστη θανάτου, καὶ οἷον φιλεῖ ἐν τῷ τοιούτῳ γίγνε-
5 σθαι, οὐδὲν ὅ τι οὐ ξυνέβη, καὶ ἔτι περαιτέρω. καὶ γὰρ
πατὴρ παῖδα ἀπέκτεινε, καὶ ἀπὸ τῶν ἱερῶν ἀπεσπῶντο καὶ 5
πρὸς αὐτοῖς ἐκτείνοντο, οἱ δέ τινες καὶ περιοικοδομηθέντες ἐν
6 τοῦ Διονύσου τῷ ἱερῷ ἀπέθανον. οὕτως ὠμὴ στάσις προὺ-
χώρησε, καὶ ἔδοξε μᾶλλον, διότι ἐν τοῖς πρώτη ἐγένετο,
LXXXII. ἐπεὶ ὕστερόν γε καὶ πᾶν ὡς εἰπεῖν τὸ Ἑλληνικὸν

7. †ἐπελθοῦσα† ἀπὸ τῆς τότε οὔσης γῆς] I believe that Göller [with Haack and Poppo] is right in thinking that ἐπανελθοῦσα is the true reading. "The "sea first retired from what was then the "line of the coast, and afterwards rising "in a heap or head of water it invaded "a part of the city; and though the "inundation afterwards partly subsided, "yet in part also it was permanent; in"somuch that some of what was for"merly land is now sea." The previous retiring of the sea, as the precursor of the inundation, is noticed twice afterwards in the chapter; κύματος ἐπαναχώρησίς τις, οὐ μέντοι ἐπέκλυσέ γε, where it is spoken of as remarkable that the retreat of the sea was not followed by an inundation; and again, ἀποστέλλειν τὴν θάλασσαν. The word ὑπονοστεῖν, to express the subsidence of water, occurs in Herodotus, I. 191, 5. and to express the settling downwards of a solid body, owing to the gradual effect of the weather, IV. 62, 3. [Dobree also reads ἐπανελθοῦσα.]

12. Ἀταλάντην] De Atalanta et castello Atheniensium in ea, est etiam supr. II. 32, 1. De ellipsi τοῦ μέρος, quam in his τοῦ τε φρουρίου statuit Schol. plura habet Stephanus Animadv. in lib. de Dialect. p. 45. DUKER.

δ' ἔγωγε νομίζω τοῦ τοιούτου, ᾗ ἰσχυρότατος ὁ σεισμὸς ἐγένετο, κατὰ τοῦτο ἀποστέλλειν τε τὴν θάλασσαν καὶ ἐξαπίνης πάλιν ἐπισπωμένην βιαιότερον τὴν ἐπίκλυσιν ποιεῖν· ἄνευ δὲ σεισμοῦ οὐκ ἄν μοι δοκεῖ τὸ τοιοῦτο ξυμβῆναι 5 γενέσθαι.

SICILY.
Operations of the Athenians: they reduce Messina to join their confederacy.

XC. Τοῦ δ' αὐτοῦ θέρους ἐπολέμουν μὲν καὶ ἄλλοι ὡς ἑκάστοις ξυνέβαινεν ἐν τῇ Σικελίᾳ, καὶ αὐτοὶ οἱ Σικελιῶται ἐπ' ἀλλήλους στρατεύοντες καὶ οἱ Ἀθηναῖοι ξὺν τοῖς σφετέροις ξυμμάχοις· ἃ δὲ λόγου 10 μάλιστα ἄξια ἢ μετὰ τῶν Ἀθηναίων οἱ ξύμμαχοι ἔπραξαν ἢ πρὸς τοὺς Ἀθηναίους οἱ ἀντιπολέμιοι, τούτων μνησθήσομαι. 2 Χαροιάδου γὰρ ἤδη τοῦ Ἀθηναίων στρατηγοῦ τεθνηκότος ὑπὸ Συρακοσίων πολέμῳ, Λάχης ἅπασαν ἔχων τῶν νεῶν τὴν ἀρχὴν ἐστράτευσε μετὰ 15 τῶν ξυμμάχων ἐπὶ Μυλὰς τὰς τῶν Μεσσηνίων. 3 ἔτυχον δὲ δύο φυλαὶ ἐν ταῖς Μυλαῖς τῶν Μεσσηνίων φρουροῦσαι καί τινα καὶ ἐνέδραν πεποιημέναι τοῖς ἀπὸ τῶν νεῶν. 4 οἱ δὲ Ἀθηναῖοι καὶ οἱ ξύμμαχοι τούς τε ἐκ τῆς ἐνέδρας τρέπουσι καὶ διαφθείρουσι πολλούς, καὶ τῷ ἐρύματι προσβαλόντες 20 ἠνάγκασαν ὁμολογίᾳ τήν τε ἀκρόπολιν παραδοῦναι καὶ ἐπὶ Μεσσήνην ξυστρατεῦσαι. 5 καὶ μετὰ τοῦτο ἐπελθόντων οἱ Μεσσήνιοι τῶν τε Ἀθηναίων καὶ τῶν ξυμμάχων προσεχώρησαν καὶ αὐτοί, ὁμήρους τε δόντες καὶ τἆλλα πιστὰ παρασχόμενοι.

1. ἐγὼ B.K. νομίζω τοῦ τοιούτου A.B.C.E.F.G.H.K.L.O.Q.V.c.e.f.g. Haack. Poppo. Goell. Bekk. νομίζω τοιούτου i. Vulgo τοῦ τοιούτου νομίζω. 2. ἐγένετο] γέγονε c. 3. ἐπισπομένην corr. F. 4. δοκῇ E.F.H.N.V.g. τὸ τοιοῦτον N. τοῦτο L. τοῦτο τοιοῦτο Q. 6. μὲν] om. K. 7. ἕκαστος d. 9. σὺν B.C.E.h. 12. χαριάδου L. γὰρ] δὲ g. τοῦ] τῶν B. 14. λάχης ὁ πᾶσαν E. ἐστράτευε c. 15. ἐπὶ μυλὰς τὰς μεσσηνίων C.O.P.Q.c.d.e.i. ἐπὶ μύλας τὰς μεσσηνίων K. qui et mox μύλαις. ἐπὶ τὰς μυλὰς τῶν μεσσηνίων L. 16. ἐν ταῖς μυλαῖς δύο φυλαὶ L.O.P.d. 17. πεποιηκέναι L.O.P. unde πεποιηκυῖαι efficit Coraes Plutarch. I. p. 375. 19. προβαλόντες Q. 21. ξυνστρατεῦσαι prima manu C. 23. τἄλλα e. Poppo. τἆλλα Bekk. Goell. vulgo et Poppo. ed. 1845. τὰ ἄλλα. παρεχόμενοι V.g.

17. πεποιημέναι] For this middle sense of the passive form of the perfect, see Matthiæ, Gr. Gr. §. 493. Poppo, Prolegomen. I. p. 191.

23. τἆλλα πιστὰ παρασχόμενοι] "Satisfying the Athenians in all other

PELOPONNESUS, ÆGEAN SEA, &c. A. C. 426. Olymp. 88. 3.

PELOPONNESUS, ÆGEAN SEA, &c. Various operations of the Athenians. Unsuccessful attempt upon Melos. Descent on Bœotia.

XCI. Τοῦ δ' αὐτοῦ θέρους οἱ Ἀθηναῖοι τριάκοντα μὲν ναῦς ἔστειλαν περὶ Πελοπόννησον, ὧν ἐστρατήγει Δημοσθένης τε ὁ Ἀλκισθένους καὶ Προκλῆς ὁ Θεοδώρου, ἑξήκοντα δὲ ἐς Μῆλον καὶ δισχιλίους ὁπλίτας· ἐστρατήγει δὲ αὐτῶν Νικίας ὁ Νικηράτου. 2 τοὺς γὰρ Μηλίους ὄντας νησιώτας καὶ οὐκ ἐθέλοντας ὑπακούειν οὐδὲ ἐς τὸ αὑτῶν 3 ξυμμαχικὸν ἰέναι ἐβούλοντο προσαγαγέσθαι. ὡς δὲ αὐτοῖς δῃουμένης τῆς γῆς οὐ προσεχώρουν, ἄραντες ἐκ τῆς Μήλου αὐτοὶ μὲν ἔπλευσαν ἐς Ὠρωπὸν τῆς πέραν γῆς, ὑπὸ νύκτα δὲ σχόντες εὐθὺς ἐπορεύοντο οἱ ὁπλῖται ἀπὸ τῶν νεῶν πεζῇ 4 ἐς Τάναγραν τῆς Βοιωτίας. οἱ δ' ἐκ τῆς πόλεως πανδημεὶ Ἀθηναῖοι, Ἱππονίκου τε τοῦ Καλλίου στρατηγοῦντος καὶ

1. οἱ] om. d. μὲν] om. K. 3. πατροκλῆς L.O.P.d.e.i. 5. νικηρείτου i. 7. αὐτὸ d.g. αὐτὸν V. 8. προσάγεσθαι I. 9. προσεχώρησαν L.O.P. 13. τε] om. f. στρατηγοῦ P.

"points;" literally, "presenting all "other things of such a nature as to be "satisfactory." Compare I. 32, 2. καὶ ταῦτα πιστεύοντες ἐχυρὰ ὑμῖν παρέξεσθαι. Generally speaking παρέχειν is, "to "present or offer really; and παρέχεσθαι, "to present or offer to notice, to "exhibit." The one expresses an actual giving, the other a figurative one. See Ammonius, De Differentia Vocabulorum, in Παρέχειν. Bekker therefore, I think, is right in preferring τἆλλα, to the common reading τὰ ἄλλα; for Thucydides generally uses the crasis when the word is used as a substantive, that is, when there is no substantive expressed, and τἆλλα is "all else, all "the rest." But in VIII. 100, 2. where there is another word joined with it, τὰ ἄλλα ἐπιτήδεια, the crasis, I think, ought not to be admitted; because there the article does not so much belong to ἄλλα as to ἐπιτήδεια. So again, VIII. 24, 5. Bekker writes μετὰ πολλῶν τε κἀγαθῶν ξυμμάχων, instead of καὶ ἀγαθῶν, and Göller appeals to the expression καλοὶ κἀγαθοὶ as an authority for the alteration. But in the latter the two words were habitually united together, so as almost to have become one; and therefore the καὶ was naturally melted into the following adjective by crasis, according to that general practice in language by which any familiar combination of words is pronounced more briefly, and with the syllables more running into each other, than when the same words are joined with others with which they are less familiarly associated. Now καλοὶ κἀγαθοὶ is a combination of words so familiar as almost to have become one word; whereas πολλοὶ καὶ ἀγαθοὶ is not one expression, nor are the words habitually joined with one another; so that there is no more reason for the crasis there than in any other case where καὶ may happen to precede a word beginning with a vowel.

10. ἐς Ὠρωπὸν τῆς πέραν γῆς] See the note on II. 23, 3.

13. Ἱππονίκου τοῦ Καλλίου] This Hipponicus was the father-in-law of Alcibiades, and one of the richest individuals in Greece. His father Callias was the ambassador who is said to have procured the assent of the Persian king to that memorable treaty, by which the

TRACHINIA. A. C. 426. Olymp. 88. 3.

Εὐρυμέδοντος τοῦ Θουκλέους, ἀπὸ σημείου ἐς τὸ αὐτὸ κατὰ γῆν ἀπήντων. καὶ στρατοπεδευσάμενοι ταύτην τὴν ἡμέραν 5 ἐν τῇ Ταναγρᾳ ἐδῄουν καὶ ἐνηυλίσαντο. καὶ τῇ ὑστεραίᾳ 6 μάχῃ κρατήσαντες τοὺς ἐπεξελθόντας τῶν Ταναγραίων καὶ 5 Θηβαίων τινὰς προσβεβοηθηκότας καὶ ὅπλα λαβόντες καὶ τροπαῖον στήσαντες ἀνεχώρησαν, οἱ μὲν ἐς τὴν πόλιν, οἱ δὲ ἐπὶ τὰς ναῦς. καὶ παραπλεύσας ὁ Νικίας ταῖς ἑξήκοντα 7 ναυσὶ τῆς Λοκρίδος τὰ ἐπιθαλάσσια ἔτεμε καὶ ἀνεχώρησεν ἐπ᾽ οἴκου.

10 XCII. Ὑπὸ δὲ τὸν χρόνον τοῦτον Λακεδαιμόνιοι Ἡράκλειαν τὴν ἐν Τραχινίᾳ ἀποικίαν καθίσταντο ἀπὸ τοιᾶσδε γνώμης. Μηλιῆς οἱ ξύμπαντες εἰσὶ μὲν τρία 2 μέρη, Παράλιοι Ἱερῆς Τραχίνιοι· τούτων δὲ οἱ

TRACHINIA. Heraclea founded by the Lacedæmonians.

3. ἐν] om. d.i. 4. ἐπελθόντας L.O.P. 5. βεβοηθηκότας g. λάβοντας E. καὶ τροπαῖον] καὶ τρόπαια d. τροπαῖον, omisso καὶ, K. 7. ἐπὶ] ἐς B.L.O. 10. τοῦτον τὸν χρόνον B.h. τὸν αὐτὸν χρόνον τοῦτον g. 11. τραχινίᾳ C.G.I. K.c.e.f. et Poppo. τραχῖνι Q. ut III. 100, 3. et IV. 78, 1. V. 12, 1. 51, 1. τραχεινίαις d.i. Vulgo, et Bekk. Goeller. τραχινίαις, quæ lectio fortasse e notissimo Sophocl. Tragœd. titulo ab imperito librario petita est. καθίστατο G. γνώμης τοιᾶσδε e. 12. μιλιῆς B. 13. ἱερεῖς καὶ τραχίνιοι Q. οἱ Τραχίνιοι] οἱ μὲν τραχίνιοι G.H.Q.g.

king's ships of war were forbidden to sail to the westward of the Cyanean and Chelidonian islands. See Andocides against Alcibiad. p. 117. Demosthenes Fals. Legat. p. 428. Herodot. VII. 151, 2. There is a full account of the successive heads of the family of Callias and Hipponicus, in Böckh, Staatshaushalt. d. Athen. II. p. 14, &c. (Eng. Transl. vol. II. p. 242.)

13. Παράλιοι, Ἱερῆς, Τραχίνιοι] It is possible that these names in their origin referred to three classes of persons, politically as well as locally separate from each other. The Hierensians may have been the priest-nobles, the Eupatridæ of Athens, who formed exclusively the *state*, πόλις, and who of course therefore were in exclusive possession of all offices civil and religious. The Paralians would then be the mixed people who always grew up in the course of time around the priest-nobles; the original δῆμος, or commons, who gradually obtained an admission more or less complete to all the rights of citizenship. At Athens they were also called Parali, as in all maritime countries they were made up of traders and seafaring men and strangers, whom the sea, the great highway of nations, had enabled to come from a foreign land; and who found their maintenance in the various pursuits which the neighbourhood of the sea facilitates. The Trachinians, like the ὑπεράκριοι of Athens, were perhaps the remains of the oldest inhabitants of the country, driven to the mountains by that more civilized people who had settled in the plains and richest districts of the land, and who being shut out from all communication with other nations, and from all foreign commerce, lived as the subjects of the priest-nobles, or annoyed them by their perpetual predatory in-

TRACHINIA. A. C. 426. Olymp. 88. 3.

The colony fails, owing to the hostility of the Thessalians, and the tyranny of the Lacedæmonian governors. (92. 93.)

Τραχίνιοι πολέμῳ ἐφθαρμένοι ὑπὸ Οἰταίων ὁμόρων ὄντων, τὸ πρῶτον μελλήσαντες Ἀθηναίοις προσθεῖναι σφᾶς αὐτούς, δείσαντες δὲ μὴ οὐ σφίσι πιστοὶ ὦσι, πέμπουσιν ἐς Λακε-3δαίμονα, ἑλόμενοι πρεσβευτὴν Τισαμενόν. ξυνεπρεσβεύοντο 5 δὲ αὐτοῖς καὶ Δωριῆς, ἡ μητρόπολις τῶν Λακεδαιμονίων, τῶν αὐτῶν δεόμενοι· ὑπὸ γὰρ τῶν Οἰταίων καὶ αὐτοὶ ἐφθείροντο. 4 ἀκούσαντες δὲ οἱ Λακεδαιμόνιοι γνώμην εἶχον τὴν ἀποικίαν ἐκπέμπειν, τοῖς τε Τραχινίοις βουλόμενοι καὶ τοῖς Δωριεῦσι 5 τιμωρεῖν. καὶ ἅμα τοῦ πρὸς Ἀθηναίους πολέμου καλῶς 10 αὐτοῖς ἐδόκει ἡ πόλις καθίστασθαι· ἐπί τε γὰρ τῇ Εὐβοίᾳ ναυτικὸν παρασκευασθῆναι ἄν, ὥστ' ἐκ βραχέος τὴν διάβασιν 6 γίγνεσθαι, τῆς τε ἐπὶ Θρᾴκης παρόδου χρησίμως ἕξειν. τό 7 τε ξύμπαν ὥρμηντο τὸ χωρίον κτίζειν. πρῶτον μὲν οὖν ἐν Δελφοῖς τὸν θεὸν ἐπήροντο, κελεύοντος δὲ ἐξέπεμψαν τοὺς 15 οἰκήτορας αὐτῶν τε καὶ τῶν περιοίκων, καὶ τῶν ἄλλων Ἑλλήνων τὸν βουλόμενον ἐκέλευον ἕπεσθαι πλὴν Ἰώνων καὶ 8 Ἀχαιῶν καὶ ἔστιν ὧν ἄλλων ἐθνῶν. οἰκισταὶ δὲ τρεῖς Λακεδαιμονίων ἡγήσαντο, Λέων καὶ Ἀλκίδας καὶ Δαμάγων.

6. καὶ] οἱ B. δώριον Priscianus, pag. 1099. Putsch. 7. αὐτοὶ ἐφθείροντο A.B.E.F.H.N.V.g.h. Poppo. Goell. Bekk. G. et vulgo αὐτοὶ πολέμῳ ἐφθείροντο. 12. βραχέως F. διάβασιν ἂν γίγνεσθαι L.O.P. 15. ἐπηρώτων Q. 16. τε] om. c.d. τῶν ἄλλων περιοίκων G.L.O.P.d. 17. γ' ἰώνων A. Bekk. Goell. γ' om. B.E.F.G. ἰτῶν O. 18. ὧν καὶ ἄλλων B. 19. ἀλκείδας K. δημάγων H. δαμάτων f.

roads upon the vallies. But while tracing the possible origin of these names, we must not suppose that they retained their primitive meaning in the time of Thucydides, at least not in its full extent: but that they now expressed little more than local divisions, like the tribes of Rome in the times of the commonwealth.

Ἱερῆς] Difficile dictu est, quinam fuerint Ἱερῆς, nemo enim præter Thucydidem de iis, (quod legerim) loquutus est. Scintillam tamen lucis facit Callimachus in Delum, ubi ait: Δεύτερον ἱερὸν ἄστυ καὶ οὔρεα Μηλίδος αἴης Ἔρχονται etc. Hic enim cum Thucydide videtur quandam urbem vel regionem Meliensium sacram vocare, eo quod primitias Apollini quotannis missas a Dodonæis, qui etiam sacri erant, recipiebant. Vide Palmer. ad Gr. Auct. p. 277. Huds.

6. Δωριεῖς] Vide Strabon. et Steph. voc. Δώριον. Plin. IV. 5. et V. 22. Wass. De Dorio metropoli Lacedæmoniorum supr. I. 107, 2. Quæ paullo post hic leguntur, γνώμην εἶχον—τιμωρεῖν, sunt in Stephano de Urbib. voc. Δώριον, sine nomine auctoris. Duker.

καταστάντες δὲ ἐτείχισαν τὴν πόλιν ἐκ καινῆς, ἣ νῦν Ἡρά- 9
κλεια καλεῖται, ἀπέχουσα Θερμοπυλῶν σταδίους μάλιστα
τεσσαράκοντα, τῆς δὲ θαλάσσης εἴκοσι. νεώριά τε παρε- 10
σκευάζοντο, καὶ ἤρξαντο κατὰ Θερμοπύλας κατ' αὐτὸ τὸ
5 στενὸν, ὅπως εὐφύλακτα αὐτοῖς εἴη. XCIII. οἱ δὲ Ἀθη-
ναῖοι τῆς πόλεως ταύτης ξυνοικιζομένης τὸ πρῶτον ἔδεισάν
τε καὶ ἐνόμισαν ἐπὶ τῇ Εὐβοίᾳ μάλιστα καθίστασθαι, ὅτι
βραχύς ἐστιν ὁ διάπλους πρὸς τὸ Κήναιον τῆς Εὐβοίας.
ἔπειτα μέντοι παρὰ δόξαν αὐτοῖς ἀπέβη· οὐ γὰρ ἐγένετο ἀπ' 2
10 αὐτῆς δεινὸν οὐδέν. αἴτιον δὲ ἦν· οἵ τε Θεσσαλοὶ ἐν δυνάμει 3
ὄντες τῶν ταύτῃ χωρίων, καὶ ὧν ἐπὶ τῇ γῇ ἐκτίζετο, φοβού-
μενοι μὴ σφίσι μεγάλῃ ἰσχύϊ παροικῶσιν, ἔφθειρον καὶ διὰ
παντὸς ἐπολέμουν ἀνθρώποις νεοκαταστάτοις, ἕως ἐξετρύ-
χωσαν γενομένους τὸ πρῶτον καὶ πάνυ πολλούς· πᾶς γὰρ

2. ἀπέχουσα γὰρ θερμοπυλῶν d. 3. δὲ] om. A.B.E.F.H.Q.V.g.h. et γρ. G. θαλάττης f. 4. ἤρξαντο] εἶρξαν τὸ E. 8. βήναιον K. 9. παρὰ] περὶ g. 11. ὄντες] om. g. τῇ om. V. 12. ἔφθειρον δὲ Q. 13. ἀνθρώπους νεοκαταστάτους e.

3. τῆς δε θαλάσσης εἴκοσι] Perhibet tamen Strabo (l. IX.) hanc urbem a portu XL. non vero XX. stadiis abesse. Vide Berkelium ad Stephanum περὶ πόλεων. HUDS. The alteration in the face of the country near Thermopylæ, owing to the retreat of the sea, and the changed course of the river Sperchius, (whose mouth is now to the south of Thermopylæ, after it has run for some distance parallel to the line of the cliffs, and has received those smaller streams, the Asopus, Melas, and Dyras, which formerly ran direct into the sea,) makes it difficult to identify the situations of the several places mentioned by ancient writers. But the remains of Heraclea, with its citadel on a hill, and traces of the city lower down, according to the description of Livy, XXXVI. 22. on the north bank of the Asopus, and about four miles from Thermopylæ, (see Dodwell, Class. Tour, vol. II. p. 73.) still correspond with the account of Thucydides. The port of Heraclea was, according to Strabo, forty stadia from the town; a statement in exact agreement with that of Thucydides, who says that the town was forty stadia from Thermopylæ, where the port and docks were constructed. The sea, which was only twenty stadia from the town, was not the sea by the port, but the nearest point of the Malian gulf, which could be reached in a straight line from the edge of Œta, where Heraclea was built. Here however the water was too shallow to admit of the existence of a harbour, even for the light vessels of the Greeks; and thus Appian calls it θάλασσα τραχεῖα καὶ ἀλίμενος. (Syriac. 17.) For the present state of Thermopylæ, see Sir W. Gell, Itiner. of Greece, p. 238, &c.

5. εὐφύλακτα] Compare the note on II. 98, 2. and Matthiæ, Gr. Gr. §. 443. Jelf, 383.

11. ὧν ἐπὶ τῇ γῇ ἐκτίζετο] "To the "detriment of whose territory it was "founding." Compare V. 51. and I. 142, 2, 3.

τις Λακεδαιμονίων οἰκιζόντων θαρσαλέως ᾔει, βέβαιον νομί-
4 ζων τὴν πόλιν. οὐ μέντοι ἥκιστα οἱ ἄρχοντες αὐτῶν τῶν
Λακεδαιμονίων οἱ ἀφικνούμενοι τὰ πράγματά τε ἔφθειρον
καὶ ἐς ὀλιγανθρωπίαν κατέστησαν, ἐκφοβήσαντες τοὺς πολ-
λοὺς, χαλεπῶς τε καὶ ἔστιν ἃ οὐ καλῶς ἐξηγούμενοι, ὥστε 5
ῥᾷον ἤδη αὐτῶν οἱ πρόσοικοι ἐπεκράτουν.

XCIV. Τοῦ δ' αὐτοῦ θέρους, καὶ περὶ τὸν αὐτὸν χρόνον
ὃν ἐν τῇ Μήλῳ οἱ Ἀθηναῖοι κατείχοντο, καὶ οἱ ἀπὸ τῶν
τριάκοντα νεῶν Ἀθηναῖοι περὶ Πελοπόννησον
ὄντες πρῶτον ἐν Ἐλλομένῳ τῆς Λευκαδίας 10
φρουρούς τινας λοχήσαντες διέφθειραν, ἔπειτα
ὕστερον ἐπὶ Λευκάδα μείζονι στόλῳ ἦλθον,
Ἀκαρνᾶσί τε πᾶσιν, οἳ πανδημεὶ πλὴν Οἰνια-
δῶν ξυνέσποντο, καὶ Ζακυνθίοις καὶ Κεφαλ-
λῆσι καὶ Κερκυραίων πεντεκαίδεκα ναυσί. καὶ 15
2 οἱ μὲν Λευκάδιοι τῆς τε ἔξω γῆς δῃουμένης καὶ τῆς ἐντὸς τοῦ
ἴσθμου, ἐν ᾗ καὶ ἡ Λευκάς ἐστι καὶ τὸ ἱερὸν τοῦ Ἀπόλλωνος,
πλήθει βιαζόμενοι ἡσύχαζον· οἱ δὲ Ἀκαρνᾶνες ἠξίουν Δη-
μοσθένην τὸν στρατηγὸν τῶν Ἀθηναίων ἀποτειχίζειν αὐτοὺς,
νομίζοντες ῥᾳδίως τ' ἂν ἐκπολιορκῆσαι πόλεώς τε ἀεὶ σφίσι 20
3 πολεμίας ἀπαλλαγῆναι. Δημοσθένης δ' ἀναπείθεται κατὰ

WESTERN GREECE. Demosthenes, being employed in the west of Greece, is persuaded by the Messenians of Naupactus to make an attack upon Ætolia. State of the Ætolians at this period.

1. τις] om. d. θαρσαλέως] om. pr. G. θαρσαλέος L.O.P.i. (recenti manu G.) et correctus C. qui tamen ex prima manu habet θαρσαλέως εἴη. καὶ βέβαιον L. 2. οἱ] οἳ recens F. 3. ἀφικόμενοι L.O.P. τὰ πράγματα—καὶ om. G. τε] om. d.i. 6. ἐπεκράτησαν c.f. 8. ὃν] om. E. οἱ ἀθηναῖοι ἐν τῇ μήλῳ G. 10. λευκαδίας E. A.B.F.G. et ceteri ἀρκαδίας. 13. οἰνιάδων A.B.F.H.K.L. N.O.P. 14. ξυνέποντο G.I.e.f.g. ξυνείποντο d.i. κεφαλῆσι K.L.O.P. qui sic et infra c. 95, 2. 17. καὶ ᾗ] om. d.i. 19. τῶν] om. d. 20. τ' A.B.E. F.G.H.V.g.h. Poppo. Goell. Bekk. ceteri γ'. πόλεώς τε] καὶ πόλεως C.K.L. O.P.c.d.e.f.i.

16. τοῦ ἴσθμου] Quum antiquitus peninsula esset, a Corinthiis per Cypselum et Gargasum illic missis isthmus perfossus est. (Strab. X. 2, 8.) Sed serius eum necesse est redditum pristinae formae, quae Thucydidis aetate ei erat, quum naves machinarum ope eum superarent. III. 81, 1. IV. 8, 2. Peninsula fuit adhuc quum Philippus Macedo contra Romanos bellum gereret, sed Livii aetate rursus insula. Poppo. Prolegom. II. p. 151. For the present state of Leucadia or Santa Maura, the reader may consult the annexed map, for which I am again indebted to the kindness of captain Smyth.

τὸν χρόνον τοῦτον ὑπὸ Μεσσηνίων ὡς καλὸν αὐτῷ στρατιᾶς τοσαύτης ξυνειλεγμένης Αἰτωλοῖς ἐπιθέσθαι, Ναυπάκτῳ τε πολεμίοις οὖσι, καὶ ἢν κρατήσῃ αὐτῶν, ῥᾳδίως καὶ τὸ ἄλλο ἠπειρωτικὸν τὸ ταύτῃ Ἀθηναίοις προσποιήσειν. 4 τὸ γὰρ 5 ἔθνος μέγα μὲν εἶναι τὸ τῶν Αἰτωλῶν καὶ μάχιμον, οἰκοῦν δὲ κατὰ κώμας ἀτειχίστους, καὶ ταύτας διὰ πολλοῦ, καὶ σκευῇ ψιλῇ χρώμενον, οὐ χαλεπὸν ἀπέφαινον, πρὶν ξυμβοηθῆσαι, καταστραφῆναι. 5 ἐπιχειρεῖν δ' ἐκέλευον πρῶτον μὲν Ἀποδώτοις, ἔπειτα δὲ Ὀφιονεῦσι καὶ μετὰ τούτους Εὐρυ- 10 τᾶσιν, ὅπερ μέγιστον μέρος ἐστὶ τῶν Αἰτωλῶν, ἀγνωστότατοι δὲ γλῶσσαν καὶ ὠμοφάγοι εἰσὶν, ὡς λέγονται· τούτων γὰρ ληφθέντων ῥᾳδίως καὶ τἄλλα προσχωρήσειν. XCV. ὁ δὲ τῶν Μεσσηνίων χάριτι πεισθεὶς, καὶ μάλιστα νομίσας ἄνευ τῆς τῶν Ἀθηναίων δυνά- 15 μεως τοῖς ἠπειρώταις ξυμμάχοις μετὰ τῶν Αἰτωλῶν δύνασθαι ἂν κατὰ γῆν ἐλθεῖν ἐπὶ Βοιωτοὺς διὰ Λοκρῶν τῶν Ὀζολῶν ἐς Κυτίνιον τὸ Δωρικὸν, ἐν δεξιᾷ ἔχων τὸν Παρνασσὸν, ἕως καταβαίη ἐς Φωκέας, οἳ προθύμως ἐδόκουν κατὰ τὴν Ἀθηναίων ἀεί ποτε

Demosthenes, hoping to combine the conquest of Ætolia with the reduction of Phocis and Bœotia, commences his invasion.

4. Ἠπειρωτικὸν Bekk. τὸ ταύτῃ] τοσαύτῃ P. 6. κατὰ] om. b. ταύτας] om. c.f. 7. ψιλῇ] πολλῇ e.g. 8. καὶ καταστραφῆναι K. 9. ἀποδότοις E.G.I.L.O.P. ut infra c. 100, 1. ἀπόδοτον L.O.Q.d.e. δὲ καὶ ὀφιονεῦσι O. δὲ ὀφονιεῦσι c. τούτους] τοὺς E. ταῦτα c. εὐρυτάσιν H.K.P. 10. ἀγνώτατοι K. 11. λέγεται L.Q. 12. τἆλλα Bekk. Poppo. προχωρήσειν E.N.f. προχωρήσει V. 15. Ἠπειρ. Bekk. 16. δύνασθαι—Λοκρῶν] om. K. ἐπὶ τοὺς βοιωτοὺς N.V. 17. κυντίνιον G.K.L.O. κυντώνιον P. κύτιον c. 18. ἔχων A.B.F. Poppo. Goell. Bekk. E.G. et vulgo ἔχον. καταβάλῃ ὡς φωκέας i.

3. τὸ ἄλλο ἠπειρωτικὸν τὸ ταύτῃ] I have followed Haack and Poppo in considering the word ἠπειρωτικὸν rather as a general than a proper name; for had it as yet assumed the latter character, the words τὸ ταύτῃ immediately following would have been superfluous. At the same time it was insensibly becoming a proper name, as "the tribes "of the main land," when spoken of without any further addition, would have been commonly understood of the main land opposite Corcyra, which not being familiarly known to the Greeks, and their visits to it being commonly made from Corcyra, and the neighbouring islands, was called by the general name of the main, or main land; like the terra firma of Venice, and what used to be called the Spanish main, or terra firma, in South America.

φιλίαν ξυστρατεύειν ἢ κἂν βίᾳ προσαχθῆναι· καὶ Φωκεῦσιν ἤδη ὅμορος ἡ Βοιωτία ἐστίν· ἄρας οὖν ξύμπαντι τῷ στρατεύματι ἀπὸ τῆς Λευκάδος ἀκόντων Ἀκαρνάνων παρέπλευσεν 2 ἐς Σόλλιον. κοινώσας δὲ τὴν ἐπίνοιαν τοῖς Ἀκαρνᾶσιν, ὡς οὐ προσεδέξαντο διὰ τῆς Λευκάδος τὴν οὐ περιτείχισιν, αὐτὸς 5 τῇ λοιπῇ στρατιᾷ, Κεφαλλῆσι καὶ Μεσσηνίοις καὶ Ζακυνθίοις καὶ Ἀθηναίων τριακοσίοις τοῖς ἐπιβάταις τῶν σφετέρων νεῶν (αἱ γὰρ πεντεκαίδεκα τῶν Κερκυραίων ἀπῆλθον νῆες), 3 ἐστράτευσεν ἐπ' Αἰτωλούς. ὡρμᾶτο δὲ ἐξ Οἰνεῶνος τῆς 4 Λοκρίδος. οἱ δὲ Ὀζόλαι οὗτοι Λοκροὶ ξύμμαχοι ἦσαν, καὶ 10 ἔδει αὐτοὺς πανστρατιᾷ ἀπαντῆσαι τοῖς Ἀθηναίοις ἐς τὴν μεσόγειαν· ὄντες γὰρ ὅμοροι τοῖς Αἰτωλοῖς καὶ ὁμόσκευοι μεγάλη ὠφελία ἐδόκουν εἶναι ξυστρατεύοντες μάχης τε

1. κἂν] καὶ d. 2. ἤδη] ἦι δὴ A. ἡ δὴ K. ξὺν παντὶ B.E.F.V. 3. ἀκόντων ἀκαρνάνων A.B.E.F.G.H.K.V.g. Poppo. Goell. Bekk. Vulgo ἀκόντων τῶν ἀκαρνάνων. παρέπλευσαν d.i. 5. οὐ] om. e. ἐπιτείχισιν Q. 8. ἀπῆλθον αἱ νῆες c. νῆες ἀπῆλθον f. 9. ὡρμᾶτο δὲ] om. G.L.O.P. οἰνεῶν Q.g. 12. μεσόγειαν A.B.E.F.H.Q.V.e.g. Haack. Poppo. Goell. Bekk. μεσόγεαν I. G. et vulgo μεσόγειον. 13. εἶναι] om. c.

5. τὴν οὐ περιτείχισιν] Compare I. 137, 7. V. 50, 4.

7. τριακοσίοις τοῖς ἐπιβάταις τῶν σφετέρων νεῶν] According to this calculation, the number of Epibatæ on board a trireme was ten; for the number of ships from which they were on this occasion landed was thirty. See c. 91, 1. 94, 1. So by comparing II. 92, 8. 102, 1. we find four hundred Epibatæ described as the complement of forty ships, τετρακοσίοις ὁπλίταις Ἀθηναίων, τῶν ἀπὸ τῶν νεῶν. And the same proportion results from a comparison of IV. 76, 1. 101, 3. When any ὁπλῖται are especially mentioned, they are to be understood as troops embarked for a particular service, and not as the ordinary Epibatæ: but whether they are to be considered as exclusive or inclusive of these does not, I think, fully appear. The ὁπλῖται, when especially noticed, belong to the class of the Zeugitæ, ἐκ καταλόγου—the Epibatæ on ordinary occasions seem to have been taken from the fourth class, or Thetes. The proportion mentioned, VI. 43. of seven hundred Epibatæ to one hundred ships, sixty of which were equipped in the ordinary way, and forty had troops on board, is hard to be explained. The sixty light ships would have had six hundred Epibatæ: but one hundred is a number divisible neither by sixty nor by forty; so that it is not easy to account for the selection of the number seven hundred for the number of one hundred vessels. The number of forty Epibatæ to a ship, mentioned by Herodotus, VI. 15, 2. belongs to the earlier state of Greek naval tactics, when victory depended more on the number and prowess of the soldiers on board, than on the manœuvres of the seamen; (Thucyd. I. 49, 1—3.) and it was in this very point that the Athenians improved the system, by decreasing the number of ἐπιβάται, and relying on the more skilful management of their vessels. See VII. 62, 2. 67, 2.

ἐμπειρίᾳ τῆς ἐκείνων καὶ χωρίων. XCVI. αὐλισάμενος δὲ τῷ στρατῷ ἐν τοῦ Διὸς τοῦ Νεμείου τῷ ἱερῷ, ἐν ᾧ Ἡσίοδος ὁ ποιητὴς λέγεται ὑπὸ τῶν ταύτῃ ἀποθανεῖν, χρησθὲν αὐτῷ ἐν Νεμέᾳ 5 τοῦτο παθεῖν, ἅμα τῇ ἕῳ ἄρας ἐπορεύετο ἐς τὴν Αἰτωλίαν. καὶ αἱρεῖ τῇ πρώτῃ ἡμέρᾳ Ποτιδανίαν καὶ τῇ δευτέρᾳ Κροκύ- 2 λειον καὶ τῇ τρίτῃ Τείχιον, ἔμενέ τε αὐτοῦ καὶ τὴν λείαν ἐς Εὐπάλιον τῆς Λοκρίδος ἀπέπεμψε· τὴν γὰρ γνώμην εἶχε τἆλλα καταστρεψάμενος οὕτως ἐπὶ Ὀφιονέας, εἰ μὴ βού-10 λοιντο ξυγχωρεῖν, ἐς Ναύπακτον ἐπαναχωρήσας στρατεῦσαι ὕστερον. τοὺς δὲ Αἰτωλοὺς οὐκ ἐλάνθανεν αὕτη ἡ παρασκευὴ 3 οὔτε ὅτε τὸ πρῶτον ἐπεβουλεύετο, ἐπειδή τε ὁ στρατὸς ἐσεβε-βλήκει, πολλῇ χειρὶ ἐπεβοήθουν πάντες, ὥστε καὶ οἱ ἔσχατοι Ὀφιονέων οἱ πρὸς τὸν Μηλιακὸν κόλπον καθήκοντες Βωμιῆς 15 καὶ Καλλιῆς ἐβοήθησαν. XCVII. τῷ δὲ Δημοσθένει τοιόνδε τι οἱ Μεσσήνιοι παρῄνουν, ὅπερ καὶ τὸ πρῶτον· ἀναδιδάσκοντες αὐτὸν τῶν Αἰτωλῶν ὡς

Progress of the invasion. All the Ætolian tribes unite in the common defence.

Demosthenes, pressing on without waiting for the arrival of his Lo-

2. ἐν τοῦ] ἐντὸς K. νεμίου P. 5. τοῦτο] τοῦ F. 6. κροκύλειον A.B.C.F.G.H. K.V.c.d.e.f.g.h.i. Poppo. Goell. Bekk. κροκύλιον E. et vulgo. 7. τείχιον H.I.L. P.V.g. Haack. Goell. Bekk. Poppo. τειχίον A.B.F.G.d.f.h. τιχίον E. vulgo τίχιον. 8. εὐπάλιον A.B.F.G.H.N.V.g.h. Haack. Poppo. Goell. Bekk. εὐπόλειον K. E. et vulgo εὐπόλιον. Sic et infra c. 102, 1. 9. τἆλλα Q.V. vulgo τὰ ἄλλα. hæc ad βούλοιντο om. K. 10. συγχωρεῖν B.C.E.F.H.d.e.g.h.i. ἀναχώρησας K. ἐστράτευσεν e. 12. ἐπεβεβλήκει K. ἐβεβλήκει d. 15. ἐπεβοήθησαν Stephanus Byz.

3. ἐν ᾧ Ἡσίοδος &c.] De morte Hesiodi vide Plutarchum in libello de Convivio septem Sapientum, et Holstenii notas ad Stephanum Byzant. in voce Νεμέα. Huds.

λέγεται ὑπὸ τῶν ταύτῃ ἀποθανεῖν] "Is said to have been killed by the "people of this country;" that is, by Amphiphanes and Ganyctor, the sons of Phegeus, in revenge for an alleged insult offered by Hesiod to their sister. See Proclus, Life of Hesiod, Poetæ Minor. Græc. Oxon. 1820. vol. II. p. 7. and Pausanias, IX. 31.

6. Ποτιδανίαν] De Potidania Palmer. IV. Græc. Ant. 22. Duker.

14. οἱ πρὸς τὸν Μηλιακὸν κόλπον καθήκοντες] These words must not be understood to mean that any Ætolian tribes extended to the very shore of the Malian gulf; but yet, I think, they imply that the Bomiensians and Calliensians not only occupied the very heads of the valleys on the Ætolian side of Œta, (as Strabo says that the source of the Evenus was in the country of the Bomiensians, X. 2, 5. (p. 451.)) but extended over the ridge, and some way down the valleys of the streams running towards the Ægean. The valleys of the streams running from the south into the Sperchius appear to have been part of the territory of the Calliensians, and so Kruse has represented them in his map. Compare Pausanias, X. 22.

erian auxiliaries, is surrounded by the Ætolians, and defeated with great loss, partly owing to the nature of the country, with which the Athenians were wholly unacquainted. (97. 98.)

εἴη ῥᾳδία ἡ αἵρεσις, ἰέναι ἐκέλευον ὅτι τάχιστα ἐπὶ τὰς κώμας καὶ μὴ μένειν ἕως ἂν ξύμπαντες ἀθροισθέντες ἀντιτάξωνται, τὴν δ' ἐν ποσὶν 2 ἀεὶ πειρᾶσθαι αἱρεῖν. ὁ δὲ τούτοις τε πεισθεὶς καὶ τῇ τύχῃ ἐλπίσας, ὅτι οὐδὲν αὐτῷ ἠναν- 5 τιοῦτο, τοὺς Λοκροὺς οὐκ ἀναμείνας οὓς αὐτῷ ἔδει προσβοηθῆσαι (ψιλῶν γὰρ ἀκοντιστῶν ἐνδεὴς ἦν μάλιστα) ἐχώρει ἐπὶ Αἰγιτίου, καὶ κατὰ κράτος αἱρεῖ ἐπιών. 3 ὑπέφευγον γὰρ οἱ ἄνθρωποι καὶ ἐκάθηντο ἐπὶ τῶν λόφων τῶν ὑπὲρ τῆς πόλεως· ἦν γὰρ ἐφ' ὑψηλῶν χωρίων, ἀπέχουσα 10 4 τῆς θαλάσσης ὀγδοήκοντα σταδίους μάλιστα. οἱ δὲ Αἰτωλοὶ (βεβοηθηκότες γὰρ ἤδη ἦσαν ἐπὶ τὸ Αἰγίτιον) προσέβαλλον τοῖς Ἀθηναίοις καὶ τοῖς ξυμμάχοις καταθέοντες ἀπὸ τῶν λόφων ἄλλοι ἄλλοθεν καὶ ἐσηκόντιζον, καὶ ὅτε μὲν ἐπίοι τὸ τῶν Ἀθηναίων στρατόπεδον, ὑπεχώρουν, ἀναχωροῦσι δὲ 15 ἐπέκειντο· καὶ ἦν ἐπὶ πολὺ τοιαύτη ἡ μάχη, διώξεις τε καὶ ὑπαγωγαί, ἐν οἷς ἀμφοτέροις ἥσσους ἦσαν οἱ Ἀθηναῖοι. XCVIII. μέχρι μὲν οὖν οἱ τοξόται εἶχόν τε τὰ βέλη αὐτοῖς καὶ οἷοί τε ἦσαν χρῆσθαι, οἱ δὲ ἀντεῖχον· τοξευόμενοι γὰρ οἱ

2. ἂν οἱ ξύμπαντες K. 3. ξυναθροισθέντες d.i. 5. ἠναντιοῦντο g. 7. γὰρ] om. e. 9. ἐπέφευγον d. ἐπὶ τῶν λόφων τῶν] om. P. ὑπὲρ τῶν λ. τῶν e. 11. μάλιστα σταδίους Q. 12. ἤδη] om. N.V.c.d. προσέβαλον C.G.H.I. K.L.e. 13. τοῖς ante ἀθηναίοις om. Q.g. 19. οἱ δὲ A.E.F.G.H.V.g. Goell. Bekk. Poppo. Vulgo οἵδε.

8. Αἰγιτίου] Hujus oppidi nulla apud Veteres memoria. Wass. De ejus situ Palmer. III. Græc. Ant. 14. Duker.

18. εἶχον τὰ βέλη αὐτοῖς] The dative αὐτοῖς refers to the Athenians. "So "long as *they saw that* their archers "had their arrows and could use them, "so long did they continue to resist." See the notes on I. 6, 3. 101, 2. II. 101, 5. The dative case cannot be rendered literally in English, but its force is, I think, exactly expressed by the words in Italics. Its object seems to be to express the action spoken of as relating to and affecting the feelings and conduct of the party concerned in it. Without the dative αὐτοῖς, the fact of the archers keeping their arrows would be stated simply in itself; "so long as "the archers had their arrows:" but with the αὐτοῖς, it is described as in relation to the Athenians; "*so long as "they found, or saw, that* the archers "had their arrows:" and thus the Athenians being in reality the principal subject of the sentence, the following words, οἱ δὲ ἀντεῖχον, refer naturally to them also. With respect to δὲ in the apodosis, or occurring with the principal verb in the sentence, see the notes on I. 11, 2. II. 65, 5. IV. 132, 2. &c.

Αἰτωλοὶ ἄνθρωποι ψιλοὶ ἀνεστέλλοντο· ἐπειδὴ δὲ τοῦ τε τοξάρχου ἀποθανόντος οὗτοι διεσκεδάσθησαν καὶ αὐτοὶ ἐκεκμήκεσαν καὶ ἐπὶ πολὺ τῷ αὐτῷ πόνῳ ξυνεχόμενοι, οἵ τε Αἰτωλοὶ ἐνέκειντο καὶ ἐσηκόντιζον, οὕτω δὴ τραπόμενοι 5 ἔφευγον, καὶ ἐσπίπτοντες ἔς τε χαράδρας ἀνεκβάτους καὶ χωρία ὧν οὐκ ἦσαν ἔμπειροι διεφθείροντο· καὶ γὰρ ὁ ἡγεμὼν αὐτοῖς τῶν ὁδῶν, Χρόμων ὁ Μεσσήνιος, ἐτύγχανε τεθνηκώς. οἱ δὲ Αἰτωλοὶ ἐσακοντίζοντες πολλοὺς μὲν αὐτοῦ ἐν τῇ 2 τροπῇ κατὰ πόδας αἱροῦντες ἄνθρωποι ποδώκεις καὶ ψιλοὶ 10 διέφθειρον, τοὺς δὲ πλείους τῶν ὁδῶν ἁμαρτάνοντας καὶ ἐς τὴν ὕλην ἐσφερομένους, ὅθεν διέξοδοι οὐκ ἦσαν, πῦρ κομισάμενοι περιεπίμπρασαν· πᾶσά τε ἰδέα κατέστη τῆς φυγῆς καὶ τοῦ ὀλέθρου τῷ στρατοπέδῳ τῶν Ἀθηναίων, μόλις τε ἐπὶ τὴν θάλασσαν καὶ τὸν Οἰνεῶνα τῆς Λοκρίδος, ὅθεν περ καὶ 15 ὡρμήθησαν, οἱ περιγενόμενοι κατέφυγον. ἀπέθανον δὲ τῶν 3 τε ξυμμάχων πολλοὶ καὶ αὐτῶν Ἀθηναίων ὁπλῖται περὶ εἴκοσι μάλιστα καὶ ἑκατόν, τοσοῦτοι μὲν τὸ πλῆθος καὶ

2. ἐσκεδάσθησαν N.V. 3. καὶ uncis inclusit Bekk. 7. ἔτυχε G.L.O.P. 8. καὶ πολλοὺς L.O. τῇ] om. L.O. 10. διέφθειραν V. 11. ἐσφερομένους] Fortasse leg. ἐκφερομένους. BEKKER. 12. περιεπίπρασαν B.h. περιεμπίπρασαν i. τε] δὲ L.O. 13. τῷ στρατοπέδῳ Benedict. Poppo. Goell. Bekk. Dobræus. Libri τῶν στρατοπέδων. 15. κατέφυγον] om. g. 16. τε] om. L.g. 17. μὲν δὴ τὸ Q.

1. τοῦ τοξάρχου] The archers here spoken of were probably a part of the allied force of Cephallenians and Messenians, as no Athenians are mentioned, except the three hundred Epibatæ, or heavy-armed soldiers, who were landed from the ships. It is possible, however, that the mere rowers of the ships might sometimes, in cases of emergency, serve on shore as archers or light troops of other descriptions; as some archers are noticed as forming part of the force with which Demosthenes defended Pylus; IV. 9, 2. although he had no other fighting men than the crews of his three ships and of two Messenian vessels that had accidentally put into the port.

3. καὶ ἐπὶ πολὺ] The conjunction καὶ, as being wholly superfluous, has been enclosed in brackets by Bekker. Krüger, on the other hand, in his notes on Dionysius, p. 274, defends it, and compares καὶ ἐπὶ πολὺ with the expressions καὶ μάλα, καὶ πάνυ, and others of a similar kind. And Poppo, who formerly thought the conjunction unnecessary, now assents to the opinion of Krüger. According to Krüger, καὶ ἐπὶ πολυ would signify, "even for a long time;" i. e. "for as much as a considerable "time."

ἡλικία ἡ αὐτή· οὗτοι βέλτιστοι δὴ ἄνδρες ἐν τῷ πολέμῳ 4 τῷδε ἐκ τῆς Ἀθηναίων πόλεως διεφθάρησαν. ἀπέθανε δὲ καὶ 5 ὁ ἕτερος στρατηγὸς Προκλῆς. τοὺς δὲ νεκροὺς ὑποσπόνδους ἀνελόμενοι παρὰ τῶν Αἰτωλῶν καὶ ἀναχωρήσαντες ἐς Ναύπακτον ὕστερον ἐς τὰς Ἀθήνας ταῖς ναυσὶν ἐκομίσθησαν. 5 6 Δημοσθένης δὲ περὶ Ναύπακτον καὶ τὰ χωρία ταῦτα ὑπελείφθη, τοῖς πεπραγμένοις φοβούμενος τοὺς Ἀθηναίους.

SICILY and ITALY. Trifling operations of the Athenians on the coast of Locri.

XCIX. Κατὰ δὲ τοὺς αὐτοὺς χρόνους καὶ οἱ περὶ Σικελίαν Ἀθηναῖοι πλεύσαντες ἐς τὴν Λοκρίδα ἐν ἀποβάσει τέ τινι τοὺς προσβοηθήσαντας Λοκρῶν ἐκράτησαν, 10 καὶ περιπόλιον αἱροῦσιν ὃ ἦν ἐπὶ τῷ Ἄληκι ποταμῷ.

WESTERN GREECE. The Ætolians solicit the aid of a Peloponnesian army to reduce Naupactus.

C. Τοῦ δ' αὐτοῦ θέρους Αἰτωλοὶ προπέμψαντες πρότερον ἔς τε Κόρινθον καὶ ἐς Λακεδαίμονα πρέσβεις, Τόλοφόν τε τὸν Ὀφιονέα καὶ Βοριάδην τὸν Εὐρυτᾶνα καὶ 15 Τίσανδρον τὸν Ἀπόδωτον, πείθουσιν ὥστε σφίσι πέμψαι στρατιὰν ἐπὶ Ναύπακτον διὰ 2 τὴν τῶν Ἀθηναίων ἐπαγωγήν. καὶ ἐξέπεμψαν

1. αὐτοὶ V. οὗτοι δὴ βέλτιστοι G. omisso ἄνδρες, L.O.P.e. οὕτω δὴ βέλτιστοι d.i. 3. ὁ ἕτερος] ὥτερος g. πατροκλῆς L.O.P.d.e. 4. παρὰ] ὑπὸ L. 6. τὰ] om. d. ὑπελήφθη V. 10. προβοηθήσαντας I. 11. ἄληκι A.K. ἔληκι P. 14. ἐς ante Λακεδαίμονα om. K. τήλεφόν L.O.P.Q. τὴν λόφον d. 17. στρατιὰν καὶ ἐπὶ d. ἐπὶ] ἐς τὴν O. ἐς τὴν ναύπακτον V.

1. Vide an legendum, καὶ ἡλικία αὕτη βέλτιστοι κ. τ. λ. ἡλικία ut supra c. 67, 2. ἡλικίαν ἡμῶν διεφθαρμένην. Vid. Harpocration. DOBREE.

βέλτιστοι δὴ ἄνδρες] This remark leads us to conclude that the Epibatæ on this occasion were not taken solely from the class of the Thetes, but that some young men of higher families had been induced to serve on this expedition, partly attracted by the popular character of Demosthenes, and partly from the hope of plunder in the descents occasionally to be made on the enemy's coasts.

11. περιπόλιον] A guard fort or station of the περίπολοι [see c. 115, 7.] Compare IV. 67, 1. VI. 45. 2. VII. 48, 5. Formerly the word was written with a capital letter, as if it were a proper name.

13. προπέμψαντες πρότερον] That is, "before the Athenian expedition against "Ætolia had taken place." The enmity between Ætolia and Naupactus had already been noticed, c. 94, 3. and one object of the expedition of Demosthenes was, to free the most faithful of the allies of Athens from the attacks of an enemy who was even at that very time applying to the Peloponnesians for their aid in order to effect its destruction.

Λακεδαιμόνιοι περὶ τὸ φθινόπωρον τρισχιλίους ὁπλίτας τῶν ξυμμάχων. τούτων ἦσαν πεντακόσιοι ἐξ Ἡρακλείας τῆς ἐν 3 Τραχῖνι πόλεως τότε νεοκτίστου οὔσης· Σπαρτιάτης δ' ἦρχεν Εὐρύλοχος τῆς στρατιᾶς, καὶ ξυνηκολούθουν αὐτῷ 5 Μακάριος καὶ Μενεδαῖος οἱ Σπαρτιᾶται. CI. ξυλλεγέντος δὲ τοῦ στρατεύματος ἐς Δελφοὺς ἐπεκηρυκεύετο Εὐρύλοχος Λοκροῖς τοῖς Ὀζόλαις· διὰ τούτων γὰρ ἡ ὁδὸς ἦν ἐς Ναύπακτον, καὶ ἅμα τῶν Ἀθηναίων ἐβούλετο ἀποστῆσαι αὐτούς. 10 ξυνέπρασσον δὲ μάλιστα αὐτῷ τῶν Λοκρῶν Ἀμφισσῆς, διὰ 2 τὸ τῶν Φωκέων ἔχθος δεδιότες· καὶ αὐτοὶ πρῶτον δόντες ὁμήρους καὶ τοὺς ἄλλους ἔπεισαν δοῦναι φοβουμένους τὸν ἐπιόντα στρατὸν, πρῶτον μὲν οὖν τοὺς ὁμόρους αὐτοῖς Μυονέας (ταύτῃ γὰρ δυσεσβολώτατος ἡ Λοκρὶς), ἔπειτα

The Peloponnesian army arrives at Delphi, and proceeds through the country of the Ozolian Locrians against Naupactus.

1. οἱ λακεδαιμόνιοι K. 2. ἑξακόσιοι i. 3. τριχῖνι E. πόλεως om. G. 5. μενέδαιος B. μενέδατος A.C.E.F.G.I.Q.V.b.c.d.e.f.g.h.i. 8. τοῦτο P. ἦν ἡ ἐς c. 9. ἀποστῆναι g. 10. ἀμφισῆς F.H.L.P. ἀμφισεῖς d.e.g.i. ἀμφιπησσεῖς O. 11. πρῶτον] om. N.V. 13. οὖν] γὰρ d.i. om. G.L.O.P.Q.c. τοὺς] om. d. αὐτῶν V. 14. δυσεμβολ. O.c.e. δυσεκβολ. G.d.

5. οἱ Σπαρτιᾶται] See the note on III. 25, 1. Does it not appear from IV. 38, 1. αὐτὸς τρίτος ἐφῃρημένος ἄρχειν κατὰ νόμον, that there were commonly two officers appointed to succeed to the command one after the other, upon the death of their superior, whenever a Lacedæmonian army took the field. Thus three persons are mentioned as sent to superintend the new colony of Heraclea. III. 92, 8. and the same number occurs twice again, IV. 132, 3. V. 12, 1. in relation to the Spartan officers sent out to take the command in Chalcidice. If this be so, the expression οἱ Σπαρτιᾶται might imply that Macarius and Menedæus were the other two Spartans who, together with Eurylochus, made up the number of Spartan citizens usually employed in foreign commands.

10. Ἀμφισσῆς] Ar. Ἀμφισῆς, sed cum σσ plerique omnes utriusque linguæ auctores. Wass.

14. Μυονέας] Their situation is described by Pausanias, X. 38, 4. ἄνω μὲν ὑπὲρ Ἀμφίσσης πρὸς ἤπειρον Μυωνία, σταδίοις ἀπωτέρω τριάκοντα Ἀμφίσσης—κεῖται δὲ πόλισμα ἐπὶ ὑψηλοῦ. The road from Amphissa to Naupactus first ascended the valley in which Amphissa itself stood; crossing the mountains at the head of this valley, and then descended by another valley to Naupactus. The Myonensians, or Myoneans, lived near the head of the first valley, or valley of Amphissa: so that an army marching from Amphissa to Naupactus must have passed through their country. The present road from Salona on the Crissæan gulf to Naupactus or Lepanto, follows nearly the same direction. See Sir W. Gell, Itinerar. of Greece, p. 197. As for the tribes whose names immediately follow, it is not possible to ascertain their respective situations exactly: it is sufficient, as no military movements are

Ἰπνέας καὶ Μεσσαπίους καὶ Τριταιέας καὶ Χαλαίους καὶ 3 Τολοφωνίους καὶ Ἡσσίους καὶ Οἰανθέας. οὗτοι καὶ ξυνε-4 στράτευον πάντες. Ὀλπαῖοι δὲ ὁμήρους μὲν ἔδοσαν, ἠκολούθουν δὲ οὔ· καὶ Ὑαῖοι οὐκ ἔδοσαν ὁμήρους πρὶν αὐτῶν εἷλον κώμην Πόλιν ὄνομα ἔχουσαν. CII. ἐπειδὴ δὲ παρε- 5 σκεύαστο πάντα καὶ τοὺς ὁμήρους κατέθετο ἐς Κυτίνιον τὸ Δωρικὸν, ἐχώρει τῷ στρατῷ ἐπὶ τὴν Ναύπακτον διὰ τῶν Λοκρῶν, καὶ πορευόμενος Οἰνεῶνα αἱρεῖ αὐτῶν καὶ Εὐπάλιον· οὐ 2 γὰρ προσεχώρησαν. γενόμενοι δ' ἐν τῇ Ναυ- 10 πακτίᾳ, καὶ οἱ Αἰτωλοὶ ἅμα ἤδη προσβεβοηθηκότες, ἐδῄουν τὴν γῆν καὶ τὸ προάστειον ἀτείχιστον ὂν εἷλον· ἐπί τε Μολύκριον ἐλθόντες τὴν Κορινθίων μὲν ἀποικίαν Ἀθηναίων 3 δὲ ὑπήκοον αἱροῦσι. Δημοσθένης δὲ ὁ Ἀθηναῖος (ἔτι γὰρ 15 ἐτύγχανεν ὢν μετὰ τὰ ἐκ τῆς Αἰτωλίας περὶ Ναύπακτον) προαισθόμενος τοῦ στρατοῦ καὶ δείσας περὶ αὐτῆς, ἐλθὼν

Naupactus is saved by the Acarnanians, who, at the earnest request of Demosthenes, furnish him with troops sufficient to defend the 2 place. The Peloponnesians then proceed to Calydon, and concert an attack with the Ambraciots upon Acarnania and Argos Amphilochicum.

1. *μεσαπίους* K.L. Sic VII. 33, 3. *μεσαπίου* L.O.K.h.k. *τριτοιέας* C.G.I.L. O.P.d.i. *χαλαίους* A.B.C.E.F.G.H.K.L.N.O.P.V.d.e.f.g.i. Haack. Poppo. Goell. Bekk. Vulgo *χαλλαίους*. 2. *κολοφωνίους* L.O. *τολοφονίους* d.e. *ἠσσαίους* G.I.L.O.P.Q.d.e. *καὶ ξυνεστρ.*] *ξυνεστρ. δὲ* G.L.O.P. *ξυνεστρ.* C.d.e.g. 3. *ὀλπιαῖοι* C.K.Q.V.f. 4. *υἱαῖοι* K. *οἰαῖοι* i. 5. *εἷλον*] *εἷλκον* A.B.E.F. 6. *κατέθετο*] om. E. 7. *κυντίνιον* K.L.O. *κιτίνιον* e. 8. *τὸν ναύπακτον* d. *τὸ ναύπακτον* i. 9. *οἰνεῶνα* F. *οἰῶνα* I. *οιγεων* d. *αὐτὸν* Q.g. et correctus C. 11. *προβεβοηθηκότες* O. *βεβοηθηκότες* L. *προβεβοηκότες* b. 12. *προάστιον* F.K. 13. *μολύκριον* A.B.E.F.H.K.V.c.f.g. Poppo. *μολίκρηον* d. i. Vulgo, Bekk. Goell. *μολύκρειον*. 15. *δὲ*] *γὰρ* i. 17. an *αὐτῇ*? Bekk.

here described in detail, to know that they were the several tribes or states of the Ozolian Locrians.

9. *Οἰνεῶνα αἱρεῖ αὐτῶν καὶ Εὐπάλιον*] These towns must have been on or near the sea-coast, on the lower road to Naupactus, possibly in the direction of the present road from Salona to Lepanto, or Epacto, by Petrinitza. See Gell's Itiner. of Greece, p. 294. and Dodwell, Classical Tour, vol. I. p. 129. Œneon is expressly said to have been on the sea-coast, c. 98, 2. and so Dr. Cramer has rightly placed it in his map.

16. *μετὰ τὰ ἐκ τῆς Αἰτωλίας*] "After "what had befallen him from Ætolia," or, "had happened on the side, or in "the quarter, of Ætolia." Compare IV. 81, 2. *τὸν—μετὰ τὰ ἐκ Σικελίας πόλεμον*. and the note on I. 64, 1.

17. *δείσας περὶ αὐτῆς*] As Thucydides in expressions of this sort commonly uses the dative case, (I. 60, 1. 67, 1. 74, 5. 119, 2. IV. 123, 2.) Bekker proposes to read *περὶ αὐτῇ* in this place also. But

πείθει Ἀκαρνᾶνας, χαλεπῶς διὰ τὴν ἐκ τῆς Λευκάδος ἀναχώρησιν, βοηθῆσαι Ναυπάκτῳ. καὶ πέμπουσι μετ' αὐτοῦ 4 ἐπὶ τῶν νεῶν χιλίους ὁπλίτας, οἳ ἐσελθόντες περιεποίησαν τὸ χωρίον. δεινὸν γὰρ ἦν μὴ μεγάλου ὄντος τοῦ τείχους, 5 5 ὀλίγων δὲ τῶν ἀμυνομένων, οὐκ ἀντίσχωσιν. Εὐρύλοχος δὲ 6 καὶ οἱ μετ' αὐτοῦ ὡς ᾔσθοντο τὴν στρατιὰν ἐσεληλυθυῖαν καὶ ἀδύνατον ὂν τὴν πόλιν βίᾳ ἑλεῖν, ἀνεχώρησαν, οὐκ ἐπὶ Πελοποννήσου, ἀλλ' ἐς τὴν Αἰολίδα τὴν νῦν καλουμένην Καλυδῶνα καὶ Πλευρῶνα καὶ ἐς τὰ ταύτῃ χωρία καὶ ἐς 10 Πρόσχιον τῆς Αἰτωλίας. οἱ γὰρ Ἀμπρακιῶται ἐλθόντες 7 πρὸς αὐτοὺς πείθουσιν ὥστε μετὰ σφῶν Ἄργει τε τῷ Ἀμφιλοχικῷ καὶ Ἀμφιλοχίᾳ τῇ ἄλλῃ ἐπιχειρῆσαι καὶ Ἀκαρνανίᾳ ἅμα, λέγοντες ὅτι ἢν τούτων κρατήσωσι, πᾶν τὸ ἠπειρωτικὸν Λακεδαιμονίοις ξύμμαχον καθεστήξει. καὶ ὁ 8 15 μὲν Εὐρύλοχος πεισθεὶς καὶ τοὺς Αἰτωλοὺς ἀφεὶς ἡσύχαζε τῷ στρατῷ περὶ τοὺς χώρους τούτους, ἕως τοῖς Ἀμπρακιώταις ἐκστρατευσαμένοις περὶ τὸ Ἄργος δέοι βοηθεῖν. καὶ τὸ 9 θέρος ἐτελεύτα.

2. αὐτοὺς ἐκ d. 3. ἐπὶ] ἐκ B. ἐ E.F. ἐπελθόντες G. περιεποιησαν B.E.F.G.H.I.f.g.h. Poppo. Goell. Bekk. περιεποιήσαντο χωρίον C. A. et vulgo περιεποιήσαντο. 4 μὴ] om. K. μεγάλου μὲν ὄντος N.V. 5. ἀντισχῶσιν K. δὲ] om. K. 9. καὶ ἐς τὰ] ἐς d. 10. πρόσχον K. 11. μετ' αὐτῶν c. τε] om. d. 13. Ἀκαρνανίᾳ ἅμα· λέγοντες κ. τ. λ. C. Ita Bekk. in ed. 1832. ὅτι] om. d.i. 14. Ἠπειρωτικὸν vulgo, Bekk. Goell. nos cum Poppon. et Haack. hic quoque minuscula litera scripsimus. 15. εὐρύμαχος d.i. ἀφθεὶς V. 16. ἕως—βοηθεῖν] om. Q.

tive occurs VIII. 93, 3. ἐφοβεῖτο περὶ τοῦ παντὸς πολιτικοῦ. and in Xenoph. Cyrop. I. 4, 22. δείσας περί τε τοῦ υἱοῦ καὶ τοῦ Κύρου. See Poppo, on Thucyd. I. 67, 1.

8. ἐς τὴν Αἰολίδα] Poppo and Göller understand this as the ancient name of the town of Calydon. And Hesychius in Αἰολικὸν θέαμα (see Theocrit. Idyll. I. 56.) says, ἡ γὰρ Καλυδὼν Αἰολὶς ἐκαλεῖτο. On the other hand, Wasse, Palmer, and Kruse, interpret it as the name of the country in which Calydon was situated: and Strabo mentions a tradition, "that the Æolians once in-"vaded and occupied the country "round Pleuron, which had formerly "belonged to the Curetes." X. 3, 6. And this, I think, is the true meaning, that the district once called Æolis was now called by the names of the two principal towns in it, Calydon and Pleuron.

SICILY. A. C. 426. Olymp. 88. 3.

SICILY.
Trifling operations of the Athenians in Sicily and Italy.

CIII. Οἱ δ' ἐν τῇ Σικελίᾳ Ἀθηναῖοι τοῦ ἐπιγιγνομένου χειμῶνος ἐπελθόντες μετὰ τῶν Ἑλλήνων ξυμμάχων, καὶ ὅσοι Σικελῶν κατὰ κράτος ἀρχόμενοι ὑπὸ Συρακοσίων καὶ ξύμμαχοι ὄντες ἀποστάντες αὐτοῖς ἀπὸ Συρακοσίων ξυνεπολέμουν, ἐπ' 5 Ἴνησσαν τὸ Σικελικὸν πόλισμα, οὗ τὴν ἀκρόπολιν Συρακόσιοι εἶχον, προσέβαλλον καὶ ὡς οὐκ ἐδύναντο ἑλεῖν, 2 ἀπῄεσαν. ἐν δὲ τῇ ἀναχωρήσει ὑστέροις Ἀθηναίων τοῖς ξυμμάχοις ἀναχωροῦσιν ἐπιτίθενται οἱ ἐκ τοῦ τειχίσματος Συρακόσιοι, καὶ προσπεσόντες τρέπουσί τε μέρος τι τοῦ 10 3 στρατοῦ καὶ ἀπέκτειναν οὐκ ὀλίγους. καὶ μετὰ τοῦτο ἀπὸ τῶν νεῶν ὁ Λάχης καὶ οἱ Ἀθηναῖοι ἐς τὴν Λοκρίδα ἀποβάσεις τινὰς ποιησάμενοι κατὰ τὸν Καικῖνον ποταμὸν, τοὺς προσβοηθοῦντας Λοκρῶν μετὰ Προξένου τοῦ Καπάτωνος ὡς τριακοσίους μάχῃ ἐκράτησαν καὶ ὅπλα λαβόντες ἀπε- 15 χώρησαν.

CIV. Τοῦ δ' αὐτοῦ χειμῶνος καὶ Δῆλον ἐκάθηραν Ἀθη- 2 ναῖοι κατὰ χρησμὸν δή τινα. ἐκάθηρε μὲν γὰρ καὶ Πεισί-

2. Ἑλλήνων] ἄλλων L. 5. ἐπολέμουν K. ἐπ' ἴνησσαν F.H.g. Haack. Poppo. Goell. Bekk. ut legendum conjecerant Cluverius et Bochartus. ἐπὶ νίσαν G.L.O.P.Q.d.e.i. A.B.E. et vulgo ἐπὶ νῆσσαν. Conf. VI. 94, 3. νίσαν correctus C. 7. προσέβαλλον A.B.E.F. pr. G. et vulgo. προσέβαλον K.Q.d.e.i. corr. G. Bekk. Goell. 8. ἀθηναίοις K. 10. τρέπουσί τε] om. g. τὸ μέρος d.i. μέρος, omisso τι, L.O.P.e. 11. καὶ ante ἀπέκτειναν om. g. 13. καικῖνον A.B.E.F.G.H.g. Poppo. Goell. καϊκῖνον Bekk. καικηνὸν P.d. καικον e. καικυνον i. Vulgo καϊκινόν. τοὺς] om. e. 14. μετὰ τοῦ προξένου N.V. καταπάτωνος c.f. 17. οἱ ἀθηναῖοι K.Q. 18. αὐτὴν post γὰρ habet V.

6. Ἴνησσαν τὸ Σικελικὸν πόλισμα] "The Sicel town, or chief strong hold;" i. e. "the strong hold of the Sicels just "before spoken of." This place was situated on Ætna, and was afterwards called Ætna. Diodorus, XI. p. 281. The imperfect προσέβαλλον expresses, "proceeded, or began to attack the "town." For the practice of the Syracusans occupying the citadels of the Sicel towns, compare VI. 88, 5.

17. Δῆλον ἐκάθηραν] In insula Delo Apollini sacra nec parere fas fuit, nec mortuum sepelire. Hinc (quod mortui in ipsa sepulturæ essent mandati) illa Deli κάθαρσις, quam non semel Athenienses procurarunt. Vide Diodor. Sic. l. XII. et Strab. l. X. De ritu vero Atheniensium in urbe lustranda vide Meursii Attic. Lect. l. IV. c. 23. HUDS. Add. Spanhem. ad Callimach. Hymn. in Del. v. 1. et 277. DUKER.

18. κατὰ χρησμὸν δή τινα] Compare I. 24, 2. κατὰ δὴ τὸν παλαιὸν νόμον ἐκ τῆς μητροπόλεως κατακληθείς. III. 10, 5. αὐτόνομοι δὴ ὄντες. VI. 54, 4. ὡς οὐ διὰ τοῦτο δή. VII. 81, 2. δίχα δὴ ὄντας. I have collected all these places together,

DELOS.
Solemn purification of the island of Delos by the Athenians. (Thucydides here takes occasion to mention the great festivals anciently held at Delos, and quotes two passages from Homer's hymn to Apollo.)

στρατος ὁ τύραννος πρότερον αὐτὴν, οὐχ ἅπασαν ἀλλ' ὅσον ἀπὸ τοῦ ἱεροῦ ἐφεωρᾶτο τῆς νήσου· τότε δὲ πᾶσα ἐκαθάρθη τοιῷδε τρόπῳ. θῆκαι ὅσαι ἦσαν τῶν τεθνεώτων ἐν Δήλῳ, 3 πάσας ἀνεῖλον, καὶ τὸ λοιπὸν προεῖπον μήτε 5 ἐναποθνήσκειν ἐν τῇ νήσῳ μήτε ἐντίκτειν, ἀλλ' ἐς τὴν Ῥήνειαν διακομίζεσθαι. (ἀπέχει δὲ ἡ 4 Ῥήνεια τῆς Δήλου οὕτως ὀλίγον ὥστε Πολυκράτης ὁ Σαμίων τύραννος, ἰσχύσας τινὰ χρόνον ναυτικῷ καὶ τῶν τε ἄλλων 10 νήσων ἄρξας καὶ τὴν Ῥήνειαν ἑλὼν, ἀνέθηκε τῷ Ἀπόλλωνι τῷ Δηλίῳ ἁλύσει δήσας πρὸς τὴν Δῆλον.) καὶ τὴν πεντε- 5 τηρίδα τότε πρῶτον μετὰ τὴν κάθαρσιν ἐποίησαν οἱ Ἀθηναῖοι, τὰ Δήλια. ἦν δέ ποτε καὶ τὸ πάλαι μεγάλη ξύνοδος 6

2. ἐφωρᾶτο V.c.f. ἀφεωρᾶτο G.L.O.P. 3. δὴ c. 5. προεῖπον] om. d.i. 6. ἐναποτίκτειν e. 8. τῆς Δήλου] om. f. 9. χρόνωι B. 11. πενταετηρίδα G.L.O.P. πενταετηρίαν d.e.i. πεντετηρίαν C.

to show how it is that δὴ, like δῆθεν, is sometimes used by writers to show that the statement or the reasons which they are recording are not what they really believe, but such as were given by the parties themselves. In VII. 81, 2. δίχα δὴ ὄντας, and in I. 24, 2. κατὰ δὴ τὸν παλαιὸν νόμον κατακληθεὶς, there is no such signification, but the conjunction merely serves to draw the attention and notice of the reader; "Being, you see, "divided." "Being invited, you are "to observe, according to the old law." But this expression is so readily susceptible of becoming ironical, like the English expression, "forsooth," that αὐτόνομοι δὴ ὄντες, III. 10, 5. "Being, "you see, independent," means, "Be-"ing, as they pretend, independent:" and in the present chapter, κατὰ χρησμὸν δή τινα means, "In compliance, "as they professed, with a certain "oracle." The god of Delos, Apollo, was particularly the god of the Dorians: his aid had been promised to the Peloponnesians at the beginning of the war; and in the plague which had visited Athens, he was thought to have redeemed his promise. It was therefore important to the Athenians to propitiate him; and the government would readily avail themselves of any oracular answer, whether real or invented for the occasion, which is the suspicion implied by δὴ, to perform an act of reverence to his birthplace.

2. ὅσον ἀπὸ τοῦ ἱεροῦ ἐφεωρᾶτο τῆς νήσου] Compare I. 8, 2. and Herodot. I. 64, 2, 3. ἐπ' ὅσον ἔποψις τοῦ ἱροῦ εἶχε.

13. τὰ Δήλια] Vide Meursii Græciam Feriatam, p. 83. HUDS. Et Spanhem. ad Inscript. Hymn. Callimach. in Delum. Περικτίονες νησιῶται, quorum conventum in Delum mox memorat Thucydides, sunt incolæ Cycladum, Idem ibid. ad v. 3. Θεωρεῖν hac significatione cum præpositione εἰς dicit etiam Lucian. Timon. pag. 152. ἀλλ' οὐδὲ ἐθεώρησα οὐδὲ ἐγὼ πώποτε εἰς Ὀλυμπίαν; quod est ex Aristoph. Vesp. 1183. Ἐγὼ δὲ τεθεώρηκα πώποτ' οὐδαμοῦ, Πλὴν ἐς Πάρον. *Ludos spectatum venire* interpretatur H. Stephanus: *ad sacra proficisci, interesse sacris*, Reines. VI. Var. Lect. 6. p. 463. Sed quod est in Thucyd. VIII. 10, 1. καὶ οἱ Ἀθηναῖοι ἐθεώρουν ἐς αὐτὰ, nempe τὰ Ἴσθμια, de iis dicitur, qui publice θεωροὶ mittebantur, de qui-

ἐς τὴν Δῆλον τῶν Ἰώνων τε καὶ περικτιόνων νησιωτῶν· ξύν τε γὰρ γυναιξὶ καὶ παισὶν ἐθεώρουν, ὥσπερ νῦν ἐς τὰ Ἐφέσια Ἴωνες, καὶ ἀγὼν ἐποιεῖτο αὐτόθι καὶ γυμνικὸς καὶ 7 μουσικὸς, χορούς τε ἀνῆγον αἱ πόλεις. δηλοῖ δὲ μάλιστα Ὅμηρος ὅτι τοιαῦτα ἦν ἐν τοῖς ἔπεσι τοῖσδε, ἅ ἐστιν ἐκ 5 προοιμίου Ἀπόλλωνος·

> ἄλλοτε Δήλῳ, Φοῖβε, μάλιστά γε θυμὸν ἐτέρφθης,
> ἔνθα τοι ἑλκεχίτωνες Ἰάονες ἠγερέθονται
> σὺν σφοῖσιν τεκέεσσι γυναιξί τε σὴν ἐς ἀγυιάν·
> ἔνθα σε πυγμαχίῃ καὶ ὀρχηστυῖ καὶ ἀοιδῇ
> μνησάμενοι τέρπουσιν, ὅταν καθέσωσιν ἀγῶνα. 10

1. ἐς τὴν Δῆλον] om. d.i. περικτυόνων G.I.d.i. 3. Ἐφέσια] Vid. Locell. ad Xenophont. Ephes. p. 3. 7. 5. ταῦτα V. 6. τοῦ ἀπόλλωνος K. 7. ἄλλοτε Haack. Poppo. Goell. ed. 2. ἀλλ' ὅτε A.B.C.E.F.G.H.K.L.N.O.P. Q.V.c.d.e.f.g.h.i. Bekk. Vulgo ἀλλὰ σύ. Φοῖβε] om. A.B. μάλιστά γε θυμὸν ἐτέρφθης libri omnes: Haack. Poppo. Goell. Bekk. Vulgo μάλιστ' ἐπιτέρπεαι ἦτορ. cum ceteris libris consentit C. 8. ἴωνες B.K. ἠγερέθοντο Q. 9. αὐτοῖς σὺν τεκέεσσι γυναιξί τε αἰδοίῃσιν N. ceteri, ut edidi, nisi quod nonnulli σφίσιν vel σφῖσι et τὴν et ἄγυιαν. Vulgo αὐτοῖς σὺν παίδεσσι καὶ αἰδοίῃς ἀλόχοισιν. cum ceteris libris consentit C. ita Haack. Poppo. Goell. Bekk. 10. σε] τε Q. πυγμαχίῃ τε καὶ Goell. Bekk. καὶ] τε καὶ I. κ' c.f. ὀρχηστύϊ plerique omnes Bekk. ὀρχηθμῷ N. Totum versum vulgo ita edunt ἔνθα σε πυγμαχίῃ τε καὶ ὀρχηθμῷ καὶ ἀοιδῇ. nobiscum Poppo. 11. τέρπωσιν d. καθέσωσιν B.C.E.F.G.H.P.V.d.e.f.g.h.i. et, incertis litteris κα, A. καὶ θέσωσιν I. καθιστῶνται Q. vulgo στήσωνται. nobiscum Haack. Poppo. Goell. Bekk.

bus Spanhem. l.d. v. 314. quemadmodum apud Thucyd. V. 18, 1. θεωρεῖν κατὰ τὰ πάτρια, est, ut ibi Schol. θεωροὺς πέμπειν. Quæ de Ephesiis hic tradit Thucydides, ea pluribus exsequitur Dion. Halic. IV. 25. Add. Spanhem. ll. dd. et ad v. 279. ubi Poëta, πᾶσαι δὲ χοροὺς ἀνάγουσι πόληες. Duker.

5. ἐκ προοιμίου Ἀπόλλωνος] Προοίμιον pro Hymno, etiam alii dicunt. Vid. Menag. ad Laërt. VIII. 57. Sed de etymo aliter, ac plerique alii, qui ab οἴμη, id est ᾠδή, derivant, sentit Schol. & Æschyl. ad v. 7. Sept. cont. Theb. Τὸ τοῦ προοιμίου ὄνομα, inquit, οὐκ ἄλλο, ἢ τὸν ἔπαινον δηλοῖ. πρὸ γὰρ τῶν οἴμων καὶ τῶν ὁδῶν οἱ παλαιοὶ τοὺς ἐπαίνους ᾖδον. ὥσπερ ἐστὶ καὶ τὸ ἐγκώμιον, τὸ ἐν κώμαις καὶ στενωποῖς λεγόμενον. κώμας γὰρ ἐκάλουν τοὺς στενωπούς. Etsi autem ex hoc loco constat, Thucydidem Hymnum Apollinis, qui nunc quoque exstat, pro genuino fœtu Homeri habuisse: tamen ex eo non confici potest, eum idem de omnibus aliis, qui sub Homeri nomine circumferuntur, sensisse. Itaque paullo liberaliorem, quam par erat, puto fuisse Menagium l. d. ita scribentem, quasi existimet, hinc ostendi, Thucydidem omnes, ut Homericos, agnovisse. Sed legi debent, quæ de hoc argumento scripserunt Fabricius II. Biblioth. Gr. 2. 4. et Barnesius ad Homer. Hymn. in Apoll. v. 1. et 169. Duker.

7. ἄλλοτε] I have followed Haack and Poppo in adopting this reading, instead of ἀλλ' ὅτε, which Bekker has preferred on the authority of almost all the MSS. The reading in the common text of Homer's Hymns is ἀλλὰ σὺ, but, in all the lines here quoted, the MSS. of Thucydides give a very different text from our existing MSS. of

ὅτι δὲ καὶ μουσικῆς ἀγὼν ἦν καὶ ἀγωνιούμενοι ἐφοίτων, ἐν 8 τοῖσδε αὖ δηλοῖ, ἅ ἐστιν ἐκ τοῦ αὐτοῦ προοιμίου· τὸν γὰρ Δηλιακὸν χορὸν τῶν γυναικῶν ὑμνήσας ἐτελεύτα τοῦ ἐπαίνου ἐς τάδε τὰ ἔπη, ἐν οἷς καὶ ἑαυτοῦ ἐπεμνήσθη·

5 ἀλλ' ἄγεθ', ἱλήκοι μὲν Ἀπόλλων Ἀρτέμιδι ξὺν,
χαίρετε δ' ὑμεῖς πᾶσαι. ἐμεῖο δὲ καὶ μετόπισθε
μνήσασθ', ὁππότε κέν τις ἐπιχθονίων ἀνθρώπων
ἐνθάδ' ἀνείρηται ταλαπείριος ἄλλος ἐπελθὼν
"ὦ κοῦραι, τίς δ' ὔμμιν ἀνὴρ ἥδιστος ἀοιδῶν
10 "ἐνθάδε πωλεῖται, καὶ τέῳ τέρπεσθε μάλιστα;"
ὑμεῖς δ' εὖ μάλα πᾶσαι ὑποκρίνασθ' εὐφήμως
"τυφλὸς ἀνὴρ, οἰκεῖ δὲ Χίῳ ἔνι παιπαλοέσσῃ."

τοσαῦτα μὲν Ὅμηρος ἐτεκμηρίωσεν ὅτι ἦν καὶ τὸ πάλαι 9 μεγάλη ξύνοδος καὶ ἑορτὴ ἐν τῇ Δήλῳ· ὕστερον δὲ τοὺς μὲν 15 χοροὺς οἱ νησιῶται καὶ οἱ Ἀθηναῖοι μεθ' ἱερῶν ἔπεμπον, τὰ δὲ περὶ τοὺς ἀγῶνας καὶ τὰ πλεῖστα κατελύθη ὑπὸ ξυμφορῶν, ὡς εἰκὸς, πρὶν δὴ οἱ Ἀθηναῖοι τότε τὸν ἀγῶνα ἐποίησαν καὶ ἱπποδρομίας, ὃ πρότερον οὐκ ἦν.

1. μουσικὸς e. 2. αὖ] οὖν c. ἅ] ὅ E. 5. ἄγεθ' ἡλίκοι K.Q. ἄγε δὴ λήκοι c. ἄγε δὴ λητὼ b. 6. ἐμοῖο I.P.Q.V.c.d.e. 7. ὁπότε B.F.H.K.g. 8. ἂν εἴρηται C.K. ἀνήρηται B.h. ἂν ἦρται I. ἀταλαπείριος ἄλλος ἐπελθὼν I. ταλαπείριος ἄλλος ἐπελθὼν C. et ceteri præter c. omittentem participium. vulgo ξεῖνος ταλαπείριος ἐλθών. nobiscum Haack. Poppo. Goeller. Bekk. 9. ὑμῖν B.C.E.F.H.I.K.P.V.c.f.g.h.i. ὔμιν corr. F. ὕμιν Q. ἀηδων g. 11. ὑποκρίνασθαι B.E.F. ἀποκρίνασθαι h. vulgo ὑποκρίνασθε. nobiscum Poppo. Goeller. Bekk. εὐφήμως I.P.Q.V.c.d.e.f.i. Poppo. Goeller. Bekk. Vulgo ἀφήμως. 12. ἔνι] ἐν K. παπαλοέσσῃ b. πεπαλοέσῃ g. 15. καὶ ἀθηναῖοι Q. om. L. 16. καὶ τὰ πλεῖστα om. G. κατελύθη] κατελείφθη K. συμφορῶν Q. 17. οἱ τότε V. τότε] om. Q. post ἀγῶνα ponit L. 18. ὃ] ὅπερ i. οὐκ ἦν] om. c.

Homer, which have been revised by the grammarians of Alexandria. Ἄλλοτε is, "otherwhiles, at other times."

15. μεθ' ἱερῶν ἔπεμπον] "Sent the "choral bands of dancers with sacri- "fices." Ἱερεῖα would mean simply the animals killed in the sacrifices; ἱερὰ seems to include every thing required for the sacrifice, such perhaps as the tripod, (compare Herodot. IV. 179, 1.) and all the other vessels, &c. that were needed. Plutarch, in his Life of Nicias, speaking of Nicias going to Delos with one of the Athenian θεωρίαι, describes him as τὸν χορὸν ἔχων, καὶ τὰ ἱερεῖα, καὶ τὴν ἄλλην παρασκευήν. c. 3. The τὰ ἱερεῖα καὶ τὴν ἄλλην παρασκευὴν appear to correspond to the ἱερὰ of Thucydides.

WESTERN GREECE.
Expedition of the Ambraciots and Peloponnesians against Amphilochian Argos. The Ambraciots occupy Olpæ: the Acarnanians choose Demosthenes for their commander, and propose to hinder the Peloponnesians from effecting a junction with the Ambraciots.

CV. Τοῦ δ' αὐτοῦ χειμῶνος Ἀμπρακιῶται, ὥσπερ ὑποσχόμενοι Εὐρυλόχῳ τὴν στρατιὰν κατέσχον, ἐκστρατεύονται ἐπὶ Ἄργος τὸ Ἀμφιλοχικὸν τρισχιλίοις ὁπλίταις, καὶ ἐσβαλόντες ἐς τὴν Ἀργείαν καταλαμβάνουσιν Ὄλπας, τεῖχος ἐπὶ λόφου ἰσχυρὸν πρὸς τῇ θαλάσσῃ, ὅ ποτε Ἀκαρνᾶνες τειχισάμενοι κοινῷ δικαστηρίῳ ἐχρῶντο· ἀπέχει δὲ ἀπὸ τῆς Ἀργείων πόλεως ἐπιθαλασσίας οὔσης πέντε καὶ εἴκοσι σταδίους μάλιστα. 2 οἱ δὲ Ἀκαρνᾶνες οἱ μὲν ἐς Ἄργος ξυνεβοήθουν, οἱ δὲ τῆς Ἀμφιλοχίας ἐν τούτῳ τῷ χωρίῳ ὃ Κρῆναι καλεῖται, φυλάσσοντες τοὺς μετὰ Εὐρυλόχου Πελοποννησίους μὴ λάθωσι πρὸς τοὺς Ἀμπρακιώτας διελθόντες, ἐστρατοπεδεύσαντο· πέμπουσι δὲ καὶ ἐπὶ Δημοσθένην τὸν ἐς τὴν Αἰτωλίαν Ἀθηναίων στρατηγήσαντα, ὅπως σφίσιν ἡγεμὼν γίγνηται, καὶ ἐπὶ τὰς εἴκοσι ναῦς Ἀθηναίων αἳ ἔτυχον περὶ Πελοπόννησον οὖσαι, ὧν ἦρχεν Ἀριστοτέλης τε

1. τοῦ—ὑποσχόμενοι] καὶ σχόμενοι c. 3. ἐπὶ τὸ ἄργος τὸ A.B.L. 4. ἐκβαλόντες P. ἐσβάλλοντες c. 5. ὀλπὰς K. et infra Q. ὄλπας B. 7. ἐπέχει E. 14. ἐστρατοπεδεύοντο d. ἐπὶ] om. d. 15. ἀθηναῖοι P. om. d.g. 16. ναῦς τῶν ἀθηναίων L.O.P.Q.d.

7. κοινῷ δικαστηρίῳ] Describit ex hoc loco Stephan. v. Ὄλπαι. Duker.

11. τῆς Ἀμφιλοχίας ἐν τούτῳ τῷ χωρίῳ ὃ Κρῆναι καλεῖται] This is the common order of the words in Greek, when a particular place is mentioned together with the country in which it is situated, and when the name of the place is added for the fuller information of the reader, but is subordinate in the writer's mind to the mention of the country. In these cases the name of the country always comes first, in the genitive case, dependent in grammatical construction on the name of the particular place or town that follows it; where in English we should keep the same order, and use the same preposition with both names; "In Amphilochia, in the place called Wells." Compare Herodot. VI. 101, 1. κατέσχον τὰς νέας τῆς Ἐρετρικῆς χώρης κατὰ Ταμύνας. IV. 110, 3. ἀπικνέονται τῆς λίμνης τῆς Μαιήτιδος ἐπὶ Κρημνούς. The fuller expression occurs, IV. 151, 3. ἀπικέσθαι ἐς Λιβύην, καὶ Λιβύης ἐς Πλατέαν νῆσον. So Thucydides, I. 111, 1. ἐστράτευσαν τῆς Θεσσαλίας ἐπὶ Φάρσαλον. and 114, 4. τῆς Ἀττικῆς ἐς Ἐλευσῖνα ἐσβαλόντες. II. 18, 1. 21, 1. 25, 4, &c. When the town is the principal subject, and the name of the country is added to describe its situation more exactly, the name of the town comes first, as I. 108, 1. ἐν Τανάγρᾳ τῆς Βοιωτίας. II. 2, 1. ἐς Πλάταιαν τῆς Βοιωτίας. 25, 1. ἐς Μεθώνην τῆς Λακωνικῆς.

ὁ Τιμοκράτους καὶ Ἱεροφῶν ὁ Ἀντιμνήστου. ἀπέστειλαν δὲ 3 καὶ ἄγγελον οἱ περὶ τὰς Ὄλπας Ἀμπρακιῶται ἐς τὴν πόλιν κελεύοντες σφίσι βοηθεῖν πανδημεί, δεδιότες μὴ οἱ μετ' Εὐρυλόχου οὐ δύνωνται διελθεῖν τοὺς Ἀκαρνᾶνας καὶ σφίσιν 5 ἢ μονωθεῖσιν ἢ μάχη γένηται ἢ ἀναχωρεῖν βουλομένοις οὐκ ᾖ ἀσφαλές. CVI. οἱ μὲν οὖν μετ' Εὐρυλόχου Πελοποννήσιοι ὡς ᾔσθοντο τοὺς ἐν Ὄλπαις Ἀμπρακιώτας ἥκοντας, ἄραντες ἐκ τοῦ Προσχίου ἐβοήθουν κατὰ τάχος, καὶ διαβάντες τὸν Ἀχελῷον ἐχώρουν δι' Ἀκαρνανίας οὔσης ἐρήμου 10

The Peloponnesians elude the vigilance of the Acarnanians, and effect a junction with the Ambraciots at Olpæ.

2. ἀμπρ. καὶ ἐς d. 3. μὴ οἱ] om. P. 4. οὐ] μὴ L.O.P.i. δυνῶνται B. 5. ἢ om. G. ἢ] ἦν Q. 6. ᾖ] ἦν I. 7. ἐν ταῖς ὄλπαις c.

7. τοὺς ἐν Ὄλπαις Ἀμπρακιώτας ἥκοντας] Literally, "When they found "that the Ambraciots at Olpæ were "arrived," i. e. "were arrived there, at "Olpæ." Thucydides speaks of "the "Ambraciots at Olpæ," because he had mentioned their arrival there in the preceding chapter; and he now says, that the Peloponnesians were informed of it. Ἥκοντας, like οἰχομένους, is rightly used in a past signification. See the note on II. 65, 12. and compare VI. 96, 1. ὡς ἐπύθοντο τοὺς ἱππέας ἥκοντας. Compare also for the preposition ἐν, and the repetition of ἐς αὐτὰς after ἥκοντας, IV. 14, 1. ταῖς δὲ λοιπαῖς ἐν τῇ γῇ καταπεφευγυίαις ἐνέβαλλον, where ἐς αὐτὴν must be understood after the participle καταπεφευγυίαις.

8. ἄραντες ἐκ τοῦ Προσχίου κ. τ. λ.] The route of the Peloponnesian army was as follows. They set out from Proschion, a town of Ætolia, not far from Pleuron and Calydon, whither they had retreated after their fruitless attempt upon Naupactus. (ch. 102, 6.) They then crossed the Achelous, the boundary between Ætolia and Acarnania, (Strabo, X. 2, 1.) and marching up the river, passed through the country of the Stratians, but left the town of Stratus itself at some little distance on the right hand. From the Stratian territory they passed into that of the Phytians, or Phætæans, (Polybius, IV. 63, 7.) who were also a people of Acarnania, situated to the north of Stratus; and from thence through the extreme eastern frontier of the Medeonians, or Medionians; (Polybius, II. 2. Livy, XXXVI. 11.) for the greater part of their country lay further to the westward, reaching down to the sea-coast. They then entered the territory of Limnæa, the last place in Acarnania: from whence, had they followed a straight course, they would have entered at once into the country of Argos; (II. 80, 11.) but as their object was not the town of Argos, but Olpæ, which lay to the northward of it, they turned to the right, and so entered Agræa; and keeping the mountains during the day, descended into the country of Argos about nightfall; then passing under cover of the darkness between the town of Argos and the Acarnanian army at Crenæ, or Wells, they effected their junction in safety with the Ambraciots at Olpæ. As no actual survey has been yet taken of this country, it is impossible to ascertain the position of the obscure places here mentioned. But we know from Thucydides, that Argos Amphilochichum and Olpæ both stood close upon the sea, at twenty-five stadia from one another; and Crenæ, or Wells, would seem by its name to have been a spot just at the foot of the hills, where the

διὰ τὴν ἐς Ἄργος βοήθειαν, ἐν δεξιᾷ μὲν ἔχοντες τὴν Στρατίων πόλιν καὶ τὴν φρουρὰν αὐτῶν, ἐν ἀριστερᾷ δὲ τὴν 2 ἄλλην Ἀκαρνανίαν. καὶ διελθόντες τὴν Στρατίων γῆν ἐχώ-

1. ἀργείους O.

springs are thrown out, just as Wells in Somersetshire is actually situated. Probably, then, Crenæ was some distance inland, east of Argos Amphilochichum, just at the foot of the hills, and, as is evident, on the ordinary road from Acarnania to Ambracia. But this place being occupied by the Acarnanians, the Peloponnesians passed in the night between it and Argos, and so got into the road nearer the sea, which led direct from Argos to Olpæ. The deep ravine which divided the two armies before the battle, was probably the bed of a torrent running down into the sea, between the hills which here approach close upon the coast, like Shanklin chine, on the south-east coast of the Isle of Wight.

[A map of the gulf of Arta, by Lieut. Wolfe, R. N. accompanied by some observations, appeared in the Journal of the Geographical Society, vol. III. part I. p. 77. But as Lieut. Wolfe does not appear to have extended his survey beyond the immediate coasts of the gulf, it does not assist us in removing the obscurities in the narrative of Thucydides. We learn however that the hills on the east side of the gulf of Arta or Ambracia rise abruptly from the sea to the height of 450 or 500 feet. Their northern extremity overlooks the plains of Arta or Ambracia; and here are some polygonal walls enclosing an area of considerable extent. The ascent from the plains is steep and rugged, and here commences a series of military passes as far as Karavasara, (the most south-eastern point of the gulf,) commanding the high road from Albania to Greece, which leads over this ridge. It is evident that these hills were the scene of the actions described by Thucydides. Karavasara close by the supposed ruins of Argos Amphilochicum, is eleven miles distant from the northern extremity of the range of hills, where they overlook the plain of Ambracia. The summit of the hill supposed to be Argos is about 350 feet high; whence you see to the southward an inland lake of considerable size; but no river flows through the valley into the gulf; water at Karavasara being obtained from wells. To the eastward the hills rise abruptly to the height of about 1500 feet, and here are two peaks which Lieut. Wolfe calls Idomene. The country is still covered with oak forests; the lower hills are overgrown with a thick underwood of briers (Rhamnus Paliurus?) and myrtle amongst the masses of limestone rock. Close to the sea on a hill about two miles and a half north from Argos are some ruins which Lieut. Wolfe calls Olpæ. And about one mile north-east of these across the valley of Argatha are some extensive ruins, described as polygonal, to which he gives the name of Metropolis. But these names cannot be relied on; I have only wished to collect the facts mentioned by Lieut. Wolfe from his own observation as to the actual nature of the country. The limestone of this neighbourhood is I suppose full of caverns and underground streams, which burst out upon the surface with a plentiful gush of water at their very source. Crenæ or Wells would probably be a remarkable collection of these sources, such as occur frequently in the limestone of the central Apennines. The lake visible from the hill of Argos, which has no visible outlet into the gulf, is probably drained by some underground streams, which if they any where break out to the surface would undoubtedly rise with a very copious flow of water. An examination of the ground by one who was at once a scholar and a geographer would probably soon enable us to ascertain all the spots mentioned by Thucydides; and Greece is now so accessible that ere long this, with many other questions in ancient geography, will in all likelihood be set at rest.]

ρουν διὰ τῆς Φυτίας καὶ αὖθις Μεδεῶνος παρ' ἔσχατα, ἔπειτα διὰ Λιμναίας· καὶ ἐπέβησαν τῆς Ἀγραίων, οὐκέτι Ἀκαρνανίας, φιλίας δὲ σφίσι. λαβόμενοι δὲ τοῦ Θυάμου ὄρους, ὅ 3 ἐστιν ἀγροῖκον, ἐχώρουν δι' αὐτοῦ καὶ κατέβησαν ἐς τὴν 5 Ἀργείαν νυκτὸς ἤδη, καὶ διεξελθόντες μεταξὺ τῆς τε Ἀργείων πόλεως καὶ τῆς ἐπὶ Κρήναις Ἀκαρνάνων φυλακῆς ἔλαθον καὶ προσέμιξαν τοῖς ἐν Ὄλπαις Ἀμπρακιώταις. CVII. γενόμενοι δὲ ἀθρόοι ἅμα τῇ ἡμέρᾳ καθίζουσιν ἐπὶ τὴν Μητρόπολιν καλουμένην καὶ στρατόπεδον ἐποιήσαντο.

10 *The Acarnanians under Demosthenes, aided by a few Athenians, prepare to give battle to the Peloponnesians and Ambraciots at Olpæ.*

Ἀθηναῖοι δὲ ταῖς εἴκοσι ναυσὶν οὐ πολλῷ 2 ὕστερον παραγίγνονται ἐς τὸν Ἀμπρακικὸν κόλπον βοηθοῦντες τοῖς Ἀργείοις, καὶ Δημοσθένης Μεσσηνίων μὲν ἔχων διακοσίους ὁπλίτας, ἑξήκοντα δὲ τοξότας Ἀθηναίων. καὶ 3 15 αἱ μὲν νῆες περὶ τὰς Ὄλπας τὸν λόφον ἐκ θαλάσσης ἐφώρμουν· οἱ δὲ Ἀκαρνᾶνες καὶ Ἀμφιλόχων ὀλίγοι (οἱ γὰρ πλείους ὑπὸ Ἀμπρακιωτῶν βίᾳ κατείχοντο) ἐς τὸ Ἄργος ἤδη ξυνεληλυθότες παρεσκευάζοντο ὡς μαχούμενοι τοῖς ἐναντίοις, καὶ ἡγεμόνα τοῦ παντὸς ξυμμαχικοῦ αἱροῦνται 20 Δημοσθένη μετὰ τῶν σφετέρων στρατηγῶν. ὁ δὲ προσα- 4

1. *παρέσχατα* B.F. 2. *οὐδέτι* E. 4. *ἀγροῖκον* B.E.F.H.Q.V.g. Poppo. Goell. Bekk. A.G. et ceteri *ἄγροικον*. 12. *κόλπον*] om. B.E.F.H.N.V.g.h. Poppo. 13. *μὲν ἔχων μεσηνίων* e. *ὁπλίτας διακοσίους* L.O.P. 15. *παρὰ* L. *τῶν λόφων* I.O.d.e.i. 17. *ἀπὸ* Q. 18. *μαχόμενοι* P. 20. *δημοσθένη* A.B. C.F.G.H.V.f.h.i. Poppo. Goell. Bekk. E. et vulgo *δημοσθένην*.

8. *καθίζουσιν ἐπὶ τὴν Μητρόπολιν καλουμένην*] Olpis proxima, et earum fortassis adeo pars aliqua, Metropolis. Poppo. Prolegom. II. p. 142. Kruse thinks that when Thucydides speaks of Olpæ in the plural, he means to include the whole hill, one part of which was occupied by the Acarnanian fort, and another by Metropolis; and that by Olpe in the singular he means the fort only. Olpæ certainly appears to be the general name, and Metropolis to have been one particular part of the hill; but what it was, and why so called, seems doubtful. Probably there was no town actually existing, but the hill may have been chosen as the scene of their national court by the Acarnanians, from some tradition representing it as the earliest settlement of their race; and one part of it in particular may have retained the name of the "mother "city" of Acarnania, although it had served rather for the common sacrifices of the first tribe who settled in the neighbourhood, than had ever been regularly built and fortified as a town.

γαγὼν ἐγγὺς τῆς Ὄλπης ἐστρατοπεδεύσατο· χαράδρα δ' 5 αὐτοὺς μεγάλη διεῖργε. καὶ ἡμέρας μὲν πέντε ἡσύχαζον, τῇ 6 δ' ἕκτῃ ἐτάσσοντο ἀμφότεροι ὡς ἐς μάχην. καὶ (μεῖζόν γὰρ ἐγένετο καὶ περιέσχε τὸ τῶν Πελοποννησίων στρατόπεδον) ὁ Δημοσθένης δείσας μὴ κυκλωθῇ λοχίζει ἐς ὁδόν τινα κοίλην 5 καὶ λοχμώδη ὁπλίτας καὶ ψιλοὺς ξυναμφοτέρους ἐς τετρακοσίους, ὅπως κατὰ τὸ ὑπερέχον τῶν ἐναντίων ἐν τῇ ξυνόδῳ 7 αὐτῇ ἐξαναστάντες οὗτοι κατὰ νώτου γίγνωνται. ἐπεὶ δὲ παρεσκεύαστο ἀμφοτέροις, ᾔεσαν ἐς χεῖρας, Δημοσθένης μὲν τὸ δεξιὸν κέρας ἔχων μετὰ Μεσσηνίων καὶ Ἀθηναίων ὀλί- 10 γων· τὸ δὲ ἄλλο Ἀκαρνᾶνες ὡς ἕκαστοι τεταγμένοι ἐπεῖχον, καὶ Ἀμφιλόχων οἱ παρόντες ἀκοντισταί· Πελοποννήσιοι δὲ καὶ Ἀμπρακιῶται ἀναμὶξ τεταγμένοι πλὴν Μαντινέων· οὗτοι δὲ ἐν τῷ εὐωνύμῳ μᾶλλον, καὶ οὐ τὸ κέρας ἄκρον ἔχοντες, ἀθρόοι ἦσαν, ἀλλ' Εὐρύλοχος ἔσχατον εἶχε τὸ εὐώνυμον 15 καὶ οἱ μετ' αὐτοῦ, κατὰ Μεσσηνίους καὶ Δημοσθένην.

CVIII. ὡς δ' ἐν χερσὶν ἤδη ὄντες περιέσχον τῷ κέρᾳ οἱ Πελοποννήσιοι καὶ ἐκυκλοῦντο τὸ δεξιὸν τῶν ἐναντίων, οἱ ἐκ τῆς ἐνέδρας Ἀκαρνᾶνες ἐπιγενόμενοι αὐτοῖς κατὰ νώτου προσπίπτουσί τε καὶ τρέπουσιν, 20 ὥστε μήτε ἐς ἀλκὴν ὑπομεῖναι φοβηθέντας τε

Battle of Olpæ: the Peloponnesians and Ambraciots are defeated.

1. τῆς ὄλπης ἐγγὺς h. 4. ὁ δὲ δημοσθένης b. Poppo. (qui in ed. 1845. δὲ om.) Goell. 5. κυκλωθῇ] κωλυθῇ L.O.Q. 6. ἐς] ὡς e. om. d. 8. ἀναστάντες c.f νῶτον A.B.E.F.H.P.h. νώτου G. νώτων g. γίγνονται V. ἐπειδὴ Q. 10. ἔχων] om. e. μετὰ τῶν μεσσηνίων Q. 13. μαντιναίων e. 14. μᾶλλον om. V. 19. ἐπιγινόμενοι L.O.P. 20. τέρπουσι c. 21. μὴ L.O.P. ἐς] om. K. φοβηθέντες A.B.E.F.H.V.b.d.g.h.i.

5. ὁδὸν κοίλην καὶ λοχμώδη] A deep lane with its banks overgrown with brushwood: a Devonshire lane.

8. κατὰ νώτου] Sic quoque cap. seq. §. 1. et IV. 33, 1. DUKER.

11. τὸ δὲ ἄλλο Ἀκαρνᾶνες—ἐπεῖχον] Compare I. 48, 2. τὸ δὲ ἄλλο αὐτοὶ ἐπεῖχον. The word ἐπέχειν is constantly used to express "occupying a place in "the line of battle." In Herodotus, IX. 31. we read ἐπεῖχον (οἱ Πέρσαι) τοὺς Τεγεήτας· that is, "reached as far "as the Tegeans; were stationed over-"against them." So in this place τὸ ἄλλο Ἀκαρνᾶνες ἐπεῖχον signifies, "The "Acarnanians extended far enough to "occupy all the rest of the line." Compare II. 77, 3. ὅσον ἐδύναντο—πλεῖστον ἐπισχεῖν. In what follows, I have placed a colon after ἀκοντισταὶ, as Poppo has done, because the nominatives Πελοποννήσιοι καὶ Ἀμπρακιῶται answer to Δημοσθένης μὲν, and come before the verb ᾔεσαν.

ἐς φυγὴν καὶ τὸ πλέον τοῦ στρατεύματος καταστῆσαι· ἐπειδὴ γὰρ εἶδον τὸ κατ' Εὐρύλοχον καὶ ὃ κράτιστον ἦν διαφθειρόμενον, πολλῷ μᾶλλον ἐφοβοῦντο. καὶ οἱ Μεσσή- 2 νιοι ὄντες ταύτῃ μετὰ τοῦ Δημοσθένους τὸ πολὺ τοῦ ἔργου 5 ἐξῆλθον. οἱ δὲ Ἀμπρακιῶται καὶ οἱ κατὰ τὸ δεξιὸν κέρας 3 ἐνίκων τὸ καθ' ἑαυτοὺς καὶ πρὸς τὸ Ἄργος ἀπεδίωξαν· καὶ γὰρ μαχιμώτατοι τῶν περὶ ἐκεῖνα τὰ χωρία τυγχάνουσιν ὄντες. ἐπαναχωροῦντες δὲ ὡς ἑώρων τὸ πλέον νενικημένον 4 καὶ οἱ ἄλλοι Ἀκαρνᾶνες σφίσι προσέκειντο, χαλεπῶς διεσώ- 10 ζοντο ἐς τὰς Ὄλπας, καὶ πολλοὶ ἀπέθανον αὐτῶν, ἀτάκτως καὶ οὐδενὶ κόσμῳ προσπίπτοντες πλὴν Μαντινέων· οὗτοι δὲ μάλιστα ξυντεταγμένοι παντὸς τοῦ στρατοῦ ἀνεχώρησαν. καὶ ἡ μὲν μάχη ἐτελεύτα ἕως ὀψέ. 5

CIX. Μενεδαῖος δὲ τῇ ὑστεραίᾳ, Εὐρυλόχου τεθνεῶτος 15 καὶ Μακαρίου αὐτὸς παρειληφὼς τὴν ἀρχήν, καὶ ἀπορῶν μεγάλης ἥσσης γεγενημένης ὅτῳ τρόπῳ ἢ μένων πολιορκήσεται ἔκ τε γῆς καὶ ἐκ θαλάσσης ταῖς Ἀττικαῖς ναυσὶν ἀποκεκλημένος, ἢ καὶ ἀναχωρῶν διασωθήσεται, προσφέρει λόγον 20 περὶ σπονδῶν καὶ ἀναχωρήσεως Δημοσθένει καὶ τοῖς Ἀκαρ-

Demosthenes concludes a secret agreement with the Peloponnesians, allowing them to return home in safety.

1. στρατοῦ A.h. 4. τοῦ ante δημοσθένους om. K. 5. ἐξῆλθον A.B.F.H. N.V.g.h. Poppo. Goell. Bekk. E.G. et vulgo ἐπεξῆλθον. 6. αὐτοὺς L.O.P. 10. ἀφυλάκτως A.B.h. 13. ἕως] ἐς C.H.K.L.O.P.c.d.f.i. Haack. Poppo. ἕως ἐς F.Q.g. et corr. G. Conf. Lobeck. ad Phrynich. p. 47. 14. μενέδατος N.V. qui et infra μενεδάτῳ. 15. μακαρίνου I. 17. καὶ θαλάσσης P.d.f.g.i. 18. καὶ ταῖς L.O.P. ἀποκεκλῃμένος B.E.F.H.K.L.O.b.c.g.h. Poppo. Goell. Bekk. A. quid habeat, non liquet. ἀποκεκλημένος C. vulgo ἀποκεκλεισμένος. 19. καὶ om. V. λόγους N.O.

11. προσπίπτοντες] "Hurrying on; "throwing themselves onward;" i. e. "to reach their camp;" for, as Haack observes, Thucydides is speaking of the flight of the Peloponnesians.

13. ἐτελεύτα ἕως ὀψέ] Compare I. 71, 5. μέχρι τοῦδε ὡρίσθω ὑμῶν ἡ βραδυτής. Lobeck rightly explains it παρέτεινε ἕως ὀψὲ, καὶ ὀψὲ ἐτελεύτα. Ad Phrynich. p. 47.

19. λόγον] Hoc numero librorum dari potest, ut hic præferatur λόγον· alioqui non minus recte dicitur λόγους προσφέρειν τινὶ, quam λόγον. Thucydid. II. 70, 1. Οὕτω δὴ λόγους προσφέρουσι περὶ ξυμβάσεως τοῖς στρατηγοῖς τῶν Ἀθηναίων. Sic εἰς λόγον ἐλθεῖν, Aristoph. Equit. 803. et εἰς λόγους, Vesp. 470. vid. Kuster. ad Equit. Διδόναι λόγον, Lucian. Abdicat. 714. et λόγους. Idem Revivisc. 394. DUKER.

2 νάνων στρατηγοῖς, καὶ περὶ νεκρῶν ἅμα ἀναιρέσεως. οἱ δὲ νεκροὺς μὲν ἀπέδοσαν καὶ τροπαῖον αὐτοὶ ἔστησαν καὶ τοὺς ἑαυτῶν τριακοσίους μάλιστα ἀποθανόντας ἀνείλοντο· ἀναχώρησιν δὲ ἐκ μὲν τοῦ προφανοῦς οὐκ ἐσπείσαντο ἅπασι, κρύφα δὲ Δημοσθένης μετὰ τῶν ξυστρατηγῶν Ἀκαρνάνων 5 σπένδονται Μαντινεῦσι καὶ Μενεδαίῳ καὶ τοῖς ἄλλοις ἄρχουσι τῶν Πελοποννησίων καὶ ὅσοι αὐτῶν ἦσαν ἀξιολογώτατοι ἀποχωρεῖν κατὰ τάχος, βουλόμενος ψιλῶσαι τοὺς Ἀμπρακιώτας τε καὶ τὸν μισθοφόρον ὄχλον τὸν ξενικόν, μάλιστα δὲ Λακεδαιμονίους καὶ Πελοποννησίους διαβαλεῖν 10 ἐς τοὺς ἐκείνῃ χρῄζων Ἕλληνας, ὡς καταπροδόντες τὸ 3 ἑαυτῶν προὐργιαίτερον ἐποιήσαντο. καὶ οἱ μὲν τούς τε νεκροὺς ἀνείλοντο καὶ διὰ τάχους ἔθαπτον, ὥσπερ ὑπῆρχε, καὶ τὴν ἀποχώρησιν κρύφα οἷς ἐδέδοτο ἐπεβούλευον· CX. τῷ δὲ Δημοσθένει καὶ τοῖς Ἀκαρνᾶσιν ἀγγέλ- 15 λεται τοὺς Ἀμπρακιώτας τοὺς ἐκ τῆς πόλεως πανδημεὶ κατὰ τὴν πρώτην ἐκ τῶν Ὀλπῶν ἀγγελίαν ἐπιβοηθεῖν διὰ τῶν Ἀμφιλόχων, βουλομένους τοῖς ἐν Ὄλπαις ξυμμῖξαι, εἰδότας 2 οὐδὲν τῶν γεγενημένων. καὶ πέμπει εὐθὺς τοῦ στρατοῦ 20 μέρος τι τὰς ὁδοὺς προλοχιοῦντας καὶ τὰ καρτερὰ προκαταληψομένους, καὶ τῇ ἄλλῃ στρατιᾷ ἅμα παρεσκευάζετο βοηθεῖν ἐπ' αὐτούς. CXI. ἐν τούτῳ δ' οἱ Μαντινῆς καὶ οἷς ἔσπειστο, πρόφασιν ἐπὶ λαχανισμὸν καὶ φρυγάνων ξυλλογὴν ἐξελθόντες, ὑπαπῄεσαν κατ' 25

Demosthenes prepares to cut off a body of Ambraciots, who, ignorant of the late battle, had set out from home to join their countrymen at Olpæ.

The Peloponnesians, favoured by their secret agreement with

1. ἀναιρήσεως Q. 2. αὐτοὶ] μὲν K. 3. ἀναχωρήσειν E. 5. ξυνστρατηγῶν H.K. ξυστρατηγῶν vulgo et Bekk. ξυνστρατήγων F. ξυστρατήγων Poppo. 6. σπένδεται e. 7. ἦσαν οἱ ἀξιολογώτατοι d. 8. ἀναχωρεῖν L.Q. βουλόμενος δὲ ψιλῶσαι d. 9. μισθοφόρον A.B.E.F.G.H.K.L.O.V.f.g.h. Haack. Poppo. Goell. Bekk. Vulgo μισθοφόρων. 10. διαλαβεῖν b. 12. τε om. V. 13. τάχος i. 14. ὑπεβούλευον d. 15. ἀγάλλεται B. 17. πανδημεὶ] om. d. 18. ἐπιβ. καὶ διὰ N.V.g. 19. τοὺς A.B.E.F.d.g.h. ξυμμῖξαι Bekk. Poppo. συμμίξαι c.d.i. 21. προληψομένους d. καταληψομένους e. 22. παρεσκευάζοντο I.P.d. παρεσκεύαστο N.V. παρεσκευάζοντο C. 24. ἐπέπειστο e.

13. ὥσπερ ὑπῆρχε] Ὡς ἦν αὐτοῖς δυνατόν. ὡς ἐκ τῶν παρόντων δυνατὸν ἦν. SCHOLIAST.

Demosthenes, abandon their allies, and effect their escape to Agræa, where Salynthius, the king of the country, hospitably receives them.

ὀλίγους, ἅμα ξυλλέγοντες ἐφ' ἃ ἐξῆλθον δῆθεν· προκεχωρηκότες δὲ ἤδη ἄποθεν τῆς Ὄλπης θᾶσσον ἀπεχώρουν. οἱ δ' Ἀμπρακιῶται καὶ 2 οἱ ἄλλοι, ὅσοι μὲν ἐτύγχανον οὕτως ἀθρόοι 5 ξυνελθόντες, ὡς ἔγνωσαν ἀπιόντας, ὥρμησαν καὶ αὐτοὶ καὶ ἔθεον δρόμῳ, ἐπικαταλαβεῖν βουλόμενοι. οἱ δὲ 3 Ἀκαρνᾶνες τὸ μὲν πρῶτον καὶ πάντας ἐνόμισαν ἀπιέναι ἀσπόνδους ὁμοίως, καὶ τοὺς Πελοποννησίους ἐπεδίωκον· καί τινας αὐτῶν τῶν στρατηγῶν κωλύοντας καὶ φάσκοντας 10 ἐσπεῖσθαι αὐτοῖς ἠκόντισέ τις, νομίσας καταπροδίδοσθαι σφᾶς· ἔπειτα μέντοι τοὺς μὲν Μαντινέας καὶ τοὺς Πελοποννησίους ἀφίεσαν, τοὺς δ' Ἀμπρακιώτας ἔκτεινον. καὶ ἦν 4 πολλὴ ἔρις καὶ ἄγνοια εἴτε Ἀμπρακιώτης τίς ἐστιν εἴτε Πελοποννήσιος. καὶ ἐς διακοσίους μέν τινας αὐτῶν ἀπέ- 5 15 κτειναν· οἱ δ' ἄλλοι διέφυγον ἐς τὴν Ἀγραΐδα ὅμορον οὖσαν, καὶ Σαλύνθιος αὐτοὺς ὁ βασιλεὺς τῶν Ἀγραίων φίλος ὢν ὑπεδέξατο.

CXII. Οἱ δ' ἐκ τῆς πόλεως Ἀμπρακιῶται ἀφικνοῦνται ἐπ' Ἰδομένην. ἐστὸν δὲ δύο λόφω ἡ Ἰδομένη ὑψηλώ· τού- 2

2. ἄποθεν A.B. Goell. Bekk. Vulgo, et Poppo. ἄπωθεν. 5. ξυνεξελθόντες C.Q. συνεξελθόντες c. ἀπιόντες F. 8. ἀπεδίωκον P.c.d.f.i. καὶ ἐπεδίωκον K. 9. τῶν αὐτῶν K. 11. μὲν] om. L.O.P. 13. εἴτε II.] ειγε K. ἤ τε Q. ἢ c.f. 14. τινας] om. e. ἀπέκτειναν αὐτῶν Q. 15. ἔφυγον O.d.g. γραΐδα L.O.P.d. ὅμορον αὐτῶν οὖσαν e. 16. αὐτοὺς] om. i. 18. ἀφικνοῦνται] om. b.

3. οἱ δ' Ἀμπρακιῶται καὶ οἱ ἄλλοι, κ. τ. λ.] "But the Ambraciots and the "rest," (i. e. the mercenaries, who had been mentioned above, c. 109, 2.) "as "many as happened to have in this "manner accompanied them in any "numbers, began on their part also to "set off running, in hopes of over-"taking the Peloponnesians," οὕτως, i. e. ἐπὶ λαχανισμὸν καὶ φρυγάνων ξυλλογήν. And he says "as many as hap-"pened to have gone out with them *in* "*any numbers*," ἀθρόοι, because single men, or parties of no more than two or three together, would think the experiment too hazardous.

10. ἠκόντισέ τις] "One or two men "threw darts at them." Compare Herodot. III. 140, 5. ἀναβέβηκε δ' ἤ τις ἢ οὐδεὶς, "Not more than one or two, if "any." And Xenophon. Anab. I. 8, 20. τοξευθῆναί τις ἐλέγετο.

18. ἀφικνοῦνται ἐπ' Ἰδομένην] The site of Idomene ought to be easy to ascertain; for two high points called by a common name, are probably seen together and formed a marked object like the two Langdale Pikes to all the surrounding country. They must be looked for, I think, somewhere among the hills which rise immediately on the east of the gulf, and can scarcely be in

Demosthenes cuts off the whole body of the Ambraciots who were on the march to join their countrymen.

τοιν τὸν μὲν μείζω νυκτὸς ἐπιγενομένης οἱ προαποσταλέντες ὑπὸ τοῦ Δημοσθένους ἀπὸ τοῦ στρατοπέδου ἔλαθόν τε καὶ ἔφθασαν προκαταλαβόντες, τὸν δ' ἐλάσσω ἔτυχον οἱ Ἀμ-3πρακιῶται προαναβάντες καὶ ηὐλίσαντο. ὁ δὲ Δημοσθένης δειπνήσας ἐχώρει καὶ τὸ ἄλλο στράτευμα ἀπὸ ἑσπέρας εὐθύς, αὐτὸς μὲν τὸ ἥμισυ ἔχων ἐπὶ τῆς ἐσβολῆς, τὸ δ' ἄλλο 4 διὰ τῶν Ἀμφιλοχικῶν ὀρῶν. καὶ ἅμα ὄρθρῳ ἐπιπίπτει τοῖς Ἀμπρακιώταις ἔτι ἐν ταῖς εὐναῖς καὶ οὐ προῃσθημένοις τὰ γεγενημένα, ἀλλὰ πολὺ μᾶλλον νομίσασι τοὺς ἑαυτῶν εἶναι· καὶ γὰρ τοὺς Μεσσηνίους πρώτους ἐπίτηδες ὁ Δημοσθένης προὔταξε καὶ προσαγορεύειν ἐκέλευε, Δωρίδα τε γλῶσσαν

3. στρατόπεδον d. 7. ἐπὶ] om. K. 8. ἐπίπτει E.Q. ἐμπίπτει L.O.P.d. 9. προῃσθομένοις d.i. 10. προγεγενημένα c. 12. προύταξε Bekk. προαγορεύειν L. ἐκέλευσε B.d.i. δωριάδα G.i.

the ridge to the eastward of Karavasera or Karavanserai, where Lieut. Wolfe places them: or at least if Idomene be there, Argos and Olpæ cannot certainly be where they are represented on his map. The ἐσβολὴ spoken of immediately afterwards is clearly the entrance into a mountain country from a plain; but what particular pass is meant cannot be determined till the whole geography of this neighbourhood is settled. In a map of the northern frontier of Greece by Col. Baker, in the Geographical Society's Journal, vol. VII. part I. executed from an actual survey made in order to fix the limits of the present kingdom of Greece between the years 1832 and 1835, and apparently very accurate, there is a plain or valley represented as coming down to the shore of the gulf just to the south of the ridge of Makrinoros, and dividing it from the ridge of Mount Kastri, and the hills behind Karavanserai. It may be that the ἐσβολὴ was the pass from this plain into the hills of Makrinoros, and that while Demosthenes marched straight upon the pass along the shore, the rest of the army moved by the hills farther inland, crossed the valley at a higher point, and so came upon the hills of Makrinoros above the pass where the road from Ambracia descended from them to the plain. Or again, the ἐσβολὴ may be the entrance to the hills from the plain of Arta, at the spot called Palea Kulia by Lieut. Wolfe, where there is now an Hellenic ruin on the top of a wooded knoll about 500 feet above the sea, which is a conspicuous object from every part of the gulf. See Col. Baker's Memoir. Can this wooded knoll be one of the two summits which Thucydides calls Idomene?

12. προὔταξε καὶ—ἐκέλευε] Here again, as in I. 138, 1. the imperfect is used where the sense seems to require the aorist. Compare Poppo, Prolegom. I. 155. 275. Matthiæ, Gr. Gr. §. 505. That these tenses are often varied in a narration is well known, the aorist simply stating the fact, the imperfect converting it, if I may so speak, into a picture, by representing it as still going on, and not yet become wholly past. Jelf. 401. 4. See the note on III. 22, 4. And this must be the clue to the use of the imperfect in the present instance, and in others of the same sort, in verbs of com-

ἱέντας καὶ τοῖς προφύλαξι πίστιν παρεχομένους, ἅμα δὲ καὶ οὐ καθορωμένους τῇ ὄψει νυκτὸς ἔτι οὔσης. ὡς οὖν ἐπέπεσε 5 τῷ στρατεύματι αὐτῶν, τρέπουσι, καὶ τοὺς μὲν πολλοὺς αὐτοῦ διέφθειραν, οἱ δὲ λοιποὶ κατὰ τὰ ὄρη ἐς φυγὴν 5 ὥρμησαν. προκατειλημμένων δὲ τῶν ὁδῶν, καὶ ἅμα τῶν 6 μὲν Ἀμφιλόχων ἐμπείρων ὄντων τῆς ἑαυτῶν γῆς καὶ ψιλῶν πρὸς ὁπλίτας, τῶν δὲ ἀπείρων καὶ ἀνεπιστημόνων ὅπῃ τράπωνται, ἐσπίπτοντες ἔς τε χαράδρας καὶ τὰς προλελοχισμένας ἐνέδρας διεφθείροντο. καὶ ἐς πᾶσαν ἰδέαν χωρή- 7 10 σαντες τῆς φυγῆς ἐτράποντό τινες καὶ ἐς τὴν θάλασσαν οὐ πολὺ ἀπέχουσαν, καὶ ὡς εἶδον τὰς Ἀττικὰς ναῦς παραπλεούσας ἅμα τοῦ ἔργου τῇ ξυντυχίᾳ, προσένευσαν ἡγησάμενοι ἐν τῷ αὐτίκα φόβῳ κρεῖσσον εἶναι σφίσιν ὑπὸ τῶν ἐν ταῖς ναυσὶν, εἰ δεῖ, διαφθαρῆναι ἢ ὑπὸ τῶν βαρβάρων καὶ 15 ἐχθίστων Ἀμφιλόχων. οἱ μὲν οὖν Ἀμπρακιῶται τοιούτῳ 8 τρόπῳ κακωθέντες ὀλίγοι ἀπὸ πολλῶν ἐσώθησαν ἐς τὴν

1. καὶ οὐ] οὐδὲ L.O. οὐ K. 5. καὶ προκατειλημμένων L.P. 7. ἀπείρων τε καὶ Q. ὅπῃ A.B.C.E.F.G.H.I.K.N.Q.V.c.d.e.f.g.h.i. Haack. Poppo. Goell. Bekk. Vulgo ὅποι. 8. τε] τὰς N.V. om. K. 12. συντυχίᾳ d. 14. ταῖς om. G. εἰ δεῖ A.B.C.E.F.G.H.I.K.L.N.O.P.Q. et, qui post διαφθαρῆναι habet, V.c.d.e.g. Haack. Poppo. Goell. Bekk. εἰ δὴ f. vulgo ἤδη. διαφθεῖραι g. 15. ἀμφιλοχιτῶν Q.

manding, exhorting, speaking, &c. (see Poppo on I. 119, 2.) as ἔλεγε and not ἔλεξε is generally used to introduce the several speeches that are given at length. For Δωρίδα γλῶσσαν ἱέντας, compare Herodot. VI. 29, 2. Περσίδα γλῶσσαν μετείς. and I. 57, 1. ἥν τινα δὲ γλῶσσαν ἵεσαν οἱ Πελασγοί. Immediately afterwards, πίστιν παρεχομένους does not, I think, signify, "giving them a pledge "or promise," which would be rather παρέχοντας, but, "making them feel "confidence," i. e. in consequence of their Doric dialect. Compare IV. 86, 4. οἷς τὰ ἔργα—δόκησιν ἀναγκαίαν παρέχεται. and VII. 67, 1. ἐλπὶς—προθυμίαν παρέχεται.

2. νυκτὸς ἔτι οὔσης] Paullo ante, ἅμα ὄρθρῳ ἐπιπίπτει τοῖς Ἀμπρακιώταις. Est ergo ὄρθρος, quum nondum cerni potest, et adhuc nox est, id est, tempus, quod præcedit auroram, quo quis adhuc lucerna uti potest. Ita veteres; recentiores, ut auctor est Phrynichus, ὄρθρον dixerunt, quæ antiquis erat ἕως, *aurora*. Et hanc significationem τοῦ ὄρθρος Thomas Magist. in ὀρθρεύω etiam e Thucyd. II. 3, 4. ostendit; φυλάξαντες ἔτι νύκτα, καὶ αὐτὸ τὸ περίορθρον. DUKER. Compare also IV. 110, 2. νυκτὸς ἔτι καὶ περὶ ὄρθρον.

12. ἅμα τοῦ ἔργου τῇ ξυντυχίᾳ] "Whilst "the action was taking place." Compare I. 33, 1. ἡ ξυντυχία—τῆς ἡμετέρας χρείας.

14. ὑπὸ τῶν βαρβάρων—Ἀμφιλόχων] The Ambraciots affected to regard the Amphilochians as barbarians, because they were in reality a mixed race, mostly of Pelasgian extraction. See II. 68, 5.

πόλιν· Ἀκαρνᾶνες δὲ σκυλεύσαντες τοὺς νεκροὺς καὶ τροπαῖα στήσαντες ἀπεχώρησαν ἐς Ἄργος. CXIII. καὶ αὐτοῖς τῇ ὑστεραίᾳ ἦλθε κῆρυξ ἀπὸ τῶν ἐς Ἀγραίους καταφυγόντων ἐκ τῆς Ὄλπης Ἀμπρακιωτῶν ἀναίρεσιν αἰτήσων τῶν νεκρῶν οὓς ἀπέκτειναν 5 ὕστερον τῆς πρώτης μάχης, ὅτε μετὰ τῶν Μαντινέων καὶ τῶν ὑποσπόνδων ξυνεξῄεσαν 2 ἄσπονδοι. ἰδὼν δ' ὁ κῆρυξ τὰ ὅπλα τῶν ἀπὸ τῆς πόλεως Ἀμπρακιωτῶν ἐθαύμαζε τὸ πλῆθος· οὐ γὰρ 3 ᾔδει τὸ πάθος, ἀλλ' ᾤετο τῶν μετὰ σφῶν εἶναι. καί τις 10 αὐτὸν ἤρετο ὅ τι θαυμάζοι καὶ ὁπόσοι αὐτῶν τεθνᾶσιν, οἰόμενος αὖ ὁ ἐρωτῶν εἶναι τὸν κήρυκα ἀπὸ τῶν ἐν Ἰδομέναις. 4 ὁ δ' ἔφη διακοσίους μάλιστα. 5 ὑπολαβὼν δ' ὁ ἐρωτῶν εἶπεν "οὔκουν τὰ ὅπλα ταυτὶ φαίνεται, ἀλλὰ πλέον ἢ χιλίων." 6 αὖθις δὲ εἶπεν ἐκεῖνος "οὐκ ἄρα τῶν μεθ' ἡμῶν μαχομένων 15 7 "ἐστίν." ὁ δ' ἀπεκρίνατο "εἴπερ γε ὑμεῖς ἐν Ἰδομένῃ χθὲς 8 "ἐμάχεσθε." "ἀλλ' ἡμεῖς γε οὐδενὶ ἐμαχόμεθα χθές, ἀλλὰ 9 "πρώην ἐν τῇ ἀποχωρήσει." "καὶ μὲν δὴ τούτοις γε ἡμεῖς "χθὲς ἀπὸ τῆς πόλεως βοηθήσασι τῆς Ἀμπρακιωτῶν ἐμα- 10 "χόμεθα." ὁ δὲ κῆρυξ ὡς ἤκουσε καὶ ἔγνω ὅτι ἡ ἀπὸ τῆς 20 πόλεως βοήθεια διέφθαρται, ἀνοιμώξας καὶ ἐκπλαγεὶς τῷ μεγέθει τῶν παρόντων κακῶν ἀπῆλθεν εὐθὺς ἄπρακτος καὶ 11 οὐκέτι ἀπῄτει τοὺς νεκρούς. πάθος γὰρ τοῦτο μιᾷ πόλει Ἑλληνίδι ἐν ἴσαις ἡμέραις μέγιστον δὴ τῶν κατὰ τὸν 12 πόλεμον τόνδε ἐγένετο. καὶ ἀριθμὸν οὐκ ἔγραψα τῶν ἀπο- 25

The news of this defeat is communicated to the wreck of the Ambraciots who fought at Olpæ, by the herald whom they had sent to the Athenian camp, to ask leave to bury their dead.

1. ἐχθροὺς L.O.P. τὰ τρόπαια Q.c. τρόπαιον d. 2. ἀνεχώρησαν Q. 3. κῆρυξ et sic ubique Bekk. 4. καταφευγόντων L.P. ἐκ A.B.C.E.F.G.H. L.O.P.V.c.d.f.g.h.i. Haack. Poppo. Goell. Bekk. Vulgo ἀπό. ὀλπῆς F. 7. ξυνήιεσαν A. 11. αὐτὸν] αὐτῶν I.b.e. εἴρετο Q. θαυμάζει V.d.g.i. 12. αὖ] ἂν C.L.O.P.d.i. οὖν K.c.h. τὸ κήρυγμα P. ἰδομένῃ L. 18. γε] τε B. 20. τῆς] τοῖς K. 22. κακῶν] om. L.P. 23. πόλει] om. L.O.P. 24. δὴ] om. d.

14. οὔκουν τὰ ὅπλα ταυτὶ φαίνεται] "These arms here then are, you see, "not *the arms of the number you speak* "*of*, but of more than a thousand." Ταυτὶ, "these here."

θανόντων, διότι ἄπιστον τὸ πλῆθος λέγεται ἀπολέσθαι ὡς πρὸς τὸ μέγεθος τῆς πόλεως. Ἀμπρακίαν μέντοι οἶδα ὅτι 13 εἰ ἐβουλήθησαν Ἀκαρνᾶνες καὶ Ἀμφίλοχοι Ἀθηναίοις καὶ Δημοσθένει πειθόμενοι ἐξελεῖν, αὐτοβοεὶ ἂν εἷλον· νῦν δ' 5 ἔδεισαν μὴ οἱ Ἀθηναῖοι ἔχοντες αὐτὴν χαλεπώτεροι σφίσι πάροικοι ὦσι. CXIV. μετὰ δὲ ταῦτα τρίτον μέρος νείμαντες τῶν σκύλων τοῖς Ἀθηναίοις τὰ ἄλλα κατὰ τὰς πόλεις διείλοντο. καὶ τὰ μὲν τῶν Ἀθη- 2 ναίων πλέοντα ἑάλω, τὰ δὲ νῦν ἀνακείμενα ἐν 10 τοῖς Ἀττικοῖς ἱεροῖς Δημοσθένει ἐξῃρέθησαν τριακόσιαι πανοπλίαι, καὶ ἄγων αὐτὰς κατέπλευσε· καὶ ἐγένετο ἅμα αὐτῷ μετὰ τὴν τῆς Αἰτωλίας ξυμφορὰν ἀπὸ ταύτης τῆς πράξεως ἀδεεστέρα ἡ κάθοδος. ἀπῆλθον δὲ καὶ οἱ ἐν ταῖς εἴκοσι ναυσὶν Ἀθηναῖοι ἐς 3 15 Ναύπακτον. Ἀκαρνᾶνες δὲ καὶ Ἀμφίλοχοι ἀπελθόντων 4 Ἀθηναίων καὶ Δημοσθένους τοῖς ὡς Σαλύνθιον καὶ Ἀγραίους καταφυγοῦσιν Ἀμπρακιώταις καὶ Πελοποννησίοις ἀναχώρησιν ἐσπείσαντο ἐξ Οἰνιαδῶν, οἵπερ καὶ μετανέστησαν

Demosthenes returns to Athens. The Acarnanians and Amphilochians conclude a peace and defensive alliance with the Ambraciots.

3. ἐβουλ. οἱ ἀκαρνᾶνες B.K. 4. πειθόμενοι om. G. ἐξελθεῖν h. ἐπελθεῖν E. 6. τρίτον μέρος νείμαντες] om. K. 7. κατὰ] καὶ P. 9. πλέονα Valla. 11. τριακόσιαι corr. G. αὐτὸς K. 12. ἅμα] om. K.V. τὴν τῆς αἰτωλίας A.B.F.G.H.N.V.g.h. Haack. Poppo. Goell. Bekk. τὴν ἐκ τῆς αἰτωλίας C.E. I.K.c.f. vulgo τὴν ἐν αἰτωλίᾳ. 16. ἀλύνθιον A.B.E.F.H.g. καὶ Ἀγραίους] om. I.O. 18. οἰνίδων d.i. οἰνιάδων plerique. οἵπερ—Σαλυνθίου Hermann. Goell. Bekk. probante Poppo. vulgo οἵπερ—Σαλύνθιον.

10. ἐξῃρέθησαν] Thomas Mag. in ἐξεῖλε. ἐξεῖλε τῷ δεῖνι γέρας, καὶ ἐξῇρε. Θουκυδίδης· Δημοσθένει—πανοπλίαι. Obvius est hic usus verbi ἐξαιρεῖν, pro δοῦναί τι ὡς ἐξαίρετον. Scholiastes parvus Homeri in Iliad. α΄. 369. Ἐκ δ' ἕλον Ἀτρείδῃ Χρυσηΐδα· ὡς ἐξαίρετον, inquit, ἔλαβον, καὶ ἔδωκαν. Add. ibi Eustath. pag. 119. et in Iliad μ΄. p. 907. Τὰ δὲ νῦν—ἱεροῖς citat Thomas in ἀνακείμενος. Duker.

18. οἵπερ—Σαλυνθίου] This is Hermann's conjecture, first mentioned by Poppo in his Observationes Criticæ, p. 117. and approved by him in his edition, and admitted into the text by Göller and Mr. Bloomfield. The old reading was οἵπερ—Σαλύνθιον καὶ Ἀγραίους. but all the best MSS. omit the words καὶ Ἀγραίους, and οἵπερ καὶ μετανέστησαν παρὰ Σαλύνθιον seems worse than a superfluous addition immediately after the words τοῖς ὡς Σαλύνθιον καταφυγοῦσιν. According to the very slight alteration of Hermann, the sense is, "to which place," i. e. Œniadæ, "they also had removed from "Salynthius." It is probable that the

5 παρὰ Σαλυνθίου. καὶ ἐς τὸν ἔπειτα χρόνον σπονδὰς καὶ ξυμμαχίαν ἐποιήσαντο ἑκατὸν ἔτη Ἀκαρνᾶνες καὶ Ἀμφίλοχοι πρὸς Ἀμπρακιώτας ἐπὶ τοῖσδε, ὥστε μήτε Ἀμπρακιώτας μετὰ Ἀκαρνάνων στρατεύειν ἐπὶ Πελοποννησίους μήτε Ἀκαρνᾶνας μετὰ Ἀμπρακιωτῶν ἐπ' Ἀθηναίους, βοηθεῖν δὲ τῇ ἀλλήλων, καὶ ἀποδοῦναι Ἀμπρακιώτας ὁπόσα ἢ χωρία ἢ ὁμήρους Ἀμφιλόχων ἔχουσι, καὶ ἐπὶ Ἀνακτόριον 6 μὴ βοηθεῖν πολέμιον ὂν Ἀκαρνᾶσιν. ταῦτα ξυνθέμενοι διέ-7 λυσαν τὸν πόλεμον. μετὰ δὲ ταῦτα Κορίνθιοι φυλακὴν ἑαυτῶν ἐς τὴν Ἀμπρακίαν ἀπέστειλαν, ἐς τριακοσίους ὁπλίτας, καὶ Ξενοκλείδαν τὸν Εὐθυκλέους ἄρχοντα· οἳ κομι-8 ζόμενοι χαλεπῶς διὰ τῆς ἠπείρου ἀφίκοντο. τὰ μὲν κατ' Ἀμπρακίαν οὕτως ἐγένετο.

CXV. Οἱ δ' ἐν τῇ Σικελίᾳ Ἀθηναῖοι τοῦ αὐτοῦ χειμῶνος ἔς τε τὴν Ἱμεραίαν ἀπόβασιν ἐποιήσαντο ἐκ τῶν νεῶν μετὰ τῶν Σικελῶν ἄνωθεν ἐσβεβληκότων ἐς τὰ ἔσχατα τῆς Ἱμεραίας, καὶ ἐπὶ τὰς Αἰόλου νήσους ἔπλευσαν. 2 ἀναχωρήσαντες δὲ ἐς Ῥήγιον Πυθόδωρον τὸν Ἰσολόχου Ἀθηναίων

SICILY. The Athenians prepare to send a larger fleet to Sicily at the instigation of their allies in that island.

1. σαλύνθιον καὶ ἐς A.B.C.E.F.G.H.K.N.P.V.d.f.g.h.i. Haack. Poppo. vulgo σαλύνθιον καὶ ἀγραίους καὶ ἐς. Poppo in ed. 1843. Σαλυνθίου. καὶ ἐς. 5. βοηθεῖν τε δὲ K. 6. ἀμπρακιώταις g. 7. ὁμήρους Taur. et, si Bekker. rectè intelligo, A.B.E.F. Poppo. Goell. Bekk. G. et ceteri ὁμόρους. 8. ὂν] om. O.P. 9. ταῦτα δὲ N.V. 11. ξενοκλείδην g. τοῦ εὐθυκλ. Q. 12. Ἠπείρου littera majusculâ Bekk. ἀφίκετο b. 14. τῇ] om. g. 16. Σικελῶν] Libri omnes et Bekk. σικελιωτῶν. 17. ἡμεραίας Q. αἰόλους E.

Ambraciots had accompanied the Peloponnesians to Œniadæ, because their immediate return to their own country was cut off by the Acarnanians, and still more by the Amphilochians, through whose territory they must have passed: and when arrived at Œniadæ, the Peloponnesians had possibly no means of transport across to Peloponnesus, and the Ambraciots were divided from their home by the whole of Acarnania, as well as by Amphilochian Argos. The use of the aorist for the pluperfect tense is paralleled by ἃς καταδύσειαν, I. 50, 1. rather than by the passage quoted by Poppo from I. 62, 2.

16. Σικελῶν] This correction, as certainly required by the sense of the passage as that of ὁμήρους for ὁμόρους, had escaped the notice of all the editors and translators of Thucydides before Mr. Bloomfield. He justly observes, "Who "are *the* Siceliots? The Athenians had "no other allies among those except "the Leontines, and *they* inhabited the "sea-coast; whereas the Siculi (or ori-

